


HISTORICI GRAECI MINORES.

EDIDIT

LUDOVICUS DINDORFIUS.

VOL. II.

MENANDER PROTECTOR ET AGATHIAS.



LIPSIAE,

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXI.

PRAEFATIO.

Secundum hoc historicorum minorum volumen duorum complectitur opera scriptorum, Menandri Protectoris historiarum fragmenta et Agathiae, quem Menander studiose est imitatus, historiarum libros quinque. Annotationes ad utrumque scriptorem codicumque collationes, quum nonnulla desiderarem quae nunc parari non poterant, tertio adiungentur volumini, quod praeter alia Zosimi historiam continebit ex codice vetusto membranaceo bibliothecae Vaticanae nuper reperto, qui ceterorum librorum est archetypus, locis non paucis emendatam. Interim de duobus quos nunc edo scriptoribus haec monuisse sufficiet.

Menandri Protectoris quae supersunt excerpta ex eius historia, qua Agathiae continuaverat historiarum libros quinque, partim duobus de legatis titulis Constantinianis partim tertio, et hoc quidem multo breviora et pauciora, de sententiis sunt conservata, quibus accedunt fragmenta nonnulla apud Suidam et alibi citata. Utriusque de legatis tituli quum Niebuhrius et Müllerus Hoescheliana uterentur editione, ego vero codicibus duobus Monacensibus n. 185, quo ipso iam Hoeschelius, et 267, quo idem non erat usus, de quibus dixi praefatione ad vol. 1, p. XXVII, quantum ex ambobus vitiorum Hoeschelianae numerum correxerim ostendit collatio cum illa, quae ad huius editionis paginas relata, sed ad illam ita est instituta ut nonnisi codicis utriusque ab ea dissensus sit notatus, quae autem meliora ex illis codicibus recepi, asterisco sint distincta ab iis quae in Hoescheliana aut correcta sunt aut non minus vitiosa. Herwerdeni vero in Spicilegio Vaticano p. 216—221 exhibita collatio editionis Romanae

LIPSIAE: TYPIS B. G. TEUBNERI.

negligenter scriptis codicibus, et quae sunt alia multa huiusmodi, de quibus in annotationibus dicendum mihi erit. De vita et scriptis Menandri tantum fere scimus quantum ipse in initio operis dixerat: quae ab Suida s. v. *Μένανδρος* excerpta in initio fragmentorum posui. Niebuhrius haec de eo scripsit in Prolegomenis p. XXXII.

„MENANDER, Euphratae f., Constantinopolitanus, in iuventute legum studio sese dederat: sed quoniam a causidicorum munere animus abhorrebat, ad segnitiem delapsus, in circo factionumque furoribus patrimonium effudit; tandem vero, a necessitate ad meliora compulsus, quum a Mauricio Imperatore litteratos homines splendidis praemiis ornari videret, se in hoc genere experiri statuit. Itaque historiam Agathiae continuare sibi proposuit: quod ab adventu Cotrigurorum Hunnorum in Thraciam, quos Belisarius repressit, annoque 558, usque ad excessum Tiberii Imp., a. 582, perfecit. De rebus anni 575 [1]) agebat libro VIII. Protectoris cognomen, quo ab illustri poeta Attico discriminatur, indicat eum cohortibus praetoriis Imperatoris adscriptum fuisse [2]): quae tamen illo aevo aeque ac Scholarii fictam tantummodo exercebant militiam [3]). In scribendi genere prorsus simia Agathiae est; ridendus quoties sententiarum acumine aut verborum elegantia se ostentare cupit: verum tamen in rebus gestis referendis bonus auctor; circa populorum mores, terrarumque longinquarum situm, et peregrinantium itinera admodum curiosus et fide dignus. Eiusdem Agathiae imitatione etiam epigrammata componere tentavit.“ Quibus Muellerus (vol. 4. p. 200) addit praeter Suidam Menandri mentionem facere Constantinum Porphyr. de Them. 1, 2 p. 18 et Theophylactum Simocattam Hist. 1, 3, qui Menandrum continuavit.

Agathiae historiarum libros quinque ipsos quoque emendatiores quam Niebuhrius edidi, de quo videnda quae in Fleckeiseni Annalibus scripsi a. 1869 fasc. 7 p. 457—465, spero-

---

1) Menand. p. 397. 20 ed. Bonn. [p. 84, 12 ed. Lips.]
2) v. Heineccium s. v. *Protectores* in eius ed. Brissonii.
3) Procop. Anecd. 24. p. 71.

eum Vaticano palimpsesto, unde eclogas de sententiis ediderat Maius Coll. Vat. vol. 2, pariter atque ipsius Herwerdeni emendationes multis illa quoque excerpta vitiis liberavit. Neque Suidae inutilis fuit comparatio, haud pauca ex illis citantis eclogis Constantinianis, sed raro a prioribus editoribus adhibiti.

His igitur praesidiis, quibus proximi caruerant editores, adiutus iam expeditiorem potui reddere huius historici lectionem quam qui ante me eundem innumeris liberatum vitiis, et Müllerus quidem etiam triplici, quam Niebuhrius legentibus parum commodam exhibuerat fragmentorum seriem *), in unam coniungenda quantum fieri potuerat perpoliverant. Quae vitia omnia enumerari quum ab huius editionis ratione non minus quam proximae esset alienum, ego quoque, ut Müllerus, graviorum saepe in parenthesi addidi correctiones et Suidae notavi scripturas, cuius loci notati sunt in indice ad illum. Plurima vero scriptoris non tantum novitii, sed etiam excerptis tantum conservati ab eclogoriis deformatis et contractis, rectius intacta relinqui quam audacter emendari non opus est dici. Ita nihil incertius est nominum barbarorum scriptura, quae vel apud eundem multoque magis apud diversos differt scriptores, ad quod non semper attendentes editores nonnulla quae non erant tangenda mutaverunt. Sic quam Menandro p. 7, 18. 19. huius ed. formam *Ἔλουροι* pro *Ἔρουλοι* bis exemerat Niebuhrius, eam citatus ab ipso praef. p. XVI, ubi de Dexippo agit, e Dexippo annotavit Stephanus Byz., habentque etiam alii partim ita vel similiter scriptam partim per *αι* in prima, de quibus v. Stephani Thes. Nequo vero Menander in omni dialecto adeo fuisse videtur negligens ut modo *γίγνεσθαι* scriberet modo *γίνεσθαι*, modo *ἧσσον* modo *ἧττον*, modo *ἄχρι* modo *μέχρις* ante vocalem, ut fit in his

*) Series prima Niebuhrii (p. 282—342 ed. Bonn.) inscripta est „*Excerpta de legationibus barbarorum ad Romanos*“, secunda (p. 344—425) „*Excerpta de legationibus Romanorum ad gentes*“, tertia (p. 426—437) „*Excerpta de sententiis*“. Quam divisionem consulto servavi in Niebuhrii summariis huic Praefationi subiectis, etsi numeris capitum Niebuhrii meorum substitui capitum numeros.

MENANDRI HISTORIARUM SUMMARIA.

I. EXCERPTA DE LEGATIONIBUS BARBARORUM AD ROMANOS.

Avares ab Iustiniano sedes petunt intra fines imperii Romani (4). Iidem ab Iustiniano instigati bella gerunt cum Hunnicis gentibus (5). Mezamirus, Antarum ad Avares legatus, ab his interimitur (6). Legati Avarum ad novas sedes petendas missi Byzantii detinentur (9). Iustinus Avarum conditiones superbe respuit (14). Post mortem Zichi, Persarum legati, Mebodes Byzantium mittitur: neque ipse nec Saracenorum legati, quorum causam apud Imperatorem agit, quae cupiunt impetrant (17). Turcorum legati a Persis spreti Byzantium proficiscuntur ad commercia cum Romanis petenda (18). Zemarchus a legatione ad Tnrcos rediens magnis itineris difficultatibus et periculis laborat (21. 22). Avares et Franci foedus ineunt (23). Longobardorum legati Avares contra Gepidas et Romanos sollicitant (24). Longobardi nunc ab Avaribus, nunc a Romanis auxilia petunt (25). Baianus, Avarum chaganus, legatos Romanorum in vincula coniicit (26). Idem post multas disceptationes cum Bono, Romanorum duce, iratus ab obsidione Sirmii recedit (27). Superba Targitii postulata ab Iustino cum contemptu repudiantur (29). Turci Iustinum ad bellum cum Persis renovandum incitant (32). Iustinus nullas Avarum conditiones admittit (33). Pax componitur inter Romanos et Avares (34). Avarum legati a latronibus expilati res suas a Tiberio repetunt (35). Sebochthes legatus a Chosroë ad Iustinum missus ad foedus inter Persas et Ro-

que fore ut in annotationibus codicibus uti mihi liceat Vaticanis, quorum usus non concessus fuit Niebuhrio.

De vita et scriptis Agathiae quae disseruit Niebuhrius in Prolegomenis editionis Bonnensis p. XIII—XIX huic Praefationi subieci: quibus si adiungantur quae Teuffelius de eodem argumento scripsit in commentatione primum edita in Schneidewini Philologo vol. 1 p. 495—511, nunc repetita in opusculis Lipsiae editis a. 1871. (*Studien und Charakteristiken zur Griechischen Literaturgeschichte* p. 237—254) omnia fere exhausta esse videntur quae de hoc scriptore sciri possunt.

Scribebam Lipsiae mense Iulio.

Turcorum duce (20). Targitius, Avarum legatus, Sirmium oppidum et pecunias sibi tradi petens, superbe ab Iustino dimittitur (28). Zacharias medicus a Sophia Imperatrice ad Chosroëm missus annuas inducias cum Persis componit (38). Traianus post Zachariam missus quinque annorum inducias paciscitur (39). Quas quum Tiberius accipere detrectet, Persae in fines Romanorum incursiones faciunt (40). Legatio Theodori, Bacchi filii, ad Chosroëm, quem in Armenia belligerantem comitatur (41). Valentinus, Romanorum ad Turcos legatus, a Turxatho, duce eorum, contumeliis afficitur (43). Turci bellum Romanis inferunt (45). Baianus, Avarum dux, a Tiberio Caesare instigatus cum magno exercitu in sedes Sclavinorum irrumpit (48). Chosroës inter ipsas pacis actiones bellum cum Romanis renovat (50). Eodem tempore Zacharias ad Chosroëm et Pherogdathes ad Tiberium de pace legati mittuntur (54). Zacharias et Theodorus cum aequis pacis conditionibus ad Persas missi, ab Hormisda, post Chosroëm Persarum rege, indigne excepti, infectis rebus domum revertuntur (55). Zacharias iterum a Tiberio ad pacem componendam in Persiam missus in confiniis cum Andigan legato Persarum, convenit, sed longis disceptationibus nihil efficitur (60). Romani Sirmium urbem Baiano, Avarum duci, dedere coguntur (66).

III. EXCERPTA DE SENTENTIIS.

Fragmentum prooemii (2). Silzibulus adversus Ephthalitas et Avares bellum parat (10). Prudentia Catulphi Ephthalitae (10). De victoriae inconstantia, de libertate dicendi, de animi constantia (10). Petri Patricii uberior historia de legatione ipsius ad Chosroëm laudatur (12). Breves sententiae de inconstantia fortunae, de periculis belli civilis, de providentiae commodis (30). Baiani impudentia adversus Romanos (30). De maledicentiae turpitudine (35 a). Menandri epigramma in Isaozitam Magum, qui ad fidem Christianam se convertit (35 a). Isaozitae constantia inter mortis cruciatus (35 a). Sententia (35 a) [p. 71, 24—27 ed. Lips.] Procopii

manos instaurandum (36). Iacobus insolentem Chosrois epistolam Tiberio et Sophiae Augustae tradit (37). Sabirum et Alanorum legati de pace agunt cum Tiberio Caesare (42), Romanorum et Persarum legati in confiniis utriusque imperii conveniunt (46). Zacharias et Mebodes de pace inter Romanos et Persas restituenda agunt: Romani Persarmenia et Iberia cedunt, sed Daras oppidum a Persis sibi reddi poscunt. Sclavini in Thraciam irrumpunt (47). Tiberius Caesar pecunias ad aliquos e principibus Longobardorum conciliandos mittit (49). Persae ex improviso castellum Romanorum expugnant (51). Tanchosdro in fines imperii incursionem facit (52). Mauricius Chlomaron, Persarum oppidum, obsidione premit (57). Tiberius, ut Italiam adversus Longobardos tueatur, multos eorum donis in partes suas traducit (62). Baianus, rex Avarum, usque ad Sirmium progressus, Savum traiicere conatur, bellum contra Sclavinos praetendens (63). Idem a Tiberio ut Sirmium sibi concedat postulat (64). Theognis, dux Romanorum, Sirmium fortiter obtinet (65).

II. EXCERPTA DE LEGATIONIBUS ROMANORUM AD GENTES.

Iustinianus Hunnos Utiguros contra Cotriguros excitat (3). Ammigus, dux Francorum, Romanis bellum minatur (8). Petrus Patricius, Iustiniani legatus, et Zichus, a Chosroë missus, in confiniis utriusque imperii congressi de pace inter Romanos et Persas firmiter componenda agunt. Quum Suaniam provinciam poscenti Romano nequaquam concederet legatus Persarum, Petrus ad Chosroëm ipsum proficiscitur, ut ab eo aequiores conditiones impetret (11). Petrus de Suania nihil amplius precibus consecutus pacem componit: Byzantium reversus moritur (13). Iustinus Imperator Ioannem legatum ad Chosroëm mittit, qui de cedenda Suania ageret: verum is infecta re Byzantium redit (15). Ioannes ob rem male gestam omnibus honoribus exuitur (16). Zemarchi legatio ad Turcos (19). Descriptio itineris eius et congressus cum Disabulo,

Turcorum duce (20). Targitius, Avarum legatus, Sirmium oppidum et pecunias sibi tradi petens, superbe ab Iustino dimittitur (28). Zacharias medicus a Sophia Imperatrice ad Chosroëm missus annuas inducias cum Persis componit (38). Traianus post Zachariam missus quinque annorum inducias paciscitur (39). Quas quum Tiberius accipere detrectet, Persae in fines Romanorum incursiones faciunt (40). Legatio Theodori, Bacchi filii, ad Chosroëm, quem in Armenia belligerantem comitatur (41). Valentinus, Romanorum ad Turcos legatus, a Turxatho, duce eorum, contumeliis afficitur (43). Turci bellum Romanis inferunt (45). Baianus, Avarum dux, a Tiberio Caesare instigatus cum magno exercitu in sedes Sclavinorum irrumpit (48). Chosroës inter ipsas pacis actiones bellum cum Romanis renovat (50). Eodem tempore Zacharias ad Chosroëm et Pherogdathes ad Tiberium de pace legati mittuntur (54). Zacharias et Theodorus cum aequis pacis conditionibus ad Persas missi, ab Hormisda, post Chosroëm Persarum rege, indigne excepti, infectis rebus domum revertuntur (55). Zacharias iterum a Tiberio ad pacem componendam in Persiam missus in confiniis cum Andigan legato Persarum, convenit, sed longis disceptationibus nihil efficitur (60). Romani Sirmium urbem Baiano, Avarum duci, dedere coguntur (66).

III. EXCERPTA DE SENTENTIIS.

Fragmentum prooemii (2). Silzibulus adversus Ephthalitas et Avares bellum parat (10). Prudentia Catulphi Ephthalitae (10). De victoriae inconstantia, de libertate dicendi, de animi constantia (10). Petri Patricii uberior historia de legatione ipsius ad Chosroëm laudatur (12). Breves sententiae de inconstantia fortunae, de periculis belli civilis, de providentiae commodis (30). Baiani impudentia adversus Romanos (30). De maledicentiae turpitudine (35 a). Menandri epigramma in Isaozitam Magum, qui ad fidem Christianam se convertit (35 a). Isaozitae constantia inter mortis cruciatus (35 a). Sententia (35 a) [p. 71, 24—27 ed. Lips.] Procopii

laudes (35 a) [p. 71, 28 ed. Lips.] Variae sententiae (35 a) [p. 72, 25.] 44 [p. 90, 5—18.] Romani poenas luunt pro iniustitia adversus populos vectigales (59). Mauricius in Iberia rem male gerit (59). Variae sententiae (59) [p. 114, 20.] 61 [p. 119, 30. 120, 1—9.] Tachosdro Persa graviter vulneratur (61). Mauricius a Persis vincitur (61).

NIEBUHRII COMMENTATIO DE VITA AGATHIAE EIUSQUE LIBRIS HISTORIARUM.

Agathias natus est Myrinae[1]) in Aeolide Asiae[2]), patre Memnonio, rhetore[3]), matre Periclea, matrona sanctissima, quam triennis amisit[4]). Haec quum mortua ac sepulta sit Constantinopoli, credibile est patrem sese illuc in urbem regiam contulisse, ad quam undique ex provinciis Graeci sermonis confluebant qui doctrinae ingenioque confiderent. Fratrem habuit virum honoratum, cuius tamen nomen ignoramus[5]): sororem Eugeniam, doctam puellam, discordi matrimonio cum Theodoto quodam coniunctam[6]). Agathiam, penultima syllaba correpta, nos vocamus; Graeci idem nomen, pro accentus ratione, Agathíam proferunt: idque eum ipsum ceterosque illius aevi homines fecisse, ita ut penultima longa uterentur, ex ipsius epigrammatis apparet[7]). Disciplinis litterarum, quas qui liberali animo essent percipiebant ante-

---

1) Prooem. Hist. p. 8. 9 ed. Bonn. Smyrnaeus vitiose dicitur apud Eudociam atque in nonnullis Suidae codicibus.
2) Unde Asianus vocatur in Anthologia Palatina.
3) Prooem. l. c. — Epigramma Michaelii inter testimonia. 4) Epigr. 43. 5) Ei simul cum patre atque Agathia fratre statuam posuerunt Myrinaei: Epigr. Michaelii.
6) Epigr. 53. 54. 7) Epigr. 36. *Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι* —. Epigr. 72. *Ἀλλὰ πατήρ με πόληος ἐναλλάξας Ἀγαθίας* — [*πατὴρ πόληος* quo sensu dicatur explicuit Reiskius ad Const. Porph. vol. 2 p. 611.] Haud aliter in Latio Prudentius *Asclepiadem*, Sidonius *Euripidem*, penultima producta posuerunt: hic carm. IX. 231. *Orchestram quatit alter Euripides*, ille Peristeph. X. 42. *Ascle-*

iectura est, quando Agathias de Mauricii gestis narrabat, hunc adhuc privatum fuisse: quippe quem, absque ulla summi fastigii commemoratione, Pauli filium, magistrum militum, vocat. Id vero ad refellendam Fabricii opinionem sufficeret, qui sibi persuaserat Agathiam, quo tempore Evagrius historiam absolvit, scilicet anno 593, nondum edidisse: at illa, accuratius inspectis verbis quae vir nunquam sine laude commemorandus festinantius legit, ipsa per se concidit[22]. Itaque Agathiam Tiberio adhuc regnante, ante annum 582, quo anno Mauricius imperium adeptus est, e vita decessisse arbitror. Nam obitu eius factum esse quod historiae opus ad finem non sit perductum, Menander innuit, oratione usus parum quidem apta[23], sed pravae interpretationi minime obnoxia: modo meminerimus Chosrois mortem viginti fere annis post Hunnorum adventum in Thraciam, ubi quinti libri narratio abrumpitur, accidisse. Ac ne quis forte suspicetur ad molestiora negotia delatum, atque ita otio quod historiae scribendae tribueret privatum esse, in eodem vitae genere permansisse vel cognomine teste compertum est. Quo concesso quis credat fieri potuisse ut sponte omitteret gratum laborem a quo omni vi atque unice persequendo negotiis forensibus se distineri queritur[24]? quae tamen cumulate offerri alias laetandum sibi esse fatetur, ne inopia prematur. Nemo tamen hinc concludat Agathiam annumerandum esse infelicibus illis qui, ne fame vexentur, a litteris recedere coacti sunt. Nam illa erat scholasticorum condicio ut eorum avaritia legibus esset compescenda: neque clientibus caruisse credemus virum qui insigni facundiae gloria et vivus et post mortem floruit. Itaque, nisi lusus est ista de sua sorte querela, illis accensendus erit Agathias qui, nisi admodum laute vivere aliisque largiri possunt,

---

22) Locum posui inter testimonia. Verba *εἰ καὶ μήπω ἔτυχον ἐκδεδωκότες* ad scriptores quos nominaverat referri non possunt: quae si Evagrii mens esset, ratione iubente, scripsisset *τυγχάνουσιν*. Sunt illa omnino mendosa, et nescio qua de re interpretanda quae Mauricii animum movere potuerit ut supplici regi auxilium denegaret. 23) V. testimonia: *ὡρμήθην ἄρξασθαι μετὰ τὴν ἀποβίωσιν Ἀγαθίου.*

24) Hist. III. 1. p. 138.

egere sibi videntur. Quae quidem opinio epigrammate confirmatur quo ille, pater oppidi dictus, in municipio suo locum, antea obscoenis immunditiis foedum atque detestabilem, purgasse, atque eleganti aedificio, nescio quo, ornasse dicitur[25]. Alia fortasse praeterea pietatis officia in patriam contulit: quae non minus propter hanc virtutem quam eloquentiae causa, eum cum patre Memnonio et fratre statua ornavit[26]: cuius honoris, quum olim fuisset vulgatissimus, illo tempore in privatos collati vix aliud superest exemplum.

Mansit autem viro laudato etiam post funus eadem insignis fama eloquentiae: ad quam referendum esse videtur quod Menander, qui eius historiam continuavit, infantiam suam tam vehementer excusat. Itaque quum, renatis sub Basilidarum imperio litteris, eandem laudem appeterent pusilli ingenii homines, Agathiam imitandum sibi sumpsit Leo Diaconus, ut Hasius indicavit: cui quod placuerit in huius scriptoris, quo edito permagnum certe cepit historia incrementum, sermone exquirendo splendidum philologiae documentum edere, id facundissimos quosque Atticos, si quis ad manes de factis nostris rumor manat, non sine invidia ferre existimo. Hodie Agathias vix cuiquam ultra mediocritatem assurgere videbitur: licet G. I. Vossius, haud levis auctoritatis vir, tersum eius atque floridum dicendi genus praedicet. Certe ipse sermo Graecus a puritate, quae tamen minima laus esset, longe abest; ac, ne a vitiis quidem grammaticis immunis, haud raro degeneris loquelae nota foedatur: tum vero admixta dialectorum, Ionicae praesertim, epicorumque verborum varietate, sive quaesita sive imprudenter assumpta, saepissime offendit. Quae ut condonaveris aevi infelicitati, praecipuaeque difficultati scribendi lingua emoriente, antequam adulta sit atque e matris consortio exierit vulgaris, qua iam quotidie utuntur, tamen, ut laudem tribuas historico, sapientiam gravitatemque requires: at id non minus frustra in Agathia nostro. Imo potius ieiunum ingenium in sententiis prodit quas saepissime profert, tritas admodum atque e locis petitas communibus: ibi vero argute loqui satagit frigidissimas. Viri boni animum

25) Epigr. 72 26) Epigr. Michaëlii.

cum ostentatione prae se fert: neque tamen, quantum dignc scere licet, falso: immunis ab insectatione pariter atque a adulatione per universum opus: cuius, quaecumque in eo re prehenderis, ad cognoscendas res gestas summum pretiu atque unica utilitas est. Italica tamen negotia parum cognit habuisse videtur, in orientalibus longe versatior. Quem Procopio quum ingenio tum civili militarique prudentia long inferiorem esse Gibbono facile concesseris, fatebere tame eadem ratione super ceteros omnes, qui consecuti sunt, em nere, virum autem multo meliorem esse Procopio.

Christianus an fuerit in utramque partem disputatu est: verum edito epigrammate quo tabulam Archangelo de dicat [27]) illam religionem professum esse extra dubium es A quo si discesseris, inter cetera quae proferri possent fi missimum eiusdem opinionis argumentum esset, quod apo phthegma ex novo foedere sibi notum esse prodit [28]). Nequ id tamen certum foret indicium: etenim, dominante religion Christiana, paucos illos gentiles qui Constantinopoli dege bant talia nota habuisse non est quod dubitemus: atque ul id profert Christianum loquentem inducit. Mitem vero ani mum in reprehendendis alienis sacris, nisi improba sint a que immania, et indulgentiam quae errori in huiusmodi re bus, utpote non voluntario, veniam tribuit [29]), inter saevo illius aevi furores vix alibi exspectares quam apud eos qu dominantium crudelitate et saevitia vexarentur ipsi. Itaqu probabile est, gentili patre procreatum, Graecanicisque studii innutritum et delectatum, ne legum poenis hominumque vio lentiae obnoxius esset, non opinionis vi adductum, Christiani se adiunxisse.

Historiarum libri vulgo ex codice Lugdunensi inscribun tur *περὶ τῆς Ἰουστινιανοῦ βασιλείας*: vitio manifesto: quu scriptor se de morte Iustini Germani f. — qui iubente Iustin iun. Imp. necatus est — IV. 22. p. 255: atque de Chosroi fine (577) IV. 29. p. 272 dicturum esse promittat. At ide codex recte, pro illius aetatis more, quem ab Evagrio, Ioann

---

27) Epigr. 4. 28) Hist. III. 12. p. 165. cf. Indice Graec. s. v. *ζηλόω*. 29) Hist. I. 7. p. 28.

egere sibi videntur. Quae quidem opinio epigrammate confirmatur quo ille, pater oppidi dictus, in municipio suo locum, antea obscoenis immunditiis foedum atque detestabilem, purgasse, atque eleganti aedificio, nescio quo, ornasse dicitur[25]. Alia fortasse praeterea pietatis officia in patriam contulit: quae non minus propter hanc virtutem quam eloquentiae causa, eum cum patre Memnonio et fratre statua ornavit[26]: cuius honoris, quum olim fuisset vulgatissimus, illo tempore in privatos collati vix aliud superest exemplum.

Mansit autem viro laudato etiam post funus eadem insignis fama eloquentiae: ad quam referendum esse videtur quod Menander, qui eius historiam continuavit, infantiam suam tam vehementer excusat. Itaque quum, renatis sub Basilidarum imperio litteris, eandem laudem appeterent pusilli ingenii homines, Agathiam imitandum sibi sumpsit Leo Diaconus, ut Hasius indicavit: cui quod placuerit in huius scriptoris, quo edito permagnum certe cepit historia incrementum, sermone exquirendo splendidum philologiae documentum edere, id facundissimos quosque Atticos, si quis ad manes de factis nostris rumor manat, non sine invidia ferre existimo. Hodie Agathias vix cuiquam ultra mediocritatem assurgere videbitur: licet G. I. Vossius, haud levis auctoritatis vir, tersum eius atque floridum dicendi genus praedicet. Certe ipse sermo Graecus a puritate, quae tamen minima laus esset, longe abest; ac, ne a vitiis quidem grammaticis immunis, haud raro degeneris loquelae nota foedatur: tum vero admixta dialectorum, Ionicae praesertim, epicorumque verborum varietate, sive quaesita sive imprudenter assumpta, saepissime offendit. Quae ut condonaveris aevi infelicitati, praecipuaeque difficultati scribendi lingua emoriente, antequam adulta sit atque e matris consortio exierit vulgaris, qua iam quotidie utuntur, tamen, ut laudem tribuas historico, sapientiam gravitatemque requires: at id non minus frustra in Agathia nostro. Imo potius ieiunum ingenium in sententiis prodit quas saepissime profert, tritas admodum atque e locis petitas communibus: ubi vero argute loqui satagit frigidissimas. Viri boni animum

---

25) Epigr. 72 26) Epigr. Michaëlii.

13. 64 varia ex quinque libris excerpta inveniri, Harlesius annotavit, Bandinium secutus, cat. codd. Gr. II. p. 530. III. p. 113, quod opus inspicient quibus illo frui posse contingit.

TESTIMONIA ET IUDICIA DE AGATHIA.

ΜΙΧΑΗΛΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἡ πόλις Ἀγαθίαν τὸν ῥήτορα, τὸν στιχαοιδὸν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ' υἱεϊ, καὶ πόρε τήνδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα καὶ σοφίης·
Μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησεν, γενεῆς σύμβολα σεμνοτάτης.

Euagrius hist. eccl. IV, 24 ex ed. Rob. Steph.
πέπρακται δὲ καὶ ἕτερα τῷ Ναρσῇ λόγου πολλοῦ ἄξια, Βουσελῖνον καὶ Συνδούαλδον καταπολεμήσαντι, καὶ τὰ πολλὰ προσκτησαμένῳ μέχρι Ὠκεανοῦ· ἅπερ Ἀγαθίᾳ μὲν γέγραπται τῷ ῥήτορι, οὔπω δὲ ἐς ἡμᾶς ἀφῖκται.

Idem ibid. V, 24.
τὰ ἐχόμενα δὲ τούτῳ (τῷ Προκοπίῳ) Ἀγαθίῳ (sic) *τῷ ῥήτορι καὶ Ἰωάννῃ ἐμῷ τε καὶ πολίτῃ καὶ συγγενεῖ καθ' εἱρμὸν ἱστόρηται, μέχρι τῆς Χοσρόου τοῦ νέου πρὸς Ῥωμαίους φυγῆς, καὶ τῆς εἰς τὴν αὐτοῦ βασιλείαν ἀποκαταστάσεως, Μαυρικίου — ὑποδεξαμένου — βασιλικῶς, καὶ — καταγαγόντος, εἰ καὶ μήπω ἔτυχον ἐκδεδωκότες.*

Ioannes Scholasticus Epiphaniensis initio fragmenti.
τὰ μὲν ὅσα Ῥωμαῖοί τε καὶ Μῆδοι πολεμοῦντες ἀλλήλοις ἔπαθόν τε καὶ ἔδρασαν κατὰ τὴν Ἰουστινιανοῦ τοῦ Ῥωμαίων αὐτοκράτορος βασιλείαν, γέγραπται Ἀγαθίᾳ τῷ Μυριναίῳ, ἀνδρὶ τοῖς ἐν Βυζαντίῳ ῥήτορσι καταλεγέντι διαφανῶς, καὶ μετά γε Προκόπιον τὸν Καισαρέα τὰ πρὸς τοὺς βαρβάρους πραχθέντα ἀναγράψαντι.

Menander Protector ap. Suidam s. v. *Μένανδρος.*
ὡρμήθην ἐπὶ τήνδε συγγραφὴν, ἄρξασθαι μετὰ τὴν ἀπο-

Epiphaniensi, aliisque servatum videmus, libros τύμους vocat.

Codices scripti perpauci supersunt. De Rehdigerano et Lugdunensi, quibus usus sum, dixi in Praef. Vaticanum membranaceum esse antiquum mihi significavit Ang. Maius, qui variantes scripturas ex quarti libri initio delibatas speciminis loco misit. Eae cum Rehdigerano libro ita conveniunt ut valde probabile sit hunc inde exscriptum esse. Exscriptus autem est ex codice integro: ut Vaticanus, monente Maio, nunc quidem est, suppletis a recentiore manu aliquot foliis, sed quoniam ea aliquando deerant, inde ortae sunt lacunae in versione Personae, licet codici quo is usus est cum Rehdigerano proxima intercedat affinitas. Tamen hic Vaticanus codex ut aliquando inspiciatur optandum est, quo plane de fide atque auctoritate Rehdigerani constare possit. Praeterea ex Montefalconio Harlesius Fabricio adscripsit integrum opus exstare Graece inter codices scriptos Ottobonianos; atque in cod. MMIV. bibliothecae Vaticanae antiquae Agathiam de bello Gothorum: e contrario in Marciana Venetiis cod. DCCXII. libros posteriores, deficientibus primo et secundi parte: scilicet, ut videtur, illa ipsa de Narsetis bello Italico narratione.

Quum autem Agathias in eorum numero fuerit historicorum quos Constantinus Porphyrogenitus in eclogas redigi iussit, leguntur ex illo tria de legationibus excerpta in codice Bavaro, quorum collatio cum editis debetur doctissimo Spengelio. Multo plus idem scriptor ad titulum de sententiis conferre debebat, quem nuperrime in luminis oras reduxit A. Maius, vir iuvandis litteris divinitus saeculo nostro concessus, et „cui nemo civi' neque hostis quibit pro factis reddere operae pretium." Sex folia de his excerptis superesse is nos edocet (Coll. Vaticanae scriptorum Graecorum II. p. 464): quorum collationem ab eius amicitia petissem, impetraturumque fuisse certe scio; verum opere iam profligato nolui molestus esse viro minime otioso.

Praeterea superest in Parisinae regiae cod. MDCI. membranaceo, Fonteblandensi, folium unicum, cuius lectiones quae variant, dedi. Iisdem fortasse terminis continetur fragmentum de Francis Laurentianum LIX, 17. 9. — ubi in plut. LXXIV,

caris occumbit. Gothi in Aemilia et Liguria a Romanis deficiunt (15). Narses militum animos confirmat (16). Stephanus a Narsete Faventiam missus praefectorum ignaviam reprehendit (17). Narses Lucam denuo oppugnatam capit (18). Exercitu in hiberna dimisso Ravennam proficiscitur (19). Aligernus Gothus Cumas sponte Narseti dedit (20). Narses, Varnis in militiam adscitis, prope Ariminum cum Francis confligit (21). Fuga simulata eos devincit (22).

LIBER II.

Proximo vere Franci et Alamanni Butilino et Leuthari ducibus Italiam vastant (1). Leutharis cum copiis suis domum proficiscens ab Hunnis et Romanis clade afficitur (2). Ipse cum copiarum reliquiis in Venetia gravi morbo correptus perit (3). Butilinus recedens castra ponit in Campania ad Casulinum flumen (4). Hortatur exercitum suum. Francorum armatura (5). Narses Butilino obviam progreditur: Francorum commeatus intercipit (6). Narsetis iustitia (7). Acies utrinque instruitur (8). Insignis Francorum clades (9). Narsetis victoria cum pristinis Graecorum tropaeis comparatur (10). Narses exercitum suum a segnitia revocat (11). Eius oratio (12). Gothorum reliquiae, Ragnare duce, Campsis obsidentur (13). Ragnare occiso, Gothi se dedunt. Chlotharius Francorum regno potitur (14). Ingens terrae motus. Vanae sapientium de eo sententiae (15). Cos insula eodem terrae motu funditus vastatur (16). Tralles olim simili calamitate afflictae (17). Bellum Romanorum et Persarum (18). Mermeroes Lazorum fines invadere conatur (19). Romani dolo oppressi recedere coguntur (20). Romani ex fuga Nesum se recipiunt (21). Mermeroes, exercitu reducto, Meschithae, Iberiae oppido, moritur (22). Sepulcrales Persarum ritus (23). Nova Persarum superstitio a Zoroastro profecta (24). Persae sub variis regnis varios mores traxerunt (25). Novi Persici regni origines (26). Artaxaris genus (27). Chosrois eruditio in suspicionem vocatur (28). Uranius philosophi speciem prae se ferens a Chosroe magni aestimatur (29). Philosophorum Romanorum in Persiam migratio (30). Qui spe sua deiecti in patriam redeunt. In itinere a mortuo quodam sepeliendo

βίωσιν τοῦ Ἀγαθίου, καὶ τῆς ἱστορίας ποιήσασθαι τὴν ἀρχήν.

Suidas et *Eudocia* s. v. *Ἀγαθίας.*

Ἀγαθίας σχολαστικὸς Σμυρναῖος (meliores codd. ap. Suidam *Μυριναῖος*) *ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τὸν Καισαρέα, τὰ κατὰ Βελισάριον, καὶ τὰς ἐν Ἰταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις· τουτέστι τὰ κατὰ Ναρσῆν ἐν Ἰταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ. οὗτος συνέταξε καὶ ἕτερα βιβλία ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακά, καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὧν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν· συνήκμασε δὲ Παύλῳ τῷ Σιλεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ, καὶ Τριβουνιανῷ, ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων.*

Scholium Palatinae Anthologiae.

Ἀγαθίου σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου, οὐ στέφανος, ἀλλὰ συναγωγὴ νέων ἐπιγραμμάτων. ἤκμασεν δ' οὗτος ὁ Ἀγαθίας ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου· ἔγραψεν δὲ καὶ ἱστορίαν καὶ τὰ ἐπονομαζόμενα Δαφνιακά· ἔγραψε δὲ ταῦτα ἐπιγράμματα πρὸς Θεόδωρον Δεκουρίωνα.

AGATHIAE HISTORIARUM SUMMARIA.

(Ex editione Bonensi.)

LIBER I.

Gothi in Italia Narseti se dedunt: mox tamen rebelles a Francis auxilia petunt (Cap. 1). De Francis; laudes eorum (2). Reges Francorum quattuor, Chlodovaei filii (3). Theudibertus, Francorum rex, cui succedit Theudibaldus puer (4). Legatio Gothorum ad Theudibaldum (5). Theudibaldus exercitum in Italiam mittit, ducibus Leuthari et Butilino. De Alamannis (6). Prava Alamannorum religio. Leutharis et Butilini superbia (7). Narses ad Cumas ducit (8). Cumae oppugnatae (9). Narses Cumarum muros suffodit (10). Gothos Tusciam habitantes in deditionem accipit (11). Luca circumsessa (12). Narsetis magnanimitas (13). Fulcaris et Herulorum clades (14). Ful-

Gubazem Byzantium mitti iusserat, recitantur (2). Oratio accusatorum adversus Rufinum et Ioannem (3, 4, 5, 5). Vix sedatis vulgi clamoribus, hi longa oratione se defendunt (7, 8, 9, 10). Causa utrimque perorata Athanasius reos damnatos ad supplicium duci iubet (11). Misimianorum legati auxilium petentes comiter a Nachoragane excipiuntur (12). Insequenti anno Romani, Baraze et Pharsante ducibus, Misimianis bellum inferunt: in finibus Apsiliorum Persarum exercitus iis obviam venit (13). Romani Hunnos Sabiros hoc anno cum Persis militantes ex improviso adorti vehementer premunt; Persarum exercitu superveniente recedunt (14). Interim Elminzur, dux Romanorum ab Iustino missus, Rhodopolin, Lazicum oppidum, a Persis olim expugnatum, subito aggressus occupat. Misimiani legatos Apsiliorum pacis causa a Romanis missos occidunt (15). Irati Romani fines eorum invadunt et exercitum vincunt. Victi Tzachar, castellum munitissimum, se recipiunt (16). Quod Romani segniter obsidentes ab Ioanne Dacna, quem Martinus ad eos miserat, novo studio incitantur (17). Centum eorum, Illo duce, explorato itinere, ad oppidum sub ipsa arce situm noctu adscendunt (18). Oppressis per noctis tenebras custodibus omnes incolas crudelissime trucidant (19). Sed ipsi paulo post a Misimianis cum magna clade detruduntur. Verumtamen Romanis nihilo secius castellum oppugnantibus, Misimiani pacem orant, quam Ioannes concedit (20). Misimianorum rebus compositis Iustinianus summum imperium Martino abrogatum Iustino tradit (21). Ioannes quidam Afer, venia ab Iustino impetrata, nefario dolo a provincialibus pecunias exigit (22). Chosroes Nachoraganem propter cladem ad Phasin urbem acceptam excoriari iubet (23). Digressio de novi Persici imperii regibus (24, 25, 26, 27, 28). Cabadis, Persarum regis, fata cum similibus Zenonis Isauri et Nepotis casibus comparantur. Chosrois, novissimi regis, ingloria mors (29). Sergii interpretis diligentia laudatur. Chosroes per Zichum legatum Byzantium missum inducias cum Iustiniano paciscitur (30).

LIBER V.

Tzanorum latrocinia. Theodorus ex Colchide contra eos

visu nocturno deterrentur (31). Magna Uranii apud Chosroem gratia (32).

LIBER III.

Agathiae querelae otium a rebus forensibus desiderantis (I). Nachoragan Persarum dux creatur. Martini et Rustici in Gubazem, Lazorum regem, odium (2). Insidiis structis cum eo conveniunt (3) Gubazes ab Ioanne, Rustici fratre, occiditur (4). Lazorum indignatio. Romani Onoguris obsidionem parant (5). Persae fortiter resistunt (6). Turpis Romanorum fuga (7). Lazorum post caedem regis deliberatio (8). Oratio Aeetis ut ad Persas deficiant suadentis (9, 10). Contra Phartazes ad fidem Romanis servandam hortatur (11, 12, 13). Iustinianus Athanasium ad causam cognoscendam in Lazorum terram mittit. Rusticus et Ioannes in vincula coniiciuntur (14). Tzathes, Gubazis frater, Lazorum regnum accipit. Soterichus ad dona regia distribuenda in Asiam missus (15), a Misimianis oppressus cum liberis suis interficitur (16). Quo facto Misimiani ad Persas desciscunt. Dilimnitarum manus a Nachoragane adversus Hunnos Sabiros missa (17), ab his nocturno proelio victa conciduntur (18). Nachoragan, pacis conditionibus frustra oblatis, ad Phasidem urbem expugnandam se confert (19). Romani ex Neso ad eam communiendam et defendendam accurrunt (20). Munimenta navalia instruuntur. Pars Romanorum, proelio temere commisso, aegre in oppidum se recipiunt (22). Martinus ficto nuntio militum animos confirmat (23). Parte copiarum ad speculandum emissa, Nachoragan exercitum adversus oppidum ducit. Iustinus, deum in propinquo templo adoraturus, inde progreditur (24). Revertens Persas oppidum summa vi oppugnantes a tergo adoritur (25). Primum sinistrum cornu eorum in fugam vertitur (26). Mox universi, turbatis ordinibus, ingenti clade fugantur (27). Multi Persarum lixae, qui in manus Romanorum inciderunt, misere pereunt. Nachoragan cum pedestri exercitu hibernatum in Iberiam proficiscitur (28).

LIBER IV.

Iudicium de caede Gubazis, Athanasio quaesitore, instituitur (1). Primum Iustiniani litterae ad Rufinum datae, quibus

Gubazem Byzantium mitti iusserat, recitantur (2). Oratio accusatorum adversus Rufinum et Ioannem (3, 4, 5, 5). Vix sedatis vulgi clamoribus, hi longa oratione se defendunt (7, 8, 9, 10). Causa utrimque perorata Athanasius reos damnatos ad supplicium duci iubet (11). Misimianorum legati auxilium petentes comiter a Nachoragane excipiuntur (12). Insequenti anno Romani, Baraze et Pharsante ducibus, Misimianis bellum inferunt: in finibus Apsiliorum Persarum exercitus iis obviam venit (13). Romani Hunnos Sabiros hoc anno cum Persis militantes ex improviso adorti vehementer premunt; Persarum exercitu superveniente recedunt (14). Interim Elminzur, dux Romanorum ab Iustino missus, Rhodopolin, Lazicum oppidum, a Persis olim expugnatum, subito aggressus occupat. Misimiani legatos Apsiliorum pacis causa a Romanis missos occidunt (15). Irati Romani fines eorum invadunt et exercitum vincunt. Victi Tzachar, castellum munitissimum, se recipiunt (16). Quod Romani segniter obsidentes ab Ioanne Dacna, quem Martinus ad eos miserat, novo studio incitantur (17). Centum eorum, Illo duce, explorato itinere, ad oppidum sub ipsa arce situm noctu adscendunt (18). Oppressis per noctis tenebras custodibus omnes incolas crudelissime trucidant (19). Sed ipsi paulo post a Misimianis cum magna clade detruduntur. Verumtamen Romanis nihilo secius castellum oppugnantibus, Misimiani pacem orant, quam Ioannes concedit (20) Misimianorum rebus compositis Iustinianus summum imperium Martino abrogatum Iustino tradit (21). Ioannes quidam Afer, venia ab Iustino impetrata, nefario dolo a provincialibu pecunias exigit (22). Chosroes Nachoraganem propter clade ad Phasin urbem acceptam excoriari iubet (23). Digressio d novi Persici imperii regibus (24, 25, 26, 27, 28). Cabadi Persarum regis, fata cum similibus Zenonis Isauri et Nepot casibus comparantur. Chosrois, novissimi regis, inglor mors (29). Sergii interpretis diligentia laudatur. Chosro per Zichum legatum Byzantium missum inducias cum Iust niano paciscitur (30).

LIBER V.

Tzanorum latrocinia. Theodorus ex Colchide contra e

profectus castra ponit prope Theodoriadem (1), ibique rebelles parvo successu elatos, dolo circumventos devincit, quibus Imperator annuum stipendium imponit (2). Byzantium ingenti terrae motu concutitur. Mors Anatolii (3). Iudicium vulgi de ea refellitur (4). Terror sinistris vaticiniis auctus, Byzantinos ad vanam virtutis ostentationem impellit (5). Causa terrae motuum a quibusdam in vaporibus subterraneis ponitur. Anthemii mechanici lepidum commentum (6, 7, 8). Iustinianus quum alia aedificia, tum sanctissimam Sophiae aedem reaedificandam curat. Cuius descriptio a Paulo Silentiario composita laudatur (9). Pestis Byzantii grassatur (10). De priscis Hunnorum sedibus et fatis. Hunni Cotriguri, Zabergane duce, Romanum imperium invadunt, Graeciam et Chersonesum petentes (11). Descriptio Chersonesi. Zabergan per murum magnum defensoribus vacuum suburbanam regionem ingressus, ipsi Byzantio imminet (12). Hunnorum saevitia et stupra. Militares Romani imperii opes tum valde imminutae erant (13). Causae huius decrementi. Urbs magno terrore impletur (14). Scholariorum militum origo et conditio. Belisarius iam senex defendendae urbi praeficitur (15). Is exercitum undequaque collectum ex urbe educit, et ad virtutem et moderationem exhortatur (16, 17, 18). Hac oratione confirmati Romani barbaros cum ingenti clade repellunt (19). Quibus fugatis, protinus Belisarius revocatur (20). Chersonesum interim Germanus, Dorothei filius, strenue defendit. Hunni ad circumnaviganda munimenta ex calamis rates conficiunt (21). Quibus vecti sexcenti homines a Romanis obviam navigantibus ad unum omnes aut merguntur aut caeduntur (22). Non multo post barbari etiam terrestri proelio vincuntur. Zabergan, auro ab Iustiniano accepto, universas Hunnorum copias in patrias sedes reducit (23). In quos decedentes Iustinianus Sandilchum, Utrigurorum regem, incitat (24). Perpetua inde bella exorta, quibus hae gentes invicem se consumebant (25).

MENANDRI FRAGMENTA.

Suidas: *Μένανδρος Προτίκτωρ, ἱστορικός, ὃς* 1
λέγει περὶ ἑαυτοῦ· "Ἐμοὶ πατὴρ Εὐφρατᾶς ἐκ Βυζαντίου ὁρμώμενος ἦν· οὗτος δὴ οὖν ἥκιστα τῆς τῶν λόγων μετειλήχει παιδείας. Ἡρόδοτος μὲν οὖν ὁμόγνιος δέ μοι, τῆς πρὸς τῶν νόμων ἀπογευσάμενος παιδείας εἶτα ἀφηνίασε τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ' ἔγωγε οὔτι χρῆναι ᾠόμην μὴ καὶ νόμοις ὁμιλῆσαι καὶ ἐς τέλος ἱκέσθαι τῶν πόνων, καὶ δὴ ἀφικόμην, ὥς μοι ὑπῆρχε δυνατόν. ἥκιστα δὲ ἐχρησάμην τῇ ἐπαγγελίᾳ τοῦ ἐπιτηδεύματος· οὐ γάρ μοι θυμῆρες ἦν ἀγωνίζεσθαι δίκας οὔτε μὴν ἐν τῇ βασιλείῳ στοᾷ θαμίζειν καὶ δεινότητι λόγων τὰς τῶν ἐντυγχανόντων οἰκειοῦσθαι φροντίδας. καὶ τὰ σπουδαῖα τοιγαροῦν παρεὶς καὶ τὰ χείριστα ἑλόμενος κεχηνὼς περιενόστουν, καί μοι καταθύμιοι ἦσαν οἵ τε θόρυβοι τῶν χρωμάτων καὶ οἱ ἀμιλλητήριοι τῶν ἵππων ἀγῶνες, ἔτι γε μὴν καὶ ἡ παντόμιμος ὄρχησις, οὐ μὴν ἀλλὰ καὶ παλαίστραις ἐναπεδυόμην, καὶ ἐς τοσοῦτον ἐξώκειλα ἀφροσύνης ὡς καὶ τὸν φαινόλην ἀποδύσασθαι, συναποδύσασθαι δὲ αὐτῷ καὶ τὸ νουνεχὲς καὶ ἄλλο ὅ,τι ἐς βίον ἀγλάϊσμα. ἐπεὶ δὲ

μενοι σίνοιντο τοὺς Ῥωμαίους. [Exc. de legat. p. 132—133 ed. Par., 344—345 Niebuhr.]

4 a. 558. Περὶ Ἀβάρων, ὡς πολλὰ περινοστήσαντες ἧκον ἐς Ἀλανούς, καὶ ἱκέται ἐγένοντο Σαρωσίου τοῦ Ἀλανῶν ἡγουμένου, ὡς ἂν δι' αὐτοῦ γνώριμοι ἔσοιντο Ῥωμαίοις. ὁ δὲ Ἰουστίνῳ τῷ Γερμανοῦ, κατ' ἐκεῖνο καιροῦ τῶν ἐν Λαζικῇ καταλόγων ἐξηγουμένῳ, τῶν Ἀβάρων πέρι ἐδήλωσεν, ὁ δὲ Ἰουστῖνος Ἰουστινιανῷ βασιλεῖ. καὶ δὴ ἐνεκελεύσατο ὁ βασιλεὺς τῷ στρατηγῷ στέλλειν ἐς Βυζάντιον τὴν πρεσβείαν τοῦ ἔθνους. καὶ οὖν Κανδὶχ ὄνομά τις ᾑρέθη πρεσβευσόμενος ὑπὲρ Ἀβάρων πρῶτος, ὃς ἐς τὰ βασίλεια ἐσφοιτήσας ἔλεξε τῷ αὐτοκράτορι ὡς πάρεστι τὸ μέγιστόν τε καὶ ἀλκιμώτατον τῶν ἐθνῶν καὶ ὡς τὸ φῦλον οἱ Ἄβαροι ἀκαταμάχητοί τέ εἰσι καὶ τὸ ἀντιστατοῦν οἷοί τε ῥᾳδίως ἀπώσασθαί τε καὶ διαφθείρειν, καὶ ὡς προσῆκόν ἐστι τῷ βασιλεῖ ἐς ὁμαιχμίαν σφᾶς ἑταιρίσασθαι ἀλεξητῆράς τε ἔχειν ἀγαθούς, καὶ ὡς οὐκ ἄλλως εὐνούστατοι ἔσονται τῇ Ῥωμαϊκῇ πολιτείᾳ ἢ δώροις ἐς τὰ μάλιστα τιμιωτάτοις καὶ χρήμασιν ἐτησίοις καὶ γῆς εὐφορωτάτης οἰκήσει. ταῦτα τῷ αὐτοκράτορι ἐπειδὴ ἤγγειλεν ὁ Κανδίχ, αὐτίκα, οὐ γὰρ ἐσφρίγα οἱ τὸ σῶμα οὐδὲ ἤκμαζεν ἡ ἀλκή, ὥσπερ ἀμέλει ἡνίκα Γελίμερά τε τὸν Βάνδιλον καὶ Οὐίττιγιν τὸν Γότθον ἄμφω ἔτι νεάζων ἔθετο δοριαλώτον, ἀλλ' ἤδη γηραλέος τε ἦν καὶ τὸ ἀνδρεῖον ἐκεῖνο φρόνημα καὶ φιλοπόλεμον μετεβέβλητο ἐς τὸ ῥᾳθυμότερον, ταῦτα ἔγνω ἑτέρῳ τρόπῳ καὶ οὐχὶ πολέμῳ τὴν βαρβαρικὴν ἀποκρούσασθαι δύναμιν. καὶ κατηγωνίσατο ἂν καὶ ἄρδην ἠφάνισεν, εἰ καὶ μὴ πολέμῳ, ἀλλ' οὖν εὐβουλίᾳ, εἴ γε μὴ τῷ ὀφειλομένῳ τέλει πρότερον ἠφανίσθη αὐτός· οὐ γὰρ πολλῷ ὕστερον

σις ἡ πόλις, ἔνθα λέγεται εἶναι τὰ τοῦ Αἰήτου βα-
εια, οὐδὲν ἧττον ὑπὸ Ῥωμαίους ἐτύγχανον ὄντα·
ος δὲ ἔδοξε Ῥωμαίοις τε καὶ Πέρσαις, ὧν μὲν ἐν
οχῇ ὑπῆρχον, εἴτε φρούρια εἴτε ἕτερα ἄλλα (ἅττα
b. in ind.), οὔτι μεταθεῖναι, εἶναι δὲ ἐν τῷ αὐτῷ
ρι οὗ ἀσφαλέστερον διευκρινηθείη τὰ τῆς διαφο-
. καὶ τοίνυν ἐδόκει οὐκ ἄλλως, ἐκεχειρία τέ τις ἐγε-
ει ὅσον οὔπω τελεωτάτης εἰρήνης ἔχουσα ἐλπίδα,
τε μέγιστα τῶν πολιτευμάτων ἡσυχίαν ἦγον.
ὶ οὖν ταῦτα τῇδε ἐχώρει καὶ οἵ γε ἀμφὶ τὸν Ζα-
γὰν Οὖννοι πόρρω που τῆς Ῥωμαίων ἐπικρατείας
ληλαμένοι ἐτύγχανον, τηνικαῦτα Ἰουστινιανός, ἐν
γὰρ εἶχεν ὡς ἐλεύσονται καὶ αὖθις οἱ Κοτρίγου-
δῃώσοντες τὰ ἐπὶ Θρᾴκης, ἐγκείμενός τε ἦν τῷ
νδίλχῳ τῷ τῶν Οὐτιγούρων ἡγεμόνι, ἀνίει τε
αμῶς παραινῶν, πρεσβείας τε συχνὰς ἐκπέμπων
ἄλλοτε ἄλλῳ τρόπῳ ἀνερεθίζων, ὡς ἂν ἀμωσγέ-
ς ἐκπολεμώσῃ γε αὐτὸν ὡς τὸν Ζαβεργάν. προσ-
θει δὲ ταῖς ὡς τὸν Σάνδιλχον ἀγγελίαις ὁ αὐτο-
ίτωρ ὡς εἴ γε καταγωνίσοιτο τοὺς Κοτριγούρους,
τὰ ὅσα ἐτήσια χρήματα ἐκ τῆς Ῥωμαίων ἐπικρα-
ας ἀπονεμηθέντα ἦσαν τῷ Ζαβεργᾷ, μεταθήσειν
αὐτόν. καὶ τοίνυν ὁ Σάνδιλχος, Ῥωμαίοις γὰρ
τήδειος ἐβούλετο εἶναι, βασιλεῖ ἐσήμηνεν ὡς πέ-
κεν οὐχ ὅσιον μὲν οὐδὲ ἄλλως εὐπρεπὲς τοὺς
φύλους ἀφανίσαι ἄρδην, μὴ ὅτι ὁμόγλωσσοί τέ
καὶ ὁμόσκηνοι ἡμῖν καὶ ὁμοίᾳ χρῶνται στολῇ
διαίτῃ, ἀλλ' ὅτι καὶ συγγενεῖς καὶ (κἂν Nieb.)
ροις τισὶ τετάχαται ἡγεμόσιν. ὅμως δ' οὖν, Ἰου-
νιανὸς μὲν γὰρ ὁ τὰ τοιάδε ἐγκελευσάμενος,
ίκα τὴν ἵππον τοὺς Κοτριγούρους ἀφελόμενος
εῖον ποιήσομαι κτῆμα, ὡς ἂν μὴ ἔχοιεν ὅτῳ ὀχού-

1*

νυν Μεζάμηρος ὁ πρεσβευτής, στωμύλος τε ὢν καὶ ὑψαγόρας, ὡς Ἀβάρους ἀφικόμενος ἀπέρριψε ῥήματα ὑπερήφανά τε καὶ θρασύτερά πως. (*ὑπερήφανά πως καὶ θρασύτερα* Suidas v. *ἀπέρριψε.*) *ταῦτά τοι ὁ Κοτρίγουρος ἐκεῖνος, ὁ τοῖς Ἀβάροις ἐπιτήδειος, ὁ κατὰ Ἀντῶν τὰ ἔχθιστα βουλευσάμενος, ἐπεὶ ὁ Μεζάμηρος ὑψηλότερον ἢ κατὰ πρεσβευτὴν διελέγετο, εἶπεν ὡς τὸν Χαγάνον "οὗτος ὁ ἀνὴρ μεγίστην ἐσότι περιβέβληται δύναμιν ἐν Ἄνταις, οἷός τε πέφυκε κατὰ τῶν ὁπωσοῦν αὐτῷ πολεμίων ἀντιτάττεσθαι. δεῖ τοιγαροῦν ἀποκτανθῆναι τοῦτον καὶ τὸ λοιπὸν ἀδεῶς ἐπιδραμεῖσθαι τὴν ἀλλοτρίαν." τούτῳ πεισθέντες οἱ Ἄβαροι, παρωσάμενοι τὴν τῶν πρέσβεων αἰδῶ ἐν οὐδενί τε λόγῳ θέμενοι τὴν δίκην, ἀναιροῦσι τὸν Μεζάμηρον. ἐξ ἐκείνου πλέον ἢ πρότερον ἔτεμνον τὴν γῆν τῶν Ἀντῶν καὶ οὐκ ἀνίεσαν ἀνδραποδιζόμενοι καὶ ἄγοντές τε καὶ φέροντες.* [Exc. de legat. p. 100—101 Par., 284—285 Niebuhr.] *)

---

7 *) Nihil omnino huc pertinent quae Zenobius 4, 32 et Photius s. Suidas ponunt: *Θρᾷκες ὅρκια οὐκ ἐπίστανται· ταύτης μέμνηται Μένανδρος ἐν τῇ πρώτῃ. λέγει γὰρ ὅτι ἐν ταύτῃ* (*αὐτῇ* Photius) *τῇ γῇ ὁ πρεσβύτατος ἀκοντισθεὶς διὰ τοῦ στήθους ἀπώλετο· καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα ἐγένετο, Θρᾷκες ὅρκια οὐκ ἐπίστανται*, sed propter Zenobii Hadriano aequalis aetatem Menandri Protectoris certe non esse, cui tribuit Niebuhrius p. 439, et Pergameno vel Ephesio potius convenire, animadvertit Hemsterhusius. Suidae libri deteriores ὁ *πρεσβύτης* vel *πρεσβεύς τις*, unde ὁ *πρεσβευτὴς* nonnulli scripserunt. Alia confusione in cod. Coisliniano apud Gaisfordum p. 143, n. 261 eadem ponitur explicatio: *Λέγεται ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων, παρ' ὅσον οἱ Θρᾷκές ποτε σπεισάμενοι πρὸς τοὺς Βοιωτοὺς καὶ ὀμόσαντες νυκτὸς ἐπιθέμενοι πολλοὺς αὐτῶν ἀπέκτειναν*, quae ibidem et apud reliquos in sequenti *Θρᾳκία παρεύρεσις*. Non animadverterat Niebuhrius ne Suidae quidem, quem unum memorat, convenire illud *ἐν τῇ πρώτῃ*.

Ὅτι Ἄμμιγος [1]) ὁ Φράγγος ἐστρατοπεδεύσατο 8 ἀντικρὺ τοῦ ποταμοῦ Ἀττίσου, ᾗ προσδόκιμοι ἦσαν f. a. 561 Iustiniani 35. οἱ Ῥωμαῖοι διαβήσεσθαι. ὁ δὲ Ναρσῆς τοῦτο ἐγνωκὼς Παμφρόνιον, ὃς ἐν τοῖς βασιλέως πατράσιν ἐτέλει, καὶ Βοῦνον, προεστῶτα τῆς αὐτοῦ βασιλέως περιουσίας, ἐκπέμπει πρεσβευσομένω ἄμφω ὡς Ἄμμιγον, ἐδήλωσέ τε αὐτῷ ἐκποδὼν γενέσθαι καὶ μηδαμῶς πόλεμον αὖθις κινῆσαι κατὰ Ῥωμαίων· ἐκεχειρία γάρ τις ἐγεγόνει μεταξὺ τοῦ χρόνου Φράγγοις τε καὶ Ῥωμαίοις. ὁ δὲ Ἄμμιγος διὰ τῶν πρέσβεων ἀπεκρίνατο ὡς οὐκ ἐνδώσοι ποτὲ ἔστ' ἂν αὐτῷ τὸ ἀκόντιον οἷα τέ ἐστι κραδαίνειν ἡ χείρ. [Exc. de legat. p. 133 Par., 345—346 Niebuhr.]

Ὅτι ἐδέξατο Ἰουστινιανὸς παρὰ Ἀβάρων πρέσ- 9 βεις, ἐφ' ᾧ σφᾶς περιαθρῆσαι γῆν, ὅποι τὸ φῦλον a. 562 Iustiniani 36. θήσονται τὰς οἰκήσεις. καὶ ὁ μὲν βασιλεύς, Ἰουστίνου τοῦ στρατηγοῦ σημήναντός οἱ, ἐν βουλῇ ἐποιήσατο ἐς τὴν Ἐλούρων χώραν κατοικίσαι τὸ ἔθνος, ἔνθα πρὸ τοῦ ᾤκουν οἱ Ἔλουροι· δευτέρα δὲ προσαγορεύεται Παιονία· καὶ εἴ γε θυμῆρες αὐτοῖς ἐγένετο, καὶ κατένευσεν ἂν ὁ βασιλεύς. ἀλλ' ἐκεῖνοι Σκυθίας οὔτι ᾤοντο δεῖν ἔσεσθαι ἐκτός· αὐτῆς γὰρ δήπουθεν ἐσότι ἐφίεντο. τοῦτο μὲν οὖν οὐ προὔβη,

---

1) Ἄμμιγος] „Hic Amingus dicitur a Paulo lib. II historiae Longobardorum: „Amingus vero dum Widino, Gothorum comiti, contra Narsetem rebellare paranti auxilio esse non dubitat, victus Narsetis gladio perimitur, Widinus captus Byzantium mittitur.“ Sic etiam nominatur ab Aimonio in lib. II hist. Franc. et ab Hermanno Contracto in Chronico, quod editum est a Canisio. In Appendice vero Marcellini Comitis, ex qua Hermannus haec desumpsit, omnirugus perperam exaratur, annusque, quo a Narsete devictus est, male designatur, cum haec clades anno 33 Justiniani ut minimum contigerit.“ Valesius.

ἔστειλε δὲ ὅμως Ἰουστῖνος ὁ στρατηγὸς τοὺς πρέσβεις ἐς τὸ Βυζάντιον, ἐδήλωσέ τε τῷ βασιλεῖ ὡς ἂν αὐτοῦ ἐν κατοχῇ ἔσοιντο ἐπὶ πολύ. ἐφιλοποιήσατο γὰρ τῶν πρέσβεων ἕνα ὄνομα Οἰκουνίμων· ἐν ἀπορρήτῳ τέ οἱ ἔλεγεν ὁ Οἰκουνίμων ὡς ἕτερα διαλεγόμενοι ἕτερα γνωματεύουσι, καὶ ὡς λόγοις μὲν ἐς τὰ μάλιστα μετρίοις χρῶνται καὶ ὡς τὴν ἐπιείκειαν παραπέτασμα προβάλλονται τοῦ δόλου, τῷ ἐμπεδῶσαι δῆθεν τὸ εὔνουν ὡς τοὺς Ῥωμαίους, ὡς ἂν ταύτῃ διαπεραιωθεῖεν τὸν Ἴστρον, τὸ δέ γε βουλόμενον αὐτοῖς τῆς γνώμης ἔχει ἑτέρως, καὶ ὡς, εἴ γε διέλθοιεν τὸν ποταμόν, βούλονται πανστρατὶ ἐπιθέσθαι. τούτων οὖν Ἰουστῖνος ἐγνωσμένων αὐτῷ τῷ βασιλεῖ ἐσήμηνεν ὡς ἂν οἱ πρέσβεις τῶν Ἀβάρων ἐγκαθειργμένοι ὦσιν ἐν Βυζαντίῳ· ταύτῃ γὰρ οὐκ ἀνέξοιντο διελθεῖν τὸ ῥεῖθρον, πρὶν ἢ ἀφεθῶσιν οἱ πρέσβεις. ἐν ᾧ δὲ ταῦτα ἔπρασσεν ὁ Ἰουστῖνος, οὐχ ἧττον παρεσκευάζετο ἅμα φυλάξων τὰς διαβάσεις τοῦ ποταμοῦ· Βῶνον γὰρ τὸν πρωτοστάτην τοῦ θητικοῦ καὶ οἰκετικοῦ τῇ τοῦ ποταμοῦ ἀπένειμε φυλακῇ. οἱ δὲ πρέσβεις τῶν Ἀβάρων ἐπεὶ οὐδέν τι ὤνησαν ὧνπερ αἰτοῦντες πρὸς βασιλέα ἀφίκοντο, δῶρα, ὥσπερ σύνηθες ἦν αὐτοῖς, παρ' αὐτοῦ εἰληφότες, καὶ μὲν οὖν ὠνησάμενοι τὰ ὅσα χρεών, τοῦτο δὲ καὶ ὅπλων (πλῆθος addit Nieb.), ἀφείθησαν μέν, ὅμως δ' οὖν Ἰουστίνῳ λάθρα ἐνεκελεύσατο ὁ βασιλεὺς τρόπῳ τῳ τὰ ὅπλα ἀφελέσθαι παρὰ σφῶν. καὶ οὖν ὁ στρατηγὸς ἐπεὶ ἐδέξατό γε αὖθις ἐπανιόντας τοὺς πρέσβεις, κατὰ ταῦτα ἐποίει. ἐντεῦθεν ἤρξατο ἡ δυσμένεια Ῥωμαίων τε καὶ Ἀβάρων, ἤδη ἐκ πολλοῦ ὑποτυφομένη, καὶ μάλιστα τῷ μὴ ὡς θᾶττον ἀφεθῆναι τοὺς πρέσβεις. συνεχέστατα γὰρ ἐσήμηνεν

ὁ *Βαϊανὸς ὡς ἂν ἐπανέλθοιεν· τὸ μελετώμενον δὲ σάφα ἐπιστάμενος ὁ βασιλεὺς ἄλλοτε ἄλλως διετίθει τὸ παρόν, ὅπως ἐς τὴν βασιλίδα πόλιν ἐγκαθειργμένοι εἶεν.* [Exc. de legat. p. 101 Par., 285—286 Niebuhr.]

Ὅτι ὁ πρὸς τοῦ κρατοῦντος ἠδικημένος χαλεπαί- 10
νει ὡς τὰ πολλὰ τῷ κοινῷ.

Ὅτι ὁ Σιλζίβουλος ὁ τῶν Τούρκων ἡγεμών, ἠκηκόει γὰρ ἤδη τῶν Ἀβάρων τῆς φυγῆς πέρι καὶ ὡς τὰ Τούρκων διαδηλησάμενοι ᾤχοντο, οἷα φύσει φρονήματι ἕπεται βαρβάρῳ, ἀπαυθαδισάμενος ἔφη ὡς "οὔτε ὄρνεις πεφύκασιν, ὅπως τῇ πτήσει ἀνὰ αἰθέρα διαφύγοιεν τῶν Τούρκων τὰ ξίφη, οὔτε μὴν ἰχθύες, ὡς ἂν ὑποβρύχιοι γενόμενοι ἐς τὰ κατώτατα τοῦ θαλαττίου ἀφανισθήσονται κλύδωνος, ἀλλ' ὕπερθε περινοστοῦσι τῆς γῆς· καὶ ἡνίκα μοι ὁ κατὰ τῶν Ἐφθαλιτῶν διανυσθήσεται πόλεμος, ἐπιθήσομαι καὶ Ἀβάροις καὶ τὰς ἐμὰς ἥκιστα φεύξονσι δυνάμεις." ταῦτα λέγεται ἐπικομπάσαντα τὸν Σιλζίβουλον ἔχεσθαι τῆς ἐπ' Ἐφθαλίτας ὁρμῆς.

Ὅτι ὁ Κάτουλφος κωλύων τὸν τῶν Ἐφθαλιτῶν ἡγεμόνα τῆς πρόσω πορείας ἐφθέγγετο βαρβαρικὸν μέν τι καὶ παροιμιῶδες, ὅμως δ' ἐχόμενον πειθοῦς, ἕνα κύνα ἐν τοῖς οἰκείοις ὀθνείων δέκα ῥωμαλεώτερον εἶναι.

Ὅτιπερ οὐδὲν οὕτω βέβαιον ὡς τὸ τῆς νίκης 'βέβαιον.

Ὅτι ἐν τοῖς μεγίστοις κινδύνοις πολλάκις παραπέσῃ γε τῇ τόλμῃ τὸ ἐλπίζεσθαι (παρέπεται τῇ τόλμῃ τὸ λογίζεσθαι Bekk.).

Οὐ γάρ ἔμοιγε τἀληθῆ σιγητέον, ἀλλ' οὐδὲ πρὸς χάριν ἂν εἴποιμι τῶν μέγα δυναμένων. οἷς γὰρ οὐκ

ἔνεστι τὸ εὐκλεές, τούτοις ἐγκώμια προσφέρων τις παρὰ τὴν πάντων δόξαν καταγέλαστον τίθησι τὸν ἐπαινούμενον, καὶ τὴν ἀλήθειαν ἐπισκιάζειν βουλόμενος κἂν τοῖς ὁμολογουμένοις ψεύδεσθαι δόξει.

Ὅτι ἀναπτερωτόν τι χρῆμα ἡ νίκη καὶ διαδιδράσκειν οἷά τε οὖσα ῥᾳδίως. ταῦτά τοι καὶ Ὅμηρος αὐτήν φησιν ἐπαμείβεσθαι τοὺς ἄνδρας.

Ὅτι ψυχὴ τυραννουμένη πρὸς φόβου τῶν δεόντων κατ' οὐδὲν ὁτιοῦν προμηθεύσεται.

Πᾶν γὰρ ἀγαθόν τε καὶ κακὸν τῇ ἀνθρωπίνῃ ταλαντεύεται γνώμῃ καὶ τῷ βουλομένῳ προσδέχεται τὴν ῥοπήν. [Exc. de sentent. (cod. p. 341) p. 353—355 Mai., 427—428 Niebuhr.]

11 Ὅτι ἀνὰ τὴν ἕω τε καὶ Ἀρμενίαν τελεωτάτη τις
.. 562. εἶναι εἰρήνη ἐδόκει, κατὰ δὲ τὴν Λαζικὴν ἐκεχειρία ἦν Ῥωμαίοις τε καὶ Πέρσαις. ἐπεὶ οὖν ὥσπερ ἡμιτελῆ τὰ τῆς εἰρήνης ὑπῆρχεν, ἐδέδοκτο δὲ Ῥωμαίων τε καὶ Περσῶν τοῖς βασιλεῦσι πληρεστάτην ἡσυχίαν ἄγειν, τούτου ἕνεκα Ἰουστινιανὸς στέλλει Πέτρον, ὃς τῶν κατὰ τὴν αὐλὴν ταγμάτων ἡγεῖτο, διαλεχθησόμενον Χοσρόῃ περὶ τῶν καθόλου σπονδῶν. καὶ τοίνυν ἀφικομένου ἐν τοῖς ὁρίοις τοῦ Δάρας, κατάδηλόν τε ποιήσαντος τῷ τῶν ἑῴων βαρβάρων βασιλεῖ ὡς πάρεστιν ἐπικηρυκευσόμενος ἀμφὶ τοῦ καταθέσθαι τὰ ὅπλα ἑκασταχόσε, ἐκπέμπεται αὐτόθι καὶ Περσῶν πρεσβευτής, ᾧ δῆτα ὑπῆρχε μὲν ἀξίωμα τὸ Ζίχ, μέγιστόν τι τοῦτο παρὰ τοῖς Πέρσαις γέρας, προσηγορία δὲ αὐτῷ Ἰεσδεγουσνάφ. οὗτος δὲ παρευναστὴρ τοῦ κατ' αὐτὸν βασιλέως ὑπῆρχε. καὶ τοίνυν ἐν ταὐτῷ γενόμενοι οἱ πρέσβεις, καὶ τῶν κατ' αὐτῶν ἐπιχωρίων ἀρχόντων εἰς ἓν ξυναθροισθέντων, κατέστησαν ἐς ἐκκλησίαν. καὶ Πέτρος ὁ τῶν Ῥω-

μαίων πρεσβευτής, ἀποχρώντως ἔχων τῆς τε ἄλλης παιδείας καὶ τῆς τῶν νόμων, ἔλεξεν ὧδε· "πάρεσμεν, ὦ ἄνδρες Πέρσαι, πρὸς τοῦ Ῥωμαίων βασιλέως σταλέντες. ὁποῖος δὲ ὁ καθ' ἡμᾶς βασιλεὺς περιττὸν ἂν εἴη λέγειν, τῶν πραγμάτων τὸν ἄνδρα διηγουμένων ὑμῖν. πάρειμι μὲν οὖν ἐφ' ᾧ τὰ τῆς ἤδη γεγενημένης ἐς τελεωτάτην εἰρήνην μετασκευάσαι. ἀναδιδάξαι δὲ βούλομαι πρότερον πρὸς οἵαν ὑμῖν πολιτείαν καὶ ὅσην αἱ σπονδαὶ βεβαιωθήσονται. ἀλλ' εἰ καί τις μεγαλορρήμων εἶναι δόξω, τὸ συνοῖσον ἀμφοτέραις ταῖς πολιτείαις θηρώμενοι μὴ ἀχθεσθῆτε τῇ περιττολογίᾳ. οὐκ ἐς μακρὰν γὰρ ἐν δέοντι δόξει τὰ τοιαῦτα λελέχθαι, ἐπαινεθήσομαί τε πρὸς ὑμῶν, τῶν πραγμάτων ὑμᾶς ἀναδιδασκόντων τὴν ἐκ τῶν λόγων ὠφέλειαν. γενήσονται τοίνυν ὑμῖν αἱ ξυνθῆκαι πρὸς Ῥωμαίους. ἀρκέσει δὲ Ῥωμαίους εἰπεῖν· δηλοῖ γὰρ ἡ προσηγορία τὰ λειπόμενα. χρεὼν οὖν ὑμᾶς, ὡς πρὸς τοσαύτην πολιτείαν σπεισομένους καὶ οὐ περὶ βραχέων βουλευομένους, τὰ κάλλιστά τε καὶ συνοίσοντα μᾶλλον ἑλέσθαι, καὶ ἀντὶ τῶν ἀδήλων τοῦ πολέμου τὸ προδηλότατον πᾶσιν ἀνθρώποις τῆς εἰρήνης ἀγαθὸν ἀσπάζεσθαι. καὶ μή τις ὑμᾶς ἀπατάτω λογισμὸς ὡς νενικήκατε Ῥωμαίους, ἐπηρμένοι τῷ τὴν Ἀντιόχειαν ἁλῶναι πρὸς ὑμῶν καὶ ἄττα Ῥωμαϊκὰ χωρία. τὸ γὰρ ὑπερβάλλον τῆς Ῥωμαϊκῆς εὐτυχίας ὁ θεὸς ἐκόλασεν ἐν τούτῳ, τῷ μὴ νομίζειν ἄνθρωπον ἀνθρώπου διαφέρειν πολύ. καὶ εἰ μὲν τὸ φύσει δίκαιον ἐκράτει, οὔτε ῥητόρων οὔτε νόμων ἀκριβείας οὔτε μὴν ἐκκλησίας καὶ τῆς περὶ ταῦτα ποικιλίας τῶν λόγων ἔδει· αὐθαίρετα γὰρ τοῖς βιωφελέσι τῶν πραγμάτων προσετέθημεν. ἐπειδὴ δὲ πάντες ἄνθρωποι δίκαια

καθεστάναι νομίζομεν (τὰ κεχαρισμένα addit Nieb.), προσδεῖ καὶ τῆς ἐκ τῶν λόγων τερθρείας ἡμῖν. τοιγαροῦν καὶ ἐς ἐκκλησίαν ξυνεληλύθαμεν, ὡς ἂν πείσοιμεν ἕκαστοι τοὺς (τοὺς ἄλλους Nieb., π. ἡμᾶς αὐτοὺς Bekk.) δεινότητι λόγων ἐπιεικεῖς εἶναι. ὅτι μὲν οὖν ἀγαθὸν εἰρήνη καὶ τοὐναντίον πονηρὸν ὁ πόλεμος οὐδεὶς ἀντερεῖ. εἰ γὰρ καὶ παρὰ τὴν κοινὴν τῶν ἀνθρώπων δόξαν βέβαιον ἡγησόμεθα τὸ νικᾶν, οἶμαι τὸν νενικηκότα κάκιστα ζῆν ἐξ ὧν δακρύουσιν ἕτεροι. οὕτω δήπου καὶ τὸ κρατεῖν λυπηρόν, μήτι γε τὸ κρατεῖσθαι λυπηρότερον. διὸ τοίνυν ὁ καθ' ἡμᾶς βασιλεὺς ἀπέσταλκε σπεισομένους ἡμᾶς καὶ προτέρους ἱκετεύσοντας καταθέσθαι τὸν πόλεμον, οὐχ ὡς δεδιὼς μὲν τὰ πολέμια, φοβούμενος δὲ μὴ προφθάσοιτε διαλεγόμενοι πρότεροι περὶ τῆς εἰρήνης τῆς φιλτάτης ἡμῖν. μὴ δῆτα οὖν, ὡς πρὸς τῆς τῶν θορύβων ἀπαλλαγῆς*, τὰς κατ' ἀλλήλων ἐπεκτείνωμεν δυσμενείας. πολιτείας γὰρ εὖ πολιτευομένης ἀλλότριον πέφυκέ πως τὸ μὴ στοχάζεσθαι τῶν ξυμβησομένων ἐκ τοῦ πολέμου. διαγραφέτω τις ὑμῶν ἐν ταῖς ψυχικαῖς θεωρίαις ὥσπερ παρόντας τοὺς πεπτωκότας κατολοφυρομένους, ἀναλογιζέσθω καὶ τὰς καιρίας τῶν πληγῶν ἐπιδεικνύντας ἐποικτιζομένους τε καὶ ἐπεγκαλοῦντας ὡς τῇ τῶν κρατούντων ἀβουλίᾳ διέφθαρται τὸ ὑπήκοον· εἶτα τοὺς περιόντας εἰσπράττοντας ἡμᾶς τοὺς ἀπολωλότας τυχὸν μὲν γονεῖς, τυχὸν δὲ παῖδας, ξυμβὰν δὲ τοὺς φιλτάτους ἢ τὸν ὁντιναοῦν καὶ ἁπλῶς ἄνθρωπον. ἐνθυμηθῶμεν χηρωθείσας τὰς οἰκίας ἀνδρῶν καὶ τὴν νεωτάτην ἡλικίαν ὀρφανισθεῖσαν, καὶ πανταχοῦ μεριζόμενον τὸν θρῆνον, ἐφ' ἑκάστῳ συγγενείας ὀνόματι. εἰ γὰρ καὶ δοίημεν τὸ πίπτειν ὑπὲρ πατρίδος εἶναι καλόν,

πάσης ἀφροσύνης ἐστὶν ἀνάπλεων δύνασθαι μὲν ἄνευ κινδύνων χάριν ἐκτίνειν τῇ θρεψαμένῃ, τῷ δὲ δοκεῖν μειονεκτεῖσθαι τῶν ἀντιπάλων μὴ βούλεσθαι. οἶμαι καὶ τὴν Περσίδα γῆν καὶ τὴν Ῥώμην αὐτήν, εἴπερ ἠδύναντο φωνὰς ἀφιέναι, ταῦτα δήπουθεν ἡμᾶς ἀντιβολεῖν. μὴ οὖν αἰσχυνθῶμεν τοῦ πολέμου καταθέσθαι τὸ φορτίον· τὸ γὰρ ἐπικαίρως ἅπαντα πράσσειν μᾶλλον ἡμῖν προσοίσει τῆς ἀνδρείας τὴν εὔκλειαν. μηδέ τις ἡμῖν ἐς προκάλυμμα τοῦ μὴ ἐθέλειν κατατιθέναι τὰ ὅπλα τοῦτο δὴ τὸ κάλλιστον τὴν εἰρήνην δυσεύρετον εἶναί τι χρῆμα καὶ δυσπόριστον εἴπῃ. οὐ γάρ, ὡς οἴονται πολλοί, τὰ κάκιστα μὲν προχειρότατα καὶ αὐθαίρετα προσίπταται τοῖς ἀνθρώποις, τὰ δὲ αὖ βέλτιστα τῶν πράξεων διαδιδράσκει τε καὶ διολισθαίνει καὶ δυσάλωτα πέφυκέ πως. πᾶν γὰρ ἀγαθὸν πᾶσιν ἀνθρώποις εἰρήνη δοκεῖ....*) ἐγὼ δὲ κατεπλάγην ἂν ταῖς κομψολογίαις, εἰ μὴ Ῥωμαῖοι μὲν ὑμεῖς, ἡμεῖς δὲ Πέρσαι ἐτυγχάνομεν ὄντες. μὴ οὖν οἴεσθε περιόδῳ ῥημάτων λήσειν ἡμᾶς ὁποῖοί τινες καθεστῶτες ἥκετε τευξόμενοι τοῦ συνοίσοντος. ἐπειδὴ δὲ προβάλλεσθε τὴν εἰρήνην ὥσπερ παραπέτασμα τῆς δειλίας, καὶ ταύτῃ τὸ φανερώτατον τῆς ἀτιμίας ἐπισκιάζειν οἴεσθε, βραχέα διαλεχθείην· οὐ γὰρ σύνηθες ἀνδρὶ Πέρσῃ περιττολογίᾳ διεξιέναι τῶν πραγμάτων τὰ καίρια. Χοσρόης ὁ πάντων ἀνθρώπων, εἴπερ βούλεται, βασιλεὺς οὔτε τὴν Ἀντιοχείας ἅλωσιν ἐγκαλλώπισμά τι καὶ ἐγκώμιον ἑαυτῷ περιτίθησιν· εἰ γὰρ καὶ φοβερὸν ὑμῖν καὶ ἐργωδέστατον εἶναι δοκεῖ τὸ παρ' ἡμῶν πραχθέν, ὅμως ἡμεῖς πάρεργον ἡγούμεθα τὸν ὀντι-

*) „Deest initium orationis legati Persarum." Nieb.

ναοῦν τῶν πολεμίων νικᾶν· πεπαιδεύμεθα γὰρ ἀκριβῶς τὸ κρατεῖν, καθ' ὅσον τὰ λοιπὰ τῶν ἀνθρώπων γένη κρατεῖσθαι μεμαθήκασιν ὑφ' ἡμῶν· οὔτε μὴν ἑτέρας Ῥωμαϊκῆς πόλεως καταστροφὴ πρὸς ὄγκον ἡμᾶς ἐξαίρει ποτέ· τὸ γὰρ προχειρότατον ἡμῖν οὐ θαυμαστόν. καὶ ταῦτα μὲν ἀρκέσει πρὸς ἔλεγχον τῆς μάτην ἀπερριμμένης παρ' ὑμῶν ἀδολεσχίας. Ῥωμαῖοι δὲ τὸ σύνηθες πράττουσι περὶ σπονδῶν πρότεροι διαλεγόμενοι Πέρσαις. ἡσσηθῆναι (ἡσσηθέντες Nieb.) πρὸς ἡμῶν νενικήκατε τῷ τάχει, προτερήσαντες τὴν εἰρήνην αἰτεῖν, καὶ ταύτῃ τὴν ἐν τοῖς πολέμοις ἀδοξίαν ἐπικαλύπτετε, τῷ δῆθεν μὴ ἐφιέμενοι μάχης ἐπιεικεῖς εἶναι δοκεῖν. ὅπερ ἂν ἡμεῖς, εἴπερ ἐμελλήσατε, καὶ κρατοῦντες ἐπράξαμεν. ὅμως δεχόμεθα τοὺς λόγους, τὴν εἰρήνην περὶ πλείστου ποιούμεθα. φρόνημα γὰρ εὐγενὲς τῷ πρέποντι ξυμμεταρρυθμίζειν τὰ πράγματα." οὕτω δὲ καὶ τοῦ Ζὶχ εἰπόντος, οἱ ἀμφοτέρων ἑρμηνεῖς διασαφηνίσαντες ἐφ' ἑκάτερα μέρη τὰ ῥήματα διδάσκαλοι τῶν νοημάτων ἐγίγνοντο, πλείστων καὶ ἑτέρων ἀπερριμμένων λόγων, νῦν μὲν αὐτοῦ τοῦ χρειώδους χάριν, νῦν δὲ καὶ κόμπου ἕνεκα καὶ τοῦ μὴ δοκεῖν ἧττον ἔχοντας τῆς εἰρήνης ἐφίεσθαι. Πέρσαι μὲν διηνεκεῖς ἠξίουν ἔσεσθαι τὰς σπονδάς, πρὸς δέ γε καὶ χρυσίου ῥητὸν ἐφ' ἑκάστῳ ἐνιαυτῷ ὑπὲρ τοῦ μὴ κεχρῆσθαι τοῖς ὅπλοις κομίζεσθαι ἀπὸ Ῥωμαίων· καὶ τεσσαράκοντα μὲν ἐτῶν, τὸ γοῦν ἐλάχιστον τριάκοντα, προειληφότας ἐκτὸς συντελεσθησομένων (πᾶν τὸ συντελεσθησόμενον Nieb.) ἑνὶ ξυναθροισμῷ, οὕτω βούλεσθαι κατατιθέναι τὰ ὅπλα. Ῥωμαῖοι δὲ τοὐναντίον ὀλιγοχρονίους τὰς ξυνθήκας εἶναι ἐβούλοντο, πρὸς τοῖς * μήτε μὴν κατατιθέναι τι ὑπὲρ τῆς εἰρήν

'λλης δὲ περὶ τούτου ἐπὶ μέγα κινηθείσης καὶ ων προελθόντων ἥκιστα ὀλίγων, τέλος ἔδοξεν :ε ἐπὶ πεντήκοντα μὲν ἔτη ξυνεστάναι τὴν εἰρή-', Ῥωμαίοις δὲ ἀποδοθῆναι τὴν Λαζικήν· στερράς :ἶναι καὶ ἐρρωμένας τὰς συνθήκας καὶ κρατεῖν σταχόσε, τοῦτο μὲν κατὰ τὴν ἕω, τοῦτο δὲ καὶ Ἀρμενίᾳ, ἀλλὰ γὰρ καὶ ἐν αὐτῇ δήπου τῇ Λα-ἰ, οὕτω μέντοι ὡς τριάκοντα χιλιάδας ἐτησίας σίου νομίσματος ἀποφέρεσθαι Πέρσας τῆς εἰρή-ἕνεκα ἀπὸ Ῥωμαίων. ἐβεβαιώθη δὲ τοῦτο ὥστε ιαίους ἐν ὁμάδι δεκαετίας ποσότητα προπαρασχεῖν ω· παραχρῆμα μὲν ἐνιαυτῶν ἑπτά, καὶ μετὰ τὴν ' ἑπτὰ ἐτῶν παραδρομήν, οὐκ ἐς ἀναβολήν, κατα-ἑναι τῶν λοιπῶν τριῶν ἐτῶν τὴν συντέλειαν· εἶθ' ω καθ' ἕκαστον ἔτος πορίζεσθαι Πέρσας τὸ ὡρισμέ-ἐνιαυσιαῖον. ἔδοξε δὲ καὶ περὶ τοῦ κατασκαφῆ-τὸν μοναστήριον οἶκον τὸν λεγόμενον Σεβαστια-καὶ ἱδρυμένον ἐν τοῖς μεθορίοις, καὶ ἀπολήψε-:ι Ῥωμαίους τὸν τόπον, Ῥωμαίων μὲν καθεστῶτα ἀρχῆς, Περσῶν δὲ παρασπονδησάντων καὶ ἐν οχῇ τούτου ἤδη γενομένων, τείχει τε κατησφα-ιένων τὸ ἱλαστήριον. οἱ δὲ ἀλλὰ γὰρ οὔτε ἐς :ον κατέσκαψαν οὔτε μὴν ἐνεχείρισαν Ῥωμαίοις. τά τοι οὐδὲ ἐν ταῖς σπονδαῖς ἐμφέρεται. ἐστέρ-' δὲ ὥστε τὰς λεγομένας τῇ Λατίνων διαλέκτῳ ρας ἐξ ἀμφοῖν τοῖν βασιλέοιν αὐτοῦ ἐπικομισθῆ-, ἐπιβεβαιούσας ἅπαντα ὅσα πρὸς τῶν πρέσβεων εδωθέντα ἐτύγχανε. καὶ τοίνυν τὰ τοιάδε ἐστάλη όθι. ξυνέβησαν δὲ καὶ ἐς τοῦτο ὥστε κατὰ μίαν ραν προελθεῖν τὴν καλουμένην σάκραν ἐκ τοῦ ιαίων βασιλέως, ἐπιψηφιζομένην περὶ τῶν προδο-'ομένων χρημάτων τῆς τριετίας μετὰ τὸν ἕβδομον

ἐνιαυτόν, ὡς καταθήσουσι ταῦτα Ῥωμαῖοι Πέρσαις. ἐκυρώθη (δὲ addit Nieb.) ὥστε καὶ ἐκ τοῦ βασιλέως Περσῶν ὁμολογίαν ἐν γράμμασι προελθεῖν ὡς, ἡνίκα πορίσαιντο Πέρσαι τῶν τριῶν ἐτῶν τὸ ὀφειλόμενον χρυσίον, βασιλεῖ Ῥωμαίων τὸ περὶ τοῦ τοιοῦδε βεβαιωτικὸν ἀναδοθήσεται γράμμα. ἡ μὲν τοῦ Ῥωμαίου αὐτοκράτορος περὶ τῆς εἰρήνης ὁμολογία, τὴν συνήθη φέρουσα προγραφήν, γνώριμος ἡμῖν ἐς τὰ μάλιστα τυγχάνει· ἡ δὲ τοῦ Περσῶν βασιλέως γράμμασι μὲν ἐγράφη Περσικοῖς, τῇ δὲ Ἑλληνίδι φωνῇ κατὰ ταῦτα δήπουθεν ἰσχύει τὰ ῥήματα· "Θεῖος, ἀγαθός, εἰρηνοπάτριος, ἀρχαῖος Χοσρόης, βασιλεὺς βασιλέων, εὐτυχής, εὐσεβής, ἀγαθοποιός, ᾧτινι οἱ θεοὶ μεγάλην τύχην καὶ μεγάλην βασιλείαν δεδώκασι, γίγας γιγάντων, ὃς ἐκ θεῶν χαρακτηρίζεται, Ἰουστινιανῷ Καίσαρι, ἀδελφῷ ἡμετέρῳ." ἡ μὲν οὖν προγραφὴ οὕτω πῃ ἐδήλου, ἀτὰρ ἡ δύναμις τῶν λεχθέντων τοιάδε ὑπῆρχεν. εἴποιμι δὲ αὐτήν γε δήπου τῶν λόγων τὴν συνθήκην· ἀναγκαῖον γὰρ ἔγωγε ᾠήθην χρῆσθαι οὐκ ἄλλως, ὡς ἂν μὴ ὑποτοπήσοι τις ἑτέρᾳ φράσει παρατετράφθαι τι ὧν ἀληθῶς εἶχεν οὕτω· "Χάριν ἀπονέμομεν τῇ ἀδελφότητι τοῦ Καίσαρος περὶ τῆς χρείας τῆς εἰρήνης τῆς μεταξὺ τούτων τῶν δύο πολιτειῶν. ἡμεῖς μὲν Ἰεσδεγουσνάφ, θείῳ κουβικουλαρίῳ, ἐκελεύσαμεν καὶ ἐξουσίαν δεδώκαμεν, ἡ ἀδελφότης τοῦ Καίσαρος Πέτρῳ μαγίστρῳ τῶν Ῥωμαίων καὶ Εὐσεβίῳ ἐκέλευσε καὶ ἐπέτρεψε καὶ ἐξουσίαν δέδωκε λαλῆσαι καὶ τρακτεῦσαι. καὶ ὁ Ζὶχ καὶ ὁ λεγόμενος παρὰ Ῥωμαίοις μάγιστρος καὶ Εὐσέβιος τὰ περὶ τῆς εἰρήνης κοινῶς ἐλάλησαν καὶ ἐτρακτάϊσαν, καὶ ἐτύπωσαν τὴν εἰρήνην πεντήκοντα ἐνιαυτῶν, καὶ ἔγγραφα πάντες ἐσφράγισαν.

ἡμεῖς οὖν, καθὰ ὁ Ζὶχ καὶ ὁ μάγιστρος τῶν Ῥωμαίων καὶ Εὐσέβιος ἐποίησαν, βεβαίως ἔχομεν τὴν εἰρήνην καὶ ἐμμένομεν αὐτοῖς." οὕτω μὲν ἐπὶ λέξεως εἶχεν. ὁμοιοτρόπως δὲ καὶ ἡ τοῦ Ῥωμαίων βασιλέως ἐτύγχανεν οὖσα ὁμολογία, ἄνευ τῆς προγραφῆς ἧς εἶχε τὸ βασίλειον γράμμα τὸ Περσικόν. καὶ ἐν τοιοῖσδε ὁ ξύλλογος διελύθησαν. ἐν δὲ δὴ ἑτέρᾳ ξυνελεύσει μεγαλαυχοῦντος τοῦ Ζὶχ καὶ ἐπὶ Χοσρόῃ βασιλεῖ κομπολογίᾳ χρωμένου, φάσκοντός τε ὡς ἀμαχώτατός τέ ἐστι καὶ νίκας περιεβάλετο πολλὰς καὶ ὡς ἐξ οὗ χρόνου τὴν κίδαριν ἀνεδήσατο ἀμφὶ τὰ δέκα ἔθνη καταγωνισάμενος κατέστησεν ἐς φόρου ἀπαγωγήν, καὶ ὅτι τὴν τῶν Ἐφθαλιτῶν κατεστρέψατο δύναμιν, καὶ μὲν οὖν βασιλεῖς ἐχειρώσατο πλείστους, καὶ ὡς ἄγανταί τε αὐτὸν καὶ τεθήπασιν οἱ ἐκείνῃ βάρβαροι, καὶ ὡς κατὰ τὸ προσῆκον καὶ οὐκ ἀπεικὸς αὐτῷ ἡ ἐπωνυμία κεκόμψευται τὸ βασιλέα προσαγορεύεσθαι βασιλέων, ταῦτα καὶ τὰ τοιάδε τοῦ Ζὶχ περὶ Χοσρόου μεγαληγορίᾳ χρησαμένου, ἐν διηγήματι ἐξῆλθεν ὁ Πέτρος τοιάνδε ἱστορίαν τινά, ὡς ἐγένετό τις ἐν τοῖς πάλαι τε καὶ ἀνωτάτω χρόνοις βασιλεὺς Αἰγύπτιος ὄνομα Σέσωστρις, καὶ οὖν γε συμπνεούσης αὐτῷ τῆς τύχης μεγάλα ἐφύσα καὶ ἔθνη μέγιστα καθεῖλεν, ὡς δουλαγωγῆσαι καὶ βασιλεῖς, καὶ ἐπὶ τοσοῦτον ἀρθῆναι ἀλαζονείας ὡς καὶ ὄχημα χρυσοκόλλητον ξυμπήξασθαι, καὶ ἀνθ' ὧν ἵππους δέον ἢ ἕτερα ἑλκυστήρια ζῷα τοὺς δοριαλώτους ἐκείνους βασιλεῖς ὑπαγαγεῖν τῷ ζυγῷ, οὕτω τε διφρευόμενον διὰ τῶν λεωφόρων ἐπιφέρεσθαι τοῖς ὑπηκόοις. τοῦτο ἐπεὶ ὁσημέραι ἐπετέλει, τῶν τις βασιλέων τὸ ὄχημα ἑλκόντων κατὰ τὸ ἄκρον ἐξευγμένος συνεχέστατά πως καὶ λεληθότως εἰς τοὐπίσω τὸ βλέμ-

μα ἐπιστρέφων ἐθεᾶτο τὸν τροχὸν κυλινδούμενόν τε καὶ τῇ τῆς κινήσεως συνεχείᾳ ἐν ἑαυτῷ περιελιττόμενον. ἐποχούμενος δὴ οὖν ὁ Σέσωστρις, ἐπέσκηψε γάρ, "τί δῆτα" ἔφη "τοῦτο ποιεῖς, ὦ οὗτος;" ὁ δὲ ἀμοιβαδὸν ἔφη "ὦ δέσποτα, ὁρῶν τὸν τροχὸν ὡς θαμὰ περιδινούμενος οὐκ ἐπὶ τῆς αὐτῆς βάσεως μένει ὅδε, ἀλλὰ γὰρ ἄνω κάτω φερόμενος τὴν ἁρματοτροχίαν ἐργάζεται." τοῦτο ἀκηκοὼς ὁ Αἰγύπτιος, καὶ μὲν οὖν τεκμηράμενος ὡς ὑπαινίττεται τὸ ἀστάθμητόν τε καὶ παλίμβολον τῆς τύχης καὶ ὡς τροχῷ κυλιομένῳ ἔοικε τὰ ἀνθρώπεια, ξυνῆκε μὴ ἄρα καὶ αὐτὸς χρόνῳ ποτὲ τοιούτῳ προσπταίσῃ δυστυχήματι, τοῦ λοιποῦ τε ἐπαύσατο κατὰ τὸν προλεχθέντα τρόπον ἁρματηλατεῖν· πρὸς τοῖς (τοὺς addit Nieb.) δεδουλωμένους οἱ βασιλεῖς ἀφῆκε καὶ ταῖς σφῶν [αὐτῶν] ἡγεμονίαις ἐνεβίβασεν αὖθις. ἐνταῦθα Πέτρῳ ἐπαύσατο τῆς ἱστορίας ὁ λόγος, ἐγχαλινώσαντι τὴν τοῦ Ζὶχ περὶ Χοσρόου μεγαληγορίαν. εἶτα διελέγοντο αὖθις περὶ τῶν πρακτέων. ἅπαντα μὲν γάρ, ὡς ἐνῆν, ἀμφίβολα ἐν τάξει καὶ κόσμῳ καθειστήκει. τὰ δ' οὖν περὶ Σουανίαν ἔτι ἐν μετεώρῳ ὑπῆρχε καὶ ὑπελέλειπτό σφισι μόνα ἐπ' ἀμφιβόλῳ. τῷ τοι ἔλεξεν ὧδε Πέτρος· "Πλείστων ἐπαίνων ἄξιός ἐστιν ἀνὴρ ὃς τέλεια βουλευόμενος τέλειον ἐπιθήσοι ταῖς πράξεσι τὸ πέρας. εἰ γὰρ ἐλλείπει τι τῶν δεόντων, ἐλλιπὲς οἶμαι καὶ τῷ βουλευομένῳ φρόνημα. οὐκ εἰκῇ δὲ καὶ μάτην εἴρηται νῦν ἡμῖν ὁ λόγος· πρὸς σὲ δὲ φερόμενος, ὦ Ζίχ, Ῥωμαίοις τε καὶ Πέρσαις φανήσεται λυσιτελέστερος. εἴποιμι δέ πως φανερώτερον. Σουανία Ῥωμαίοις ὑπῆρχε καὶ Ῥωμαῖοι Σουάνοις ἐκέλευον. ἀμέλει Τζαθίου Σουάνων ἐξηγουμένου Δείτατός (infra Ἐξίσατος) τις Ῥωμαῖος ἀνὴρ

τῶν ἐκεῖσε Ῥωμαϊκῶν καταλόγων ἐτύγχανε προεστώς· ἀλλὰ καὶ ἕτεροί τινες Ῥωμαίων ἐν Σουάνοις ἐποιοῦντο τὰς διατριβάς. δυσμενείας δέ τινος (γενομένης addit Nieb.) *μεταξὺ τοῦ Λαζῶν βασιλέως καὶ Μαρτίνου τοῦ Ῥωμαίου τηνικαῦτα ἐκεῖσε στρατηγοῦντος, τούτου ἕνεκα ὁ Κόλχος οὐκ ἀπέστειλε Σουάνοις τὸ σύνηθες σιτηρέσιον· ἔθος γὰρ πέμπεσθαι σῖτον ἐκ τοῦ Κόλχων βασιλέως. διὸ δυσανασχετοῦντες οἱ Σουάνοι τῷ τῶν νενομισμένων ὑστερηθῆναι, κατάδηλον ἐποιήσαντο Πέρσαις ὡς, εἰ γενήσοιντο αὐτοῦ, Σουανίαν ἐγχειρίσουσιν αὐτοῖς. ἐν τοσούτῳ Ἐξισάτῳ καὶ τοῖς ἑτέροις ἡγεμόσιν τῶν Ῥωμαϊκῶν ταγμάτων ἔφασαν ὅτι "πολυπληθία Περσῶν ἀγγέλλεται χωροῦσα κατὰ Σουάνων, πρὸς ἣν ἀξιόμαχον οὐκ ἔχομεν δύναμιν. ἀλλὰ τὸ συνοῖσον βουλεύσασθε, ξὺν τοῖς ἐνταῦθα Ῥωμαίων καταλόγοις ὑποχωροῦντες τῇ Μηδικῇ στρατιᾷ." τοσούτῳ χρησάμενοι Σουάνοι δόλῳ, καὶ δώροις ἀναπείσαντες τοὺς τῶν καταλόγων ἐπιστάτας, ἀπεβάλοντο παρὰ σφῶν τὴν Ῥωμαίων φυλακήν. οἱ δὲ Πέρσαι ξὺν τάχει παραγενόμενοι Σουανίαν ἔλαβον. ληπτέον οὖν ἐντεῦθεν ὡς καὶ Ῥωμαίων ἀνέκαθεν ὑπῆρχεν καὶ Ῥωμαίοις ἁρμόζει τήμερον. "εἰ γὰρ δικαιότατα Λαζικῆς κύριοι καθεστήκαμεν, καθὰ δήπουθεν ὑμεῖς ἐψηφίσασθε, Σουανίας τῆς ὑπὸ Λαζικὴν οὐκ ἀπὸ τρόπου δεσπόσομεν." ὁ δὲ Σουρήνας ἔφη "ἄχθεσθε μᾶλλον Ῥωμαῖοι, ὅτι ἔθνος αὐθαίρετα καὶ ἑκουσίως προσεπέλασεν ἡμῖν." ὁ Ζὶχ ὑπολαβὼν ἔφη "αὐτόνομοι γεγόνασι Σουάνοι καὶ οὐπώποτε τῇ Κόλχων ὑπεκλίθησαν ἀρχῇ." αὖθις ὡς τὸν Ζὶχ ἔλεξεν ὁ Πέτρος "εἴ γε μὴ βούλει, ὦ Ζίχ, ἐν τοῖς τῆς εἰρήνης συμβολαίοις ὄνομα τὸ Σουανίας ἐγχαράξαι, σήμηνον ὡς ἀποδίδως μοι Λα-*

ζικὴν ξὺν τοῖς ὑποτεταγμένοις ἔθνεσιν αὐτῇ." ὁ Ζίχ "εἰ τοῦτο" ἔφη "ποιήσω, ἄδειά σοι δοθήσεται καὶ περὶ Ἰβηρίας ἀμφισβητεῖν, κατ' ἐξουσίαν τε εἴποις ἂν ὡς καὶ αὐτὴ κατήκοος ἐγεγόνει Λαζῶν." "ἔνδηλος" ἢ δὲ ὁ Πέτρος "γεγένησαι, ὦ Ζίχ, ὡς οὐ βούλει πᾶσαν ἡμῖν ἀποδοῦναι Λαζικήν, ἀλλά τινα μοῖραν αὐτῆς." πολλὰ μὲν οὖν καὶ ἕτερα Ῥωμαῖοί τε καὶ Πέρσαι εἰπόντες τε καὶ ἀκηκοότες Σουανίας πέρι ὅμως οὐ ξυνέβησαν. δοκεῖ τοιγαροῦν αὐτοῖς περὶ τοῦ τοιοῦδε τὸν βασιλέα ἐπισκοπῆσαι Περσῶν. καὶ ὅρκῳ ἐπιστώσατο ὁ Ζίχ, ᾗ νενόμισται Πέρσαις ὀμνύειν, ξυνεπιλαβέσθαι Πέτρῳ ὡς Χοσρόην ἀφικνουμένῳ ἕνεκα Σουανίας. εἶτα τοῦ Ζὶχ τοὺς περὶ Ἄμβρου τοῦ Ἀλαμουνδάρου τοῦ τῶν Σαρακηνῶν ἡγουμένου κινήσαντος λόγους, φάσκοντός τε ὅτι γε δήπου καὶ αὐτόν, ὥσπερ καὶ τὸν πρὸ αὐτοῦ ἡγεμόνα τοῦ Σαρακηνικοῦ, κομίζεσθαι χρεὼν τὰς ἑκατὸν χρυσίου λίτρας, ἀντεῖπεν ὁ Πέτρος, ὥστε τὸν πρὸ Ἄμβρου ἡγεμόνα δωρεᾷ τινι ἀγράφῳ, ὅσῳ ἂν ἠβούλετο χρυσίῳ καὶ ὁπηνίκα, ὁ καθ' ἡμᾶς ἐφιλοφρονεῖτο δεσπότης. τοιγαροῦν ἐστέλλετο τῇ ταχυτῆτι τῶν δημοσίων ἵππων ὀχούμενος ἀνὴρ ἀγγελιαφόρος ὡς τὸν Σαρακηνόν, ἀποκαταστήσων οἱ τὸ ὅπερ ἐτύγχανεν αὐτῷ πεμφθὲν πρὸς τοῦ Ῥωμαίων βασιλέως. οὕτω τε ἐς τοὔμπαλιν ἐκ τοῦ Σαρακηνοῦ ὡς βασιλέα τὸν ἡμεδαπὸν ἐπέμπετο δωροφορῶν πρεσβευτής. εἶτα ἀντιδώρῳ αὖθις ἐφιλοφρονεῖτο τὸν Σαρακηνὸν ὁ καθ' ἡμᾶς αὐτοκράτωρ. "εἰ βούλεται οὖν καὶ Ἄμβρος κατὰ ταῦτα ποιεῖν, εὐδοκεῖ καὶ τῷ καθ' ἡμᾶς βασιλεῖ· εἰ δέ γε οὐ βούλεται, κινεῖ τηνάλλως, πρός γε καὶ ἠλιθιώτατα φρονεῖ. ἀποίσεται γὰρ οὐδὲν ὁτιοῦν." τούτων διαμφισβητηθέντων καὶ ἑτέ-

ρων ἐγράφησαν αἱ πεντηκοντούτιδες σπονδαὶ περσιστὶ καὶ ἑλληνιστί, μετεβλήθη τε τὸ Ἑλληνικὸν εἰς Περσίδα φωνὴν καὶ τὸ Περσικὸν εἰς Ἑλληνίδα. οἱ δὲ τὰς ξυνθήκας βεβαιοῦντες Ῥωμαίων μὲν Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμὼν καὶ Εὐσέβιος καὶ ἕτεροι, Περσῶν δὲ ὁ Ζὶχ ὁ Ἰεσδεγουσνὰφ καὶ Σουρήνας καὶ ἕτεροι. τῶν οὖν ἐξ ἑκατέρου μέρους ὁμολογιῶν ἐν συλλαβαῖς ἀναληφθεισῶν, ἀντιπαρεβλήθησαν ἀλλήλαις τῷ ἰσοδυνάμῳ τῶν ἐνθυμημάτων τε καὶ ῥημάτων. ὅσα δὲ ἐσήμηνε τὰ τῆς εἰρήνης γραμματεῖα, λελέξεται. καὶ δὴ δόγμα ἐγράφη πρῶτον ὡς διὰ τῆς στενοπορίας τῆς εἰσόδου τοῦ λεγομένου Χορουτζὸν καὶ τῶν Κασπίων πυλῶν μὴ ἐφεῖναι Πέρσας ἢ Οὔννους ἢ Ἀλανοὺς ἢ ἑτέρους βαρβάρους πάροδον ποιεῖσθαι κατὰ τῆς Ῥωμαίων ἐπικρατείας, μήτε δὲ Ῥωμαίους ἐν αὐτῷ δήπου τῷ χώρῳ μήτε μὴν ἐν ἄλλοις Μηδικοῖς ὁρίοις στράτευμα στέλλειν κατὰ Περσῶν. δεύτερον, ὡς ἂν οἱ σύμμαχοι Σαρακηνοὶ ἑκατέρας πολιτείας ἐμμένοιεν καὶ οἵ τοῖς βεβαιωθεῖσι, καὶ μήτε τοὺς Περσῶν κατὰ Ῥωμαίων μήτε τοὺς Ῥωμαίων ὁπλίζεσθαι κατὰ Περσῶν. κατὰ τρίτην τάξιν, ὥστε τοὺς ἐμπόρους Ῥωμαίων τε καὶ Περσῶν τῶν ὁποιωνοῦν φορτίων, τούτους δὲ καὶ τοὺς τοιούσδε ποριστὰς κατὰ τὸ ἐξ ἀρχῆς κρατῆσαν ἔθος ἐμπορεύεσθαι διὰ τῶν εἰρημένων δεκατευτηρίων. δ', ὡς ἂν οἱ πρέσβεις καὶ οἱ τῇ ταχυτῆτι χρώμενοι τῶν δημοσίων ἵππων πρὸς τὰς ἀπαγγελίας, ὁ μὲν ἐς τὰ Ῥωμαίων, ὁ δ' ἐς τὰ Περσῶν· ἤθη ἀφικνούμενοι κατά τε τὴν ἀξίαν καὶ τὸ προσῆκον ἕκαστοι τιμηθεῖεν καὶ τῆς δεούσης τεύξονται ἐπιμελείας, ἀπαλλάττεσθαί τε σφᾶς μὴ χρονοτριβοῦντας, ἀλλὰ γὰρ καὶ τὰς ἐμπορίας, ἃς ἐπι-

φέρονται, ἀμοιβάζειν ἀκωλύτως τε καὶ ἄνευ συντελείας τινός. ε΄ διετυπώθη ὥστε τοὺς Σαρακηνοὺς καὶ τοὺς ὁποιουσοῦν βαρβάρους ἐμπόρους ἑκατέρας πολιτείας μὴ διὰ ξένων ἀτραπῶν ποιεῖσθαι τὰς πορείας, μᾶλλον μὲν οὖν διὰ τῆς Νισίβεως καὶ τοῦ Δάρας, μήτε μὴν ἄνευ κελεύσεως ἀρχικῆς ἰέναι κατὰ τὴν ἀλλοδαπήν. εἰ μέντοι παρὰ τὸ δοκοῦν τολμήσουσί τι, ἤγουν, τὸ λεγόμενον, κλεπτοτελωνήσουσιν, ἀνιχνευομένους ὑπὸ τῶν ἐν τοῖς ὁρίοις ἀρχόντων ξὺν τοῖς ὅσα ἐπιφέρονται, εἴτε Ἀσσύρια φορτία εἶεν εἴτε Ῥωμαῖα, παραδίδοσθαι εὐθύνας ὑφέξοντας. ϛ΄, ὡς εἴ τινες, ἐν ᾧ χρόνῳ ὁ πόλεμος ξυνειστήκει, ηὐτομόλησαν, τοῦτο μὲν ὡς Πέρσας ἀπὸ Ῥωμαίων, τοῦτο δὲ ἀπὸ Περσῶν ὡς Ῥωμαίους, εἴ γε βούλοιντο οἱ προσκεχωρηκότες ἐς τὰ οἴκοι ἐπαναστρέφειν, μὴ γίγνεσθαί σφισιν ἐμποδὼν μήτε μὴν κωλύμῃ χρήσασθαί τινι. τοὺς μέντοι ἐν καιρῷ εἰρήνης αὐτομόλους ἤγουν καταφεύγοντας ἐξ ἑτέρων εἰς ἑτέρους μὴ ὑποδέχεσθαι, ἀλλ' ἐκ παντὸς τρόπου καὶ ἄκοντας ἐγχειρίζεσθαι τοῖς ἐξ ὧν καὶ ἀπέδρασαν. ζ΄ μέρος τῶν σπονδῶν, ὥστε τοὺς ἐπεγκαλοῦντας περὶ τοῦ σίνεσθαί τι σφᾶς τοὺς ἀντιπολιτευομένους δίκῃ τέμνεσθαι τὸ φιλονεικούμενον ἢ δι' ἑαυτῶν τῶν τὴν βλάβην πεπονθότων ἢ δι' οἰκείων ἀνθρώπων ἐν τοῖς μεθορίοις παρὰ τοῖς ἄρχουσιν ἑκατέρας πολιτείας ξυνιόντων· οὕτω δὲ τὸν ζημιώσαντα ἀκέσασθαι τὸ σκάζον. η΄, ὥστε τοῦ λοιποῦ μὴ ἐγκαλεῖν Πέρσας Ῥωμαίοις ἕνεκα τοῦ ἐπικτίζεσθαι τὸ Δάρας, ἔδοξε καὶ ἀμφοτέραν πολιτείαν τοῦ λοιποῦ μηδαμῶς ἐπιτειχίζειν ἤγουν περιοχῇ τινι κατασφαλίζειν τι τῶν ἐν τοῖς ὁροθεσίοις χωρίων, ἵνα μὴ πρόφασις ἐντεῦθεν ἔσοιτο ταραχῆς καὶ ἐκ τούτου διαλυθήσονται αἱ

ρων ἐγράφησαν αἱ πεντηκοντούτιδες σπονδαὶ περσιστὶ καὶ ἑλληνιστί, μετεβλήθη τε τὸ Ἑλληνικὸν εἰς Περσίδα φωνὴν καὶ τὸ Περσικὸν εἰς Ἑλληνίδα. οἱ δὲ τὰς ξυνθήκας βεβαιοῦντες Ῥωμαίων μὲν Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμὼν καὶ Εὐσέβιος καὶ ἕτεροι, Περσῶν δὲ ὁ Ζὶχ ὁ Ἰεσδεγούσναφ καὶ Σουρήνας καὶ ἕτεροι. τῶν οὖν ἐξ ἑκατέρου μέρους ὁμολογιῶν ἐν συλλαβαῖς ἀναληφθεισῶν, ἀντιπαρεβλήθησαν ἀλλήλαις τῷ ἰσοδυνάμῳ τῶν ἐνθυμημάτων τε καὶ ῥημάτων. ὅσα δὲ ἐσήμηνε τὰ τῆς εἰρήνης γραμματεῖα, λελέξεται. καὶ δὴ δόγμα ἐγράφη πρῶτον ὡς διὰ τῆς στενοπορίας τῆς εἰσόδου τοῦ λεγομένου Χορουτζὸν καὶ τῶν Κασπίων πυλῶν μὴ ἐφεῖναι Πέρσας ἢ Οὔννους ἢ Ἀλανοὺς ἢ ἑτέρους βαρβάρους πάροδον ποιεῖσθαι κατὰ τῆς Ῥωμαίων ἐπικρατείας, μήτε δὲ Ῥωμαίους ἐν αὐτῷ δήπου τῷ χώρῳ μήτε μὴν ἐν ἄλλοις Μηδικοῖς ὁρίοις στράτευμα στέλλειν κατὰ Περσῶν. δεύτερον, ὡς ἂν οἱ σύμμαχοι Σαρακηνοὶ ἑκατέρας πολιτείας ἐμμένοιεν καὶ οἱ τοῖς βεβαιωθεῖσι, καὶ μήτε τοὺς Περσῶν κατὰ Ῥωμαίων μήτε τοὺς Ῥωμαίων ὁπλίζεσθαι κατὰ Περσῶν. κατὰ τρίτην τάξιν, ὥστε τοὺς ἐμπόρους Ῥωμαίων τε καὶ Περσῶν τῶν ὁποιωνοῦν φορτίων, τούτους δὲ καὶ τοὺς τοιούσδε ποριστὰς κατὰ τὸ ἐξ ἀρχῆς κρατῆσαν ἔθος ἐμπορεύεσθαι διὰ τῶν εἰρημένων δεκατευτηρίων. δ΄, ὡς ἂν οἱ πρέσβεις καὶ οἱ τῇ ταχυτῆτι χρώμενοι τῶν δημοσίων ἵππων πρὸς τὰς ἀπαγγελίας, ὁ μὲν ἐς τὰ Ῥωμαίων, ὁ δ' ἐς τὰ Περσῶν ἤδη ἀφικνούμενοι κατά τε τὴν ἀξίαν καὶ τὸ προσῆκον ἕκαστοι τιμηθεῖεν καὶ τῆς δεούσης τεύξονται ἐπιμελείας, ἀπαλλάττεσθαί τε σφᾶς μὴ χρονοτριβοῦντας, ἀλλὰ γὰρ καὶ τὰς ἐμπορίας, ἃς ἐπι-

σπονδῶν. δευτέραν πρὸς τῇ δεκάτῃ μοῖραν τῶν σπονδῶν κατανοήσεις τὰς πρὸς θεὸν ἱκετείας, ἔτι τε καὶ τὰς ἀράς, οἷον τῷ μὲν στέργοντι τὴν εἰρήνην εἶναι τὸν θεὸν ἵλεών τε καὶ ξύμμαχον διὰ παντός, τῷ δὲ ἀπατηλῷ τῶν τε ἐμπεδωθέντων νεοχμῶσαί τι βουλομένῳ τὸν θεὸν ἔσεσθαι ἀντίπαλόν τε καὶ πολέμιον. τρίτη πρὸς τῇ δεκάτῃ τῶν νομισθέντων ἰσχὺς πεντηκοντούτιδας εἶναι τὰς σπονδάς, ἐρρῶσθαί τε τὰ τῆς εἰρήνης ἐπὶ πεντήκοντα ἐνιαυτούς, ἀριθμουμένου τοῦ ἐνιαυτοῦ κατὰ τὸ ἀρχαῖον ἔθος, ἑκάστου ἔτους τῇ τριακοσιοστῇ καὶ ἑξηκοστῇ καὶ πέμπτῃ ἡμέρᾳ περατουμένου. ἰσχῦσαι δὲ καὶ τοῦτο, καθὰ ἔφην, ὥστε ἐξ ἀμφοῖν ἀποκομισθῆναι συλλαβὰς ἐκεῖσε, δηλούσας ὡς καὶ ἄμφω στέρξαι ταῦτα ἐφ' οἷς ἐβεβαίωσαν οἱ πρέσβεις. πέρας τε δεξαμένων τῶν συνθηκῶν, ἀντεδόθησαν αἱ λεγόμεναι σάκραι. τούτων δὲ δοξάντων καὶ ἰσχυροποιηθέντων ἐκτὸς ἐνομίσθη τὰ περὶ τῶν ἐν Περσίδι Χριστιανῶν, ὥστε καὶ νεὼς οἰκοδομεῖν καὶ ἐπιθειάζειν σφᾶς ἀδεῶς καὶ τοὺς χαριστηρίους ὕμνους, καθὰ νενόμισται ἡμῖν, ἀκωλύτως ἐπιτελεῖν, ἀλλὰ γὰρ μήτε καταναγκάζεσθαι εἰς μαγικὴν μετιέναι θρησκείαν μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις νενομισμένους θεούς, καὶ οἱ Χριστιανοὶ δέ, ὥστε ἥκιστα καὶ οἷδε τολμῷεν μετατιθέναι μάγους ἐς τὴν καθ' ἡμᾶς δόξαν. ἐκράτησε δὲ ὥστε καὶ τοὺς θνήσκοντας τοῖς Χριστιανοῖς ἐπ' ἐξουσίας εἶναι θάπτειν ἐν τάφοις, ᾗ νενόμισται παρ' ἡμῖν. τούτων οὕτω προελθόντων καὶ ἐν κόσμῳ καὶ τάξει γενομένων, ἐπεὶ ἀνεδέξαντο οἵ γε ἐς τοῦτο τεταγμένοι τὰς συλλαβὰς τοῖν δυοῖν βιβλίοιν, καὶ ἀπηκρίβωσαν τῷ ἰσορρόπῳ τε καὶ ἰσοδυνάμῳ τῶν ῥημάτων τὰ ἐνθυμήματα, αὐτίκα οἵ γε ἰσόγραφα

νδαί. ϑʹ, μὴ ἐπιέναι ἢ πολεμεῖν ὑπηκόῳ ἔϑνει ἢ ᾳ τινὶ ἄλλῃ τοὺς ἑκατέρας πολιτείας, μᾶλλον μὲν ἄνευ βλάβης καὶ κατ' οὐδὲν ὁτιοῦν πημαινομέ-ς ἐν τῷ αὐτῷ μένειν, ὡς ἂν καὶ οἵδε ἀπολαύοιεν εἰρήνης. ιʹ, ὥστε μὴ πολυπληϑίαν στρατοῦ ἐς Δάρας ἐνιζάνειν, πλὴν ὅση γε ἀρκέσει πρὸς φυ-ὴν τοῦ ἄστεος, μήτε δὲ τὸν τῆς ἕω στρατηγὸν ὶ ταύτην ἐνιδρῦσϑαι, τοῦ μὴ ἐκ τοῦ τοιοῦδε ἐπι-ιὰς ἢ βλάβας γίγνεσϑαι κατὰ Περσῶν· εἰ δέ γε τι τοιοῦτον ξυνενεχϑείη, ἐπαγιώϑη τὸν ἄρχοντα Δάρας διατιϑέναι τὸ πλημμεληϑέν. μία πρὸς τῇ ύτῃ τῶν σπονδῶν βεβαίωσις, ὥστε εἰ πόλις ἑτέ-ζημιώσει πόλιν ἢ ὁπωσοῦν διαφϑείρει τι τῶν ῆς, μὴ τῷ νόμῳ τοῦ πολέμου μήτε μὴν δυνάμει χτιωτικῇ, ἄλλως δὲ δόλῳ τινὶ καὶ κλοπῇ· εἰσὶ τοιοίδε τινὲς ἀνοσιουργοὶ οἱ ταῦτα πράσσοντες, ἂν πολέμου ἔσοιτο πρόφασις· ἐβεβαιώϑη τοιγαρ-τὰ τοιουτότροπα ἀναζητεῖν ἐς τὸ ἀκριβὲς καὶ νορϑοῦσϑαι τοὺς δικαστὰς τοὺς ἐν τοῖς πέρασιν τέρας πολιτείας ἱδρυμένους. εἰ δέ γε αὐτοὶ οὐκ νται ἱκανοὶ ἀναστέλλειν τὰς πρὸς ἀλλήλους τῶν υγειτόνων φϑοράς, ἐστέρχϑη ὥστε τὴν διαδικα-ἀναπέμπεσϑαι ὡς τὸν τῆς ἕω στρατηγόν, ὡς εἴ ἴσω μηνῶν ἓξ μὴ τμηϑείη τὰ τῆς ἁμίλλης καὶ ὁ ωϑεὶς μὴ λήψεται τὸ ἀπολωλός, τὸν ἀδικήσαντα ὸν ἐπὶ ποινῇ ἐς τὸ διπλάσιον τῷ ἠδικημένῳ εἶναι ύϑυνον. ὡς εἴ γε μηδὲ οὕτω πέρας ἕξοι, διετυ-ϑη τὸ πονοῦν μέρος πρεσβείαν στέλλειν ὡς τὸν ιλέα τοῦ ἠδικηκότος. εἶτα εἰ μηδὲ ὑπὸ τοῦ βασι-ς γενήσεταί οἱ τὸ ἀποχρῶν καὶ διπλοῦν τὸ ὀφλη-ἀναλήψεται κατὰ τὸ ὡρισμένον ἐντὸς ἐνιαυτοῦ, ν ἐπ' ἐκείνῳ τῷ δόγματι διαλελύσϑω τὰ τῶν

σπονδῶν. δευτέραν πρὸς τῇ δεκάτῃ μοῖραν τῶν σπονδῶν κατανοήσεις τὰς πρὸς θεὸν ἱκετείας, ἔτι τε καὶ τὰς ἀράς, οἷον τῷ μὲν στέργοντι τὴν εἰρήνην εἶναι τὸν θεὸν ἵλεών τε καὶ ξύμμαχον διὰ παντός, τῷ δὲ ἀπατηλῷ τῶν τε ἐμπεδωθέντων νεοχμῶσαί τι βουλομένῳ τὸν θεὸν ἔσεσθαι ἀντίπαλόν τε καὶ πολέμιον. τρίτη πρὸς τῇ δεκάτῃ τῶν νομισθέντων ἰσχὺς πεντηκοντούτιδας εἶναι τὰς σπονδάς, ἐρρῶσθαί τε τὰ τῆς εἰρήνης ἐπὶ πεντήκοντα ἐνιαυτούς, ἀριθμουμένου τοῦ ἐνιαυτοῦ κατὰ τὸ ἀρχαῖον ἔθος, ἑκάστου ἔτους τῇ τριακοσιοστῇ καὶ ἑξηκοστῇ καὶ πέμπτῃ ἡμέρᾳ περατουμένου. ἰσχῦσαι δὲ καὶ τοῦτο, καθὰ ἔφην, ὥστε ἐξ ἀμφοῖν ἀποκομισθῆναι συλλαβὰς ἐκεῖσε, δηλούσας ὡς καὶ ἄμφω στέρξαι ταῦτα ἐφ' οἷς ἐβεβαίωσαν οἱ πρέσβεις. πέρας τε δεξαμένων τῶν συνθηκῶν, ἀντεδόθησαν αἱ λεγόμεναι σάκραι. τούτων δὲ δοξάντων καὶ ἰσχυροποιηθέντων ἐκτὸς ἐνομίσθη τὰ περὶ τῶν ἐν Περσίδι Χριστιανῶν, ὥστε καὶ νεὼς οἰκοδομεῖν καὶ ἐπιθειάζειν σφᾶς ἀδεῶς καὶ τοὺς χαριστηρίους ὕμνους, καθὰ νενόμισται ἡμῖν, ἀκωλύτως ἐπιτελεῖν, ἀλλὰ γὰρ μήτε καταναγκάζεσθαι εἰς μαγικὴν μετιέναι θρησκείαν μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις νενομισμένους θεούς, καὶ οἱ Χριστιανοὶ δέ, ὥστε ἥκιστα καὶ οἵδε τολμῷεν μετατιθέναι μάγους ἐς τὴν καθ' ἡμᾶς δόξαν. ἐκράτησε δὲ ὥστε καὶ τοὺς θνήσκοντας τοῖς Χριστιανοῖς ἐπ' ἐξουσίας εἶναι θάπτειν ἐν τάφοις, ᾗ νενόμισται παρ' ἡμῖν. τούτων οὕτω προελθόντων καὶ ἐν κόσμῳ καὶ τάξει γενομένων, ἐπεὶ ἀνεδέξαντο οἵ γε ἐς τοῦτο τεταγμένοι τὰς συλλαβὰς τοῖν δυοῖν βιβλίοιν, καὶ ἀπηκρίβωσαν τῷ ἰσορρόπῳ τε καὶ ἰσοδυνάμῳ τῶν ῥημάτων τὰ ἐνθυμήματα, αὐτίκα οἵ γε ἰσόγραφα

ρα ἐπετέλουν. καὶ τὰ μὲν κυριώτερα ξυνειλη-
ντα τε καὶ κατασφαλισθέντα ἐκμαγείοις τε κηρί-
ς ἑτέροις τε οἷς εἰώθασι Πέρσαι χρῆσθαι, καὶ
υπώμασι δακτυλίων ὑπὸ τῶν πρέσβεων, ἔτι μὴν
ἑρμηνέων δέκα πρὸς τοῖς δύο, ἓξ μὲν Ῥωμαίων,
ἧττον δὲ Περσῶν, ἀμοιβαίᾳ τῇ δόσει τὰ τῆς
ήνης βιβλία παρέσχοντο ἀλλήλοις. τὸ μὲν τῇ
ρσῶν φωνῇ γεγραμμένον ἐνεχείρισε Πέτρῳ ὁ Ζίχ,
Πέτρος δὲ τῷ Ζὶχ τὸ τῇ Ἑλληνίδι, καὶ αὖθις
Ζὶχ τὸ ἰσορροποῦν τῇ γραφῇ τῇ Ἑλληνίδι βιβλίον
άμμασι Περσικοῖς διασεσημασμένον, ἄνευ τῆς τῶν
υπωμάτων ἀσφαλείας, εἰληφότος, τὸ σωθήσεσθαί
τὰς μνήμας, καὶ Πέτρος οὐκ ἄλλως ἐπετέλεσεν
οιβαίως. εἶτα ἐπὶ τούτοις διελύθησαν, τῶν τε
ίων ἄπο ἐγένοντο, καὶ ὁ Ζὶχ εἰς τὰ πάτρια ἤθη
ρεύετο, ἀτὰρ ὁ Πέτρος ἔμεινεν αὐτοῦ, ἐπιθειάσων
γενεθλίᾳ ἑορτῇ τοῦ Χριστοῦ τοῦ θεοῦ· ἤδη γὰρ
οσεπέλαζε τῆς ἡμέρας τὸ σέβας· ἔτι δὲ καὶ τῇ τοῦ
οῦ ἐπιφανείᾳ τὰ νόμιμα ἁγιστεύσας μετὰ ταῦτα
έβη τῆς Περσῶν. καὶ ἐν τοῖσδε πέρας εἰλήφει
τῶν ξυνθηκῶν. πρὸ δὲ τῆς ἀναχωρήσεως τῶν
έσβεων, παραγενομένων τινῶν Περσῶν εἰς τὸ Δά-
, οἷς τὸ τοιόνδε ἐν φροντίσιν ὑπῆρχεν, ἅμα ἐνίοις
ν ἑρμηνέων καὶ τοῖς τῶν πλαστίγγων ἐπιστάταις,
οκατέστη τοῖς περὶ τὸν Ζὶχ τὰ ὀφειλόμενα χρή-
τα τῶν ἑπτὰ ἐνιαυτῶν, ἐφ' οἷς αἱ ξυνθῆκαι προῆλ-
ν. ὡς δὲ Πέτρος ἀφίκετο πρὸς βασιλέα Περσῶν
τῷ προσαγορευομένῳ Βιθαρμαῒς, διαλεχθησόμενός
περὶ Σουανίας, ἐς τὰ βασίλεια προελθὼν ἔλεξεν
ε· "Ἥκομεν, ὦ βασιλεῦ, παρὰ σέ, τὸ μὲν ἐν βε-
ίῳ τὴν εἰρήνην ἔχειν εὐτυχήσαντες ἤδη, τὸ δὲ καὶ
ὲ γοῦν τευξόμενοι τῶν δικαιοτέρων παρὰ σοῦ μὴ

γῶς, ἀλλ' ὅμως τῷ βουλομένῳ τῆς γνώμης, ὡς ἔνεστιν, ἐν φανερῷ προθείην τὸ δίκαιον· δοίημεν, ὡς ἐδικαιολογήσω περὶ Σουανίας, τὴν ἀλήθειαν οὕτως ἔχειν. Λαζικὴν μὲν ἐχειρωσάμην, Σουάνοις δὲ οὐδὲ προσέβαλον, ᾗ μόνῃ ἀκοῇ τῷ τὸν Μερμερόην ἡμῖν σημῆναι ὡς οὐκ ἔστιν ἀξιόλογος οὐδὲ μὴν περιμάχητος ἡ χώρα οὐδὲ βασιλικῆς ἔργον ἐκστρατείας, ἀλλ' ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον, καὶ ὡς ἔχουσι βασιλίσκον καὶ ὡς ὁ χῶρός ἐστι Σκυθῶν πάροδος. ἀπεβίω Μερμερόης, εἶτα ὁ Ναχόεργαν (Ναχοραγὰν Agathiae) ὑπῆλθε τῇ στρατηγίᾳ. γέγραφε τοίνυν ἡμῖν καὶ αὐτὸς οὐκ ἄλλως περὶ αὐτῶν, ὅτι τοῦ Καυκάσου τὰς ἀκρωρείας οἰκοῦσι καὶ ὅτι δῆτα κλῶπές τε καὶ λαφυραγωγοὶ καὶ χαλεπῶν ἔργων καὶ ἀνοσίων καθεστήκασιν ἐργάται. ἠβουλόμην οὖν κατὰ σφῶν ἐλάσαι στρατείαν, οἱ δὲ κατορρωδήσαντες ἀντὶ Σουάνων ἐγένοντο Πέρσαι, ὡς εἶναι δῆλον ἐντεῦθεν ἀνήκειν μοι τὴν χώραν, καὶ ἔχειν οὐκ ἀρνοῦμαι. καὶ τοίνυν δηλοῦσιν ὑπακούοντες ἡμῖν ἀσμενέστατα τῷ καὶ τοῖς δούλοις ἄρχεσθαι τοῖς ἡμῶν. ἀμέλει καὶ τοῦ Ζὶχ ἐν γράμμασι δηλώσαντος ὡς Ῥωμαῖοι Σουανίαν ἐπιζητοῦσι λαβεῖν, τοσοῦτον πόρρωθεν ᾠήθην ὑμᾶς τοῦ δικαίου φῆσαι, καθ' ὅσον οὐ πλησίον ἐγενόμην τοῦ πείθεσθαι τῷ παραλόγῳ τῆς ἀκοῆς. πλὴν ἡττηθήσομαι τοῦ δυνατοῦ, καθ' ὅσον οἰηθείην περιέσεσθαι, μὴ οὐχὶ ταὐτὰ φρονεῖν τῷ καθ' ὑμᾶς βασιλεῖ." ταύτας δήπουθεν αὐτὰς ἀπεκύησε τῷ νῷ τὰς ἐννοίας ὁ Περσῶν βασιλεύς, καὶ ἐν τούτοις ὁ λόγος ἐπέπαυτο πρὸς βραχὺ περὶ Σουανίας αὐτῷ. καὶ αὖθις, ὥσπερ ἐν μεταξυλογίᾳ τινί, περὶ Ἄμβρου τοῦ Ἀλαμουνδάρου τοῦ Σαρακηνοῦ διελεγέσθην ἄμφω, τοῦ βασιλέως οὕτω πως ἀρξαμένου· "Ὁ καθ' ἡμᾶς

βρος ὁ Σαρακηνὸς οὐχ ἥκιστα ἐπιμέμφεται τῷ ῾, καὶ καταβοὴν πεποίηται τἀνδρὸς οὐκ ἐλαχίστην, οὐδέν τι ὀνήσαντός γε αὐτόν, ἡνίκα ἐσπενδό- τα ὡς ὑμᾶς." καὶ ὁ Πέτρος "ἐν οὐδενὶ χρόνῳ ποτε" ἔφη "ῥητόν τι χρυσίον ἐκομίσαντο ἐκ Ῥω- ῾ων οἱ καθ' ὑμᾶς Σαρακηνοὶ οὔτε μὴν ἀνάγκῃ οὔτε καθ' ὁμολογίαν τινά, ἀλλὰ δῆτα ὁ πατὴρ βρου Ἀλαμούνδαρος ἔστελλε δῶρα τῷ Ῥωμαίων ·οκράτορι, καὶ ὅ γε δεχόμενος ἀντεδωρεῖτό γε αὐ- . ὅπερ ἐφ' ἑκάστῳ ἐνιαυτῷ τὸ τοιόνδε ἐγίγνετο ᾿αμῶς, ἀλλ' ἔστιν ὅτε καὶ πέντε παρῳχημένων ιν. τοῦτο γοῦν διεσώθη τε καὶ διεφυλάχθη Ἀλα- ινδάρῳ τε καὶ ἡμῖν ἐπὶ χρόνον ἥκιστα ὀλίγον. πίσταται δὲ τὸ κρεῖττον ὅτι οὐχὶ δῆτα ἐρρωμένα ονῶν ἐς Πέρσας τὰ τοιάδε ἔπρασσεν Ἀλαμούνδα- ;. τοιγαροῦν διεβεβαιοῦτο ὡς εἰ καὶ ὑμεῖς πόλε- ν κινήσοιτε καθ' ἡμῶν, Ἀλαμουνδάρῳ γε ἄπρα- ῾ς τε καὶ ἀνενέργητος ἔσται ἡ μάχαιρα τῆς Ῥωμαίων ιτι πολιτείας. ταῦτα μὲν οὖν ἐπί τινι διέμεινε ῾νῳ· νῦν δὲ ὁ σὸς μὲν ἀδελφός, δεσπότης δὲ ῾ς, ἔθετο ἐν νῷ ἐμφρονέστατα, οἶμαι, ὦ βασιλεῦ, η τε ὡς εἰ βεβαίως ἔχει τὰ πολιτεύματα τὴν εἰρή- ν, τί δήποτε ἄρα λυσιτελήσει μοι τοῦ λοιποῦ ὑπη- ις τε καὶ δούλοις προσφθέγγεσθαι Περσῶν ὡς καταπρόοιντο τῶν κεκτημένων τὰ πράγματα, ιυν πορίζειν τι αὐτοῖς ἢ πορίζεσθαι παρὰ σφῶν;" "εἰ πρὸ τῆς εἰρήνης" ἔλεξεν ὁ βασιλεύς "ἑκατέρω- ι ἐστέλλοντο πρεσβεῖαι καὶ ἀμοιβαίοις ἐφιλοφρο- σθε δώροις ἀλλήλους, χρῆναι οἶμαι ἄτρωτα εἶναι ὅσα ἐστέρχθη πρὸ τοῦ." ταύταις μὲν οὖν αὐταῖς περὶ Ἄμβρου ταῖς δικαιολογίαις ἐχρησάσθην, καὶ ιις ἀντελογίζοντο περὶ Σουανίας. ὁ δὲ βασιλεὺς

εἶπεν "ὁπηνίκα ἔγωγε παρεστησάμην Σκένδεις τε καὶ Σάραπα καὶ Λαζικήν, ὑμεῖς οὔ φατε ὅτι τηνικαῦτα Σουανίαν ἐν ὑπηκόων εἴχετε μοίρᾳ. ἔνδηλον οὖν ἐντεῦθεν ὡς οὐκ ἐτύγχανον ὄντες ὑπὸ Λαζούς. ἢ γὰρ ἂν καὶ αὐτοὶ ξὺν τοῖς κρατοῦσιν ἡμῖν προσεχώρησαν." ὁ Πέτρος ἔφη ἀμοιβαδόν "τοῦτο οὐ γέγονεν, ἐπεὶ ὁ Σουάνος οὐκ ἀπέστη, καθὰ δήπουθεν οὐ δοῦλος ἦν ὁ Λαζός. φημὶ δὲ ὡς τοῦ καθ' ἡμᾶς δούλου ὁ δοῦλος ἀφηνίασεν οὐδαμῶς." — "τήμερον" εἶπεν ὁ βασιλεύς "δέκα ἤδη παρῳχήκασιν ἐνιαυτοὶ ἐξ οὗ Σουανίαν ἐν κατοχῇ ἐποιησάμην· πρέσβεις πολλάκις ἐδεξάμεθά τε καὶ ἐξεπέμψαμεν ὡς Ῥωμαίους· καὶ τί δῆτα ἐξ ἐκείνου τὸν ὁντιναοῦν οὐ κεκινήκατε λόγον ἕνεκα Σουανίας;" — "ἐπειδὴ τηνικαῦτα" ἔλεξεν ὁ Πέτρος "καὶ Λαζικῆς κύριος ἐγεγόνεις. καὶ εἴπερ ἔφην ὡς δεῖ παραχωρῆσαί μοι Σουανίας, ἀντέλεξας ἂν "τίνος χάριν;" καὶ εἴπερ αὖθις ἔφην "ἐπεὶ Λαζικῆς ἐστι κατήκοος", ἀπεκρίνω "τίνα γάρ σε γνωρίζομεν Λαζικῆς;" καὶ λοιπὸν ἀντερεῖν εἴχομεν τὸ παράπαν οὐδέν." — "τοῦτο φῂς" εἶπεν ὁ βασιλεύς "ὅτι Σουανία Λαζῶν ὑποχείριος ἦν. εἴπερ ἐν γράμμασιν οἷός τε εἶ τεκμηριῶσαι τὸ τοιόνδε, ἥκιστα ἀποτεύξῃ τοῦ δέοντος." καὶ ὁ Πέτρος "οὔτι μελλήσω, ἀναδιδάξω δέ σε τἀληθές. ἀρχαῖον ἔθος, ὦ δέσποτα, τόδε ἐκράτησε παρὰ Λαζοῖς, ὁ Σουανίας ἡγεμὼν ὑπήκουε τῷ Λαζῷ, καὶ ἀνάγραπτός οἱ ἐπεφύκει ἐς δασμοφορίαν, καὶ τοίνυν ἐκομίζετο παρ' αὐτοῦ ὁ Λαζὸς καρπούς τε μελιττῶν καὶ δέρρεις καὶ ἕτερα ἄττα. ὁπηνίκα δ' οὖν ὁ Σουάνος ἄρχων ἀπεβίω, ἐχειροτόνει ὁ τοῖς Λαζοῖς ἐφεστὼς τὸν διαφυλάξοντα τοῦ ἀποιχομένου τὴν ἀρχήν. ἐν τούτῳ γράμμασιν ἐχρῆτο ὡς τὸν Ῥωμαίων αὐτοκράτορα τῶν

ξυμβεβηκότων πέρι, καὶ αὐτὸς ἀντιγράφῳ ἐπιστολῇ ἐνεκελεύετό οἱ ἐκπέμψαι τὰ σύμβολα τῆς τῶν Σουάνων ἡγεμονίας ὅτῳ μὲν βούλοιτο, Σουάνῳ δ' ὅμως ἀνδρί. τοῦτο τὴν ἰσχὺν ἔλαβεν ἐκ τῶν Θεοδοσίου τοῦ καθ' ἡμᾶς βασιλέως χρόνων μέχρι Περόζου τοῦ ὑμετέρου πάππου καὶ Λέοντος τοῦ καθ' ἡμᾶς." εἶτα ἐκ τῆς χλαμύδος ὁ Πέτρος ἐν φανερῷ προκομίζει βιβλίδιόν τι, ἐν ᾧ στοιχηδόν τε καὶ διῃρημένως ἐδηλοῦντο Λαζῶν βασιλεῖς, οἳ Σουάνων ἐχειροτόνησαν ἡγεμόνας. εἶχε δὲ οὕτω τοῦ γραμματείου ἡ δύναμις, εἰ καὶ μὴ οὕτω τὰ ῥήματα· "οἵδε Λαζῶν βασιλεῖς, οἵ γε βασιλίσκους ἐπέστησαν Σουάνοις, ἐξ οὗ χρόνου Θεοδόσιος τὸ Ῥωμαίων διήνυσε κράτος καὶ Οὐαράνης τὸ Περσῶν ἄχρι Λέοντος αὐτοκράτορος καὶ Περόζου." καὶ διεξελθὼν ὁ Πέτρος ἔφη "ἄχρι τούτων ἴσμεν ἐν γράμμασι Λαζῶν τε βασιλεῖς καὶ τοὺς ὅσοι ὑπὸ Λαζοῖς ἄρχοντες ἐγένοντο Σουάνων." καὶ ὁ βασιλεύς "εἰ ξυγχωρήσομέν σοι τὸ παρὰ σοῦ προκομισθὲν γράμμα ξυναιρόμενον τῇ κατὰ σὲ πολιτείᾳ ἔχειν τὸ πιστόν, ἆρα καὶ τὰ ἡμέτερα συμβόλαια πιστευθήσονται δικαιότατα;" — "οἶμαι." — "πλήν" ἦ δὲ ὁ βασιλεύς "ὅπερ ἔφης, ἔχεται πειθοῦς ὅτι δῆτα οὗτοι οἱ βασιλεῖς οἱ μὲν οὕτως, οἱ δὲ ἄλλως ἐγένοντο. ἐπειδὴ δὲ νῦν περὶ ἀμφηρίστου διαλεγόμεθα δούλου, εἰ μὲν ἐναργέστατά πως δυνηθείης ἀποφῆναι ὡς πέφυκε σός, λήψῃ γε αὐτόν· εἰ δὲ τὸ τοιόνδε οὐχ οἷός τε εἶ πιστώσασθαι, καὶ ἄλλως βούλεται ὁ Σουάνος ὑποτετάχθαι τῇ Ῥωμαίων ἀρχῇ, ἥκιστα ἔσομαι ἐμποδών. τούτου περαιτέρω οὐδὲν οτιοῦν δυνήσομαι ποιεῖν." ὁ δὲ Πέτρος "οὐχὶ πεύσῃ, ὦ δέσποτα, πρὸς τοῦ Σουάνου, ὅποι βούλεται εἶναι; ἐξουσιάζει γὰρ αὐτός, ὅσον ἐπὶ ταύτῃ γε

δήπου τῇ μοίρᾳ." — "ἄθρει δέ" ὁ βασιλεύς "ὡς οὐ βούλομαι περὶ Σουανίας τῆς χώρας τι πυθέσθαι πρὸς τῶν Σουάνων, ἐπεὶ οὐδὲ ὅσιον οὔτε μὴν ἄλλως δίκαιον περὶ τῆς γῆς αὐτῆς ἐν δούλου κινδυνεύεσθαι κρίσει." οἵδε μὲν οὖν οἱ λόγοι προῆλθον ἐξ ἀμφοῖν. [Exc. de legat. p. 133—147 Par., 346—373 Niebuhr.]

12 *Ὅτι φησὶ Μένανδρος ὁ ἱστορικὸς περὶ Πέτρου τοῦ πρέσβεως καὶ Χοσρόου· "οἵδε μὲν οὖν οἱ λόγοι προῆλθον ἐξ ἀμφοῖν, καὶ οὐχ ἕτερα νοήματα ἐλέχθη Σουανίας πέρι, οὐδὲ μὴν ἀνθ' ἑτέρων ἑτέραις λέξεσιν ἐχρησάμην, ἢ τὸ χθαμαλώτερόν πως ἔστιν ἢ τῶν λόγων, καθ' ὅσον οἷόν τέ μοι, μετέφρασα ἐς τὸ Ἀττικώτερον. οὐ γάρ ἔμοιγε θυμῆρες τὰ εἰρημένα κυρίως καὶ ἐς ἐμὲ ἥκοντα, ὡς οἶμαι, ἐς τὸ ἀκριβὲς μεταφέρειν ἐς ἑτερολογίαν, καὶ τῷ γλαφυρῷ τῶν ῥημάτων οὐχὶ τὰ ὅσα ἐρρήθη, ἀλλὰ γὰρ τὴν τῆς ῥητορικῆς ἐπιδείκνυσθαι δύναμιν, μάλιστα καὶ περὶ σπονδῶν οὕτω μεγίστοιν δυοῖν βασιλέοιν καὶ πολιτείαιν ποιουμένῳ μοι τὴν ἀπαγγελίαν. εἰ δέ γε ἄρα βούλεταί τις τὰ ὅσα Περσῶν βασιλεὺς καὶ Πέτρος τηνικαῦτα ἀκριβολογησαμένω ἤστην εἰδέναι, ἀναλεξάσθω ταῦτα ἐκ τῆς αὐτοῦ Πέτρου συναγωγῆς· ἅπαντα γὰρ αὐτῷ ἀναγέγραπται ἐς τὸ ἀκριβὲς ὁπόσα Χοσρόης καὶ πρέσβεις Ῥωμαίων καὶ Περσῶν ἔλεξάν τε καὶ ἤκουσαν αὐτοῖς τοῖς λόγοις τῶν φθεγξαμένων εἰρημένα, εἴτε κατὰ θωπείαν τινὰ ἐξ ἀμφοῖν τοῖν μεροῖν τυγχάνουσι λεγόμενα εἴτ' οὖν κατασοβαρευόμενοι σφῶν ἔλεξαν ἅττα ἢ εἰρωνευόμενοι ἢ καὶ ἐπιτωθάζοντες ἢ καὶ ἀποφλαυρίζοντες· καὶ ἁπλῶς ὅσα ἐνῆν καὶ ὅπως περὶ τόσου πράγματος διαλεγομένους τοὺς ἀμφοτέρας πολιτείας ἄνδρας εἰπεῖν, ἐνθένδε ἀναλεκτέον. τεῦχος γὰρ μέγιστον ἐσότι τῶν τοιῶνδε*

ϱωται, οἶμαι, ξὺν ἀληθείᾳ λόγων, εἰ μὴ Πέτρῳ
ϑευταί τι τῆς αὐτοῦ χάριν εὐκλείας, ὡς ἂν τοῖς
ιτα δειχθείη ὡς μάλα ἐμβριθής τε καὶ ἀνάλω-
τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα
ϱικὰ σκληρά τε καὶ ὀγκώδη. ἅπαντα δὴ οὖν
περὶ τούτων βίβλῳ ἀναλεγόμενος ὁστισοῦν
ι· οὐ γὰρ ἔμοιγε ὑπῆρχεν ἀναγκαῖον οὐδὲ
ἁρμόδιον ἐν ξυγγραφῇ περιττολογίᾳ χρῆσθαι
' ἑνὶ κεφαλαίῳ ἐμφιλοχωρεῖν· ὡς, εἴ γε ἅπαντα
ιψάμην τὰ ὅσα κατ' ἐκείνην γε δήπου φέρεται
ρθέραν, ἀπέχρησέ μοι ἂν ἡ τῶν σπονδῶν ῥα-
ὲς μεγίστης ἱστορίας ὑπόθεσιν. ἐγὼ δὲ ἐκεῖ-
ρυσάμενος ὅ,τι χρειῶδες ἐν ὀλίγῳ ἔλεξα."
le sentent. (cod. p. 342) p. 355—357 Mai., 428
Niebuhr.]

ι οὐδὲν προέβη περὶ τῆς Σουανίας, ἀλλ' ὁ 13
; ἄπρακτος ἀνεχώρησε τῶν Μηδικῶν ὁρίων.
ϑ' οὖν ἐσπείσατο Πέρσαις, καὶ κατέθεντο τὸν
ον ἀμφότεραι πολιτεῖαι. καὶ οἱ μὲν Μῆδοι ἐκ
ὶν Κόλχων γῆς ἐπ' οἴκου ἀνεχώρησαν· ἀτὰρ
Βυζάντιον ἀφικόμενος ὁ Πέτρος οὐ πολλῷ
ν κατέλυσε τὸν βίον. [Exc. de legat. p. 147
373 Niebuhr.]

ι ἐπὶ Ἰουστίνου τοῦ νέου οἱ τῶν Ἀβάρων 14
εις παρεγένοντο ἐν Βυζαντίῳ, τὰ συνήθη δῶρα a. 565 Iustini I.
ενοι, ἅπερ τῷ κατ' αὐτοὺς ἔθνει Ἰουστινιανὸς
τοῦ βασιλεὺς ἐδίδου· ἦσαν δὲ καλῴδιά τε
διαπεποικιλμένα, ἐς τὸ εἴργειν τι τῶν ἀπο-
κόντων ἐπινενοημένα, καὶ κλῖναι ὁμοίως καὶ
ινὰ ἐς τὸ ἁβρότερον ἀνειμένα. τότε δὴ οὖν
σβεις τῶν Ἀβάρων ἐς πεῖραν ἰέναι τοῦ βασι-
βούλοντο, εἴ γε οὐκ ἄλλως (οὐδαμῶς ἐξέσται

Nieb., εἴη addit Müll.) δῶρα λαμβάνειν αὐτοῖς καὶ τῇ Ῥωμαίων ῥᾳθυμίᾳ ἐπεντρυφᾶν καὶ τὸ ἀμελὲς αὐτῶν οἰκεῖον τίθεσθαι κέρδος. καὶ δὴ παρὰ βασιλέα φοιτᾶν ἠξίουν. καὶ οὖν τοῦτο ἐφειμένον αὐτοῖς, ἔτι γε μὴν καὶ διὰ τῶν ἑρμηνέων ὅ,τι βούλονται λέγειν, τοιοῖσδε ἐχρήσαντο λόγοις· "Χρεών, ὦ βασιλεῦ, κληρονομοῦντά σε τῆς πατρῴας ἀρχῆς καὶ τοὺς πατρῴους φίλους οὐκ ἄλλως ἤπερ ὁ πατὴρ ὁ σὸς εὖ ποιεῖν, καὶ ταύτῃ φαίνεσθαι μᾶλλον διάδοχον εἶναι τετελευτηκότος τῷ μηδὲν ἐναλλάττειν ὧν ἐκεῖνος ἔπραττε περιών. οὕτω γὰρ καὶ ἡμεῖς τῆς αὐτῆς ἀνθεξόμεθα γνώμης, καὶ οὐχ ἧττον τὸ τῆς εὐεργεσίας ὄνομα μεταθήσομεν, εἰ σὲ καὶ μετ' ἐκεῖνον εὐεργέτην ἀποκαλέσοιμεν· πρός γε καὶ αἰσχυνθησόμεθα τῷ πεπονθέναι καλῶς μὴ τοῖς ὁμοίοις ἀμείβεσθαι τὸν δεδρακότα. καὶ γὰρ πατέρα τὸν σὸν δώροις ἡμᾶς φιλοφρονούμενον ἀντεδωρούμεθα τῷ καὶ δυνάμενοι μὴ κατατρέχειν τὴν Ῥωμαϊκήν, ἀλλὰ πλέον ἐνδείκνυσθαί τι. τοὺς γὰρ ἐκ γειτόνων ὑμῖν βαρβάρους, τὴν Θρᾴκην ἀεὶ περικόπτοντας, ἠφανίσαμεν ἀθρόον, καὶ οὐδεὶς ὁστισοῦν αὐτῶν περιλέλειπται τὰ Θρᾳκῶν ὁρίσματα καταδραμούμενος· δεδίασι γὰρ τῶν Ἀβάρων τὴν δύναμιν φιλίως ἔχουσαν πρὸς τὴν Ῥωμαίων ἀρχήν. πεπείσμεθα δὴ οὖν ὡς ἐν τούτῳ μόνῳ καινοτομήσεις ἡμᾶς τῷ πλέον παρέχειν ἡμῖν ἢ ὁ σὸς ἐδίδου πατήρ· ἀνθ' ὧν καὶ ἡμεῖς ἤπερ ἐκείνῳ γενησόμεθα σοὶ κατὰ τὸ πλέον ὑπεύθυνοι καὶ μείζονας ἐποφλήσομέν σοι τὰς χάριτας. πάρεσμεν οὖν ληψόμενοι τὰ κατὰ τὸ εἰωθός. γνῶθι γὰρ ὡς ἄλλως οὐκ ἔστι δυνατὸν τὸν καθ' ἡμᾶς ἡγεμόνα σοί τε καὶ τῇ Ῥωμαίων εὐνούστατον ἔσεσθαι πολιτείᾳ, εἴ γε μὴ ἐγχειρισθείη πρότερον αὐτῷ τὰ ἐφ' οἷς οὐ κινεῖν ὅπλα

κατὰ Ῥωμαίων ἔγνω." οἱ μὲν τῶν Ἀβάρων πρέσβεις τοιαῦτα διεξῆλθον, ἐπαμφοτερίζοντες τῇ γνώμῃ· τοῦτο μὲν γὰρ ἐδόκουν ἱκετεύειν, τοῦτο δὲ ἀπειλεῖν. ᾤοντο γὰρ ὡς ταύτῃ δεδίξονταί τε καὶ ἐκφοβήσουσι τὸν βασιλέα, καὶ ὡς ἐκ τούτου ἀναγκασθήσονται Ῥωμαῖοι ὥσπερ ὑπόφοροι εἶναι Ἀβάρων. ὁ δὲ βασιλεὺς οὐδὲν ἕτερον ἢ ψόφον ἡγησάμενος τὰ τῶν Ἀβάρων ῥήματα, ἀντέλεξεν οὕτω· "Προβαλλομένων ὑμῶν σὺν ἱκετείᾳ τὴν μεγαληγορίαν, οἰομένων τε τῇ συγκράσει ταύτῃ τῶν λόγων τὸ σπουδαζόμενον ὑμῖν ἀνύσειν, ἀμφοτέρας, ὡς εἰπεῖν, ἐκπεπτώκατε τῆς ἐλπίδος· οὔτε γὰρ ὑποθωπεύοντες ἡμᾶς ἀπατήσετε οὔτε μὴν ἀπειλοῦντες ἐκφοβήσετε. πλείονα δὲ ὑμῖν ἐγὼ παρέξω τοῦ ἡμετέρου πατρὸς τὸ πέρα τοῦ δέοντος ἐπηρμένους ὑμᾶς τῷ πρέποντι σωφρονίζειν· ὁ γὰρ μεταρρυθμίζων τοὺς ἀτάκτους τῶν λογισμῶν καὶ ὥσπερ παιδεύων τε καὶ ἀνακόπτων τῆς ἐπ' ὀλέθρῳ τῶν αὐθαδιζομένων ὁρμῆς ὀφθήσεται κατὰ τὸ μᾶλλον εὐεργέτης ἤπερ ὁ χορηγὸς τῆς τρυφῆς, ὃς φιλεῖν μὲν δοκεῖ, προφάσεως δὲ μικρᾶς ἐπιλαβόμενος τὸν δῆθεν εὐεργετούμενον ἠφάνισεν εὐθέως. ἄπιτε τοιγαροῦν πλεῖστον πριάμενοι παρ' ἡμῶν κἂν γοῦν ἐν ζῶσι τελεῖν καὶ ἀντὶ τῶν Ῥωμαϊκῶν χρημάτων τὸν καθ' ἡμᾶς φόβον εἰς σωτηρίαν εἰληφότες. οὔτε γὰρ δεηθείην ποτὲ τῆς καθ' ὑμᾶς συμμαχίας, οὔτε τι λήψεσθε παρ' ἡμῶν ἢ καθ' ὅσον ἡμῖν δοκεῖ, ὥσπερ δουλείας ἔρανον, καὶ οὐχ, ὡς οἴεσθε, φορολογίαν τινά." τοιοῦτον ἐπισείσαντος φόβον τοῦ βασιλέως τοῖς πρέσβεσι τῶν Ἀβάρων, κατεγνωκότες ἐκ τῶν εἰρημένων οἱ βάρβαροι ὡς οὐκ ἀνέξεται σφῶν τῆς πλεονεξίας, καὶ ὡς οὐδὲν αὐτοῖς ἐπιδοθήσεται ὧν ἐκομίζοντο πρὸ τοῦ, καὶ ὡς τὸ λοιπὸν ἀδεῶς οὐκ ἐπιδραμοῦνται τὴν Ῥωμαϊκήν, ἐν δυσθυμίᾳ τε ἐτύγχανον

πολλῇ καὶ ἀναλογιζόμενοι ἦσαν ὅποι τὰ παρόντα ἐκβήσεται καὶ ὅποι τύχης αὐτοῖς χωρήσοι τὰ πράγματα· οὔτε γὰρ μένειν ἐν Βυζαντίῳ ἀνόνητα ἤθελον οὔτε μὴν ἄπρακτοι ἀπιέναι ἐβούλοντο. ὅμως δ' οὖν τῶν κακῶν αὐτοῖς αἱρετώτερον ὑπῆρχεν ἀπονοστῆσαι ὡς τοὺς ὁμοφύλους. καὶ τούτοις ἑνωθέντες ἐς τὴν τῶν Φράγγων χώραν ἀφίκοντο, τοῦ βασιλέως τὴν ἀπολογίαν θαυμάσαντες. [Exc. de legat. p. 101—103 Par., 286—290 Niebuhr.]

15 Ὅτι Ἰουστῖνος ὁ ἀνεψιὸς Ἰουστινιανοῦ κατ' ἐκεῖνο
a. 565 Iustini 1. καιροῦ Ἰωάννην τὸν Κομεντίολον ἐς τὰ Περσῶν ἤθη ἔστειλε πρεσβευσόμενον. παρηγγύησε δέ οἱ ἐκ μὲν τοῦ ἐμφανοῦς ἀνακήρυξιν ποιήσασθαι τῆς αὐτοῦ ἐπὶ τὴν βασιλείαν ἀναγορεύσεως κατὰ τὸ εἰωθὸς Ῥωμαίοις τε καὶ Πέρσαις, ἐν ταὐτῷ δέ, εἴ γε καλέσοι καιρός, καὶ ἀμφὶ Σουανίας κινῆσαι λόγους. ταύτην γὰρ οὔπω Χοσρόης ἀποκατέστησε Ῥωμαίοις, καίτοι τῆς Λαζικῆς παραχωρήσας, ἧς ὑπήκοος οὖσα ἡ Σουανία ἐτύγχανεν. ἀλλ' αἱ μὲν πεντηκοντούτιδες σπονδαὶ ἦσαν, ἃς ἔθετο Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμών· τὰ δὲ περὶ Σουανίας ἐπ' ἀμφιβόλῳ ἦν. Ἰουστῖνος δὲ ὁ βασιλεὺς ἐνεκελεύσατο Ἰωάννην, ὡς εἴ γε βούλοιντο Πέρσαι καὶ ὤνιον ἀποδόσθαι τὴν χώραν, ἑτοιμότατα φῆσαι ἔχειν. ἡ γὰρ Σουανία ἀξιόλογος μὲν οὐδαμῶς, ὅμως δὲ ἐπιτηδείως ἔχουσα θέσεως ἐς τὰ μάλιστα ὀνίνησι τὴν Ῥωμαίων ἀρχὴν τῷ μὴ δι' αὐτῆς ἐπιτιθεμένους Πέρσας τὰ τῶν Κόλχων ὅρια λυμαίνεσθαι. Ἰωάννης οὖν ἐκ Βυζαντίου ἄρας, καὶ ὡς τάχιστα τὴν πορείαν ἀνύσας, ἐν ταῖς κατὰ τὴν πάροδον πόλεσι τῶν ἀναγκαίων φροντίδα θέμενος πολλήν, τοῦτο προειρημένον αὐτῷ ἐκ βασιλέως, ἀφίκετο ἐς τὸ Δάρας. ἐνταῦθα τὸν κατὰ πόλιν ὁλκὸν

τοῦ ὕδατος ἐπεσκεύασε καὶ ὑδροχοεῖα ἐπενόησε, καὶ μὲν οὖν ἄλλα ἄττα τῶν ἐν ἄστει ἀναγκαίων εἰργάσατο. διήγαγε δὲ αὐτοῦ ἡμέρας δέκα τῷ τοὺς ἐν τῇ Νισίβει τῇ πόλει πανηγυρίζειν τε καὶ ἄγειν ἑορτήν, κἀκ τούτου τὴν πρεσβείαν μὴ ὑποδέξασθαι. ὁ δὲ Ἰωάννης δεχθεὶς μετὰ τὴν ἑορτὴν τὴν φουρδίγαν (φρουδίγαν Suidas v. νεκυία) προσαγορευομένην, ὅ ἐστιν ἑλληνιστὶ νεκυία, ἐκ τῶν ἐν τῇ Νισίβει ἀρχόντων ἐξεπέμφθη σὺν τῇ νομιζομένῃ τιμῇ πρεσβεύειν ἐς τὰ βασίλεια Περσῶν· καὶ ἅπαντα, ὧν ἕνεκα ἔσταλτο, ἐν δέοντι καταστησάμενος, ἐν τούτοις ὑπῆρχεν. ὁ δὲ Χοσρόης ἐν μιᾷ τῶν ἡμερῶν τῶν Σαρακηνῶν πέρι αὐτῷ ἐκίνησε λόγους. τὰ γὰρ Σαρακηνικὰ φῦλα μυριάδες ταῦτα, καὶ τὸ πλεῖστον αὐτῶν ἐρημονόμοι εἰσὶ καὶ ἀδέσποτοι, καὶ μὲν οὖν τῆς Ῥωμαίων, ἐστὶν ἃ καὶ τῆς Περσῶν ὑπήκοα πολιτείας. οὕτω δὲ διακεκριμένων αὐτῶν, Ἰουστινιανός, μεγαλόφρων ἀνὴρ καὶ βασιλικώτατος, τοὺς μηδίζοντας Σαρακηνῶν δώροις ἐδεξιοῦτο κρατούσης εἰρήνης. ὁ δὲ Ἰουστῖνος, ἐμβριθής τε ὢν καὶ βαρβάρων φρονήματι ἥκιστα ὑποχαλῶν, ἐν οὐδενὶ λόγῳ ἐποιήσατο τοὺς ὅσοι ἐμήδιζον τῶν Σαρακηνῶν. οἱ δέ, πλεονεκτικώτατον γὰρ τὸ φῦλον, ἀποκοπὴν τοῦτο ἡγησάμενοι τῷ βασιλεῖ ἐνέκειντο Περσῶν μὴ περιιδεῖν αὐτοὺς αὐτῷ ἀνακειμένους. τῷ τοι ἄρα καὶ Πέτρου ἐκεῖσε πρεσβευσαμένου, ὥσπερ τοῖς Σαρακηνοῖς ὑπευθύνους ὄντας Ῥωμαίους ἔλεγε δεῖν ὁ Χοσρόης ἀποδίδοσθαί σφισι τὸ χρέος. εἶτα καὶ Ἰωάννου αὐτόσε ἀφικομένου τοῖς αὐτοῖς ἐχρήσατο ῥήμασι. διισχυρίζοντο γάρ πως οἱ Σαρακηνοὶ ὡς ὑπὲρ τοῦ εἰρήνην ἄγειν καὶ μὴ καταθεῖν τὴν Ῥωμαίων τὰ τοιαῦτα ἐκομίζοντο χρήματα, ἐντεῦθέν τε ἐβιάζοντο τὴν τοῦ πράγματος φύσιν. ὁ δὲ Ἰωάννης ὡς ἑώρα

σφᾶς οὐ κατὰ τὸ δέον τὸ ἐπίκλημα ποιουμένους, εἶπε "εἰ μὲν ἕτερός τις, καὶ οὐχὶ Χοσρόης ὁ πάνυ, ξυνε πελαμβάνετο τοῖς ἀδίκως ἐπεγκαλοῦσι Σαρακηνοῖς ἧττον ἂν ὑπῆρχε δεινόν. τοσοῦτον δὲ βασιλέα Περ σῶν, περὶ πλείστου ποιούμενον τὰ μὴ ἐναντία τῇ τῶν πραγμάτων φύσεως, προσθήσω δὲ καὶ τὰ Ῥω μαίων ἀσπαζόμενον, συνηγοροῦντα τοῖς ἐθέλουσι ἀδικεῖν θαυμάσαιμι λίαν καὶ ὑπερεκπλαγείην. ὅμω δὲ ῥᾳθυμίᾳ τὸν νοῦν οὐκ ἐπιτρέψω, Ῥωμαῖος πεφυ κώς, ἀναδιδάξω δὲ τὸ πᾶν. καίτοι τοῦ βασιλέως ο δεομένου διδασκαλίας, ἀλλ' ἐν εἰδόσι τῆς διηγήσεω προϊούσης. ὁ γὰρ προεγνωκὼς ἤδη τὰ ὅσα τῷ δικαίῳ ξυνᾴδει, ταῦτα πάλιν ἀναδιδαχθεὶς ἐπιρρώσει τῷ ἀδεκάστῳ τὸ συνειδός. Πέτρος μὲν γὰρ ὁ πρὸ ἡμῶ πρεσβευτής, ὃς ἔναγχος παραγενόμενος ἐβεβαίωσε τ τῆς εἰρήνης, ἐμπειρίᾳ λόγων καὶ δεινότητι πειθοῦ καὶ τὰ περὶ τῶν νῦν ἐπεγκαλούντων Σαρακηνῶν, κα ἕτερα ὅσα διημφισβητήθη, οἷος ἐγένετο παρακρούσα σθαι. ἐγὼ δὲ ῥητορεύειν τε καὶ πείθειν ἠσκημένο οὐδαμῶς, ὅμως τῷ (πρὸς τῷ Nieb.) περιεῖναι τῇ δίκ τῶν Σαρακηνῶν ἔξω πρὸς ὑμῶν, τῷ (τὸ Nieb.) μ στέργειν ὑμᾶς ἀντὶ Ῥωμαίων Σαρακηνούς, καὶ ταῦτ τοὺς ἀδικωτάτους, καὶ ἀντὶ τοῦ συνοίσοντος τοῖς καθ ἡμᾶς (ὑμᾶς Bekk.) πολιτεύμασι τὸ ἀξύμφορον. οἱ καὶ ὑμᾶς γὰρ Σαρακηνοί, ὅταν δὲ λέγω Σαρακηνούς ἀναλογίζεσθε, ὦ Μῆδοι, τὸ ἀλλόκοτόν τε καὶ παλίμ βολον τοῦ ἔθνους, οὗτοι δῆτα οὖν πρὸς βασιλέω Ἰουστινιανοῦ δῶρα μὲν λαμβάνειν εἰώθεισαν, τὸ δ ἔθος αὐτοῖς τῷ τοῦ παρέχοντος ἐβεβαιοῦτο βουλήματ ὑπερηδόμενος γὰρ τῇ εἰρήνῃ καὶ οἷς οὐκ ἐχρῆν τ μεγαλόδωρον ἐπεδείκνυτο. καὶ μᾶλλον ἐκαίνιζεν ἑκου σίως φιλανθρωπίας ὑπερβολῇ πρὸς τὸ μὴ ἀναγκαῖο

γματα ἤπερ ἀκουσίως, εἰ θέμις εἰπεῖν, ἐποιεῖτο 'αγκαίων τὴν σύστασιν. μαρτύριον δέ μοι σαφέ- τοῦ δῶρα τοὺς Σαρακηνούς, καὶ οὐχ ὡς ὑπὲρ ῦν, ὥς φασι, κομίζεσθαι τὰ τοιαῦτα χρήματα, 'τοὺς ἀντιδωροφορεῖν τὸν καθ' ἡμᾶς βασιλέα. ιὸς ταῦτα μὲν οἶμαι μηδ' ὁντιναοῦν ἀντερεῖν. αἰ δοίημεν ὡς Ἰουστινιανὸς αὐτοὺς κατὰ ξυν- ἐφιλοφρονεῖτο τοῖς χρήμασι, συνεμετρήθη τῷ οῦ δωρουμένου βασιλέως καὶ συνανεπαύσατο ' τῇ τελευτῇ τὸ δωρούμενον. οὐ γὰρ ἑνὸς ; ἔθει, φημὶ δὲ τὸ πλέον, καὶ νόμῳ μὴ λυσιτε- , καὶ εἰ πέφυκε βασιλεὺς ὁ τὸ ἔθος ἰσχυροποιή- 'ουν νομοθετήσας, πολιτεία καταδικασθήσεταί ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τοῦ διδόναι τι τὸ ' Σαρακηνοῖς, καθ' ὅσον Ἰουστινιανὸς μὲν καὶ :οὺς βαρβάρους ἠπιώτατος, ὁ δὲ νῦν Ῥωμαίων)άτωρ πρὸς πάντας εἶναι βούλεται φοβερώτατος. ὼν οὖν ταῦτα τοὺς Σαρακηνοὺς ὀνειροπολεῖν· τι τοιοῦτον ὁ καθ' ἡμᾶς βασιλεὺς ἕλοιτο ποιεῖν. ' δὲ ὑμῖν γενήσεται τὸ τὴν εἰρήνην αὐτὸν ἐθέ- ιρῶσθαι, καὶ μὴ οἴεσθαί γε αὐτὸν ἔλαττον ἔχειν 'ους ἐν ταῖς ἤδη γεγενημέναις σπονδαῖς. ταύτῃ 'έξεται μὴ ὅπλα κινεῖν." οὗτος μὲν οὖν οὕτως καὶ περὶ μὲν τῶν Σαρακηνῶν τὸ λοιπὸν οὐδε- ; ἐφέρετο μνήμη. ἐπιτηρήσας δὲ τὸ δοκεῖν οὐκ ῶς ἀμφὶ Σουανίας ἀπέρριψε λόγους ὡς δέον 'ωμαίους αὐτὴν καθεστάναι, εἴ γε καὶ Λαζικῆς ἰοντο ἐννομώτατα αὐτοί. ὁ δὲ Περσῶν βασιλεὺς :ερὶ Σουανίας μὲν λόγους ἔδοξε παραδέχεσθαι, ι δὲ αὐτὸν ἔφη περὶ ταύτης ἅμα τοῖς ἐν τέλει Μήδων βουλεύσασθαι. μετὰ ταῦτα ὁ Ἰωάννης ; προσήγαγε τῷ Ζὶχ τῷ καὶ Ἰεσδεγουσνάφ, καὶ

πολλῇ καὶ ἀναλογιζόμενοι ἦσαν ὅποι τὰ παρόντα ἐκβήσεται καὶ ὅποι τύχης αὐτοῖς χωρήσοι τὰ πράγματα· οὔτε γὰρ μένειν ἐν Βυζαντίῳ ἀνόνητα ἤθελον οὔτε μὴν ἄπρακτοι ἀπιέναι ἐβούλοντο. ὅμως δ' οὖν τῶν κακῶν αὐτοῖς αἱρετώτερον ὑπῆρχεν ἀπονοστῆσαι ὡς τοὺς ὁμοφύλους. καὶ τούτοις ἐνωθέντες ἐς τὴν τῶν Φράγγων χώραν ἀφίκοντο, τοῦ βασιλέως τὴν ἀπολογίαν θαυμάσαντες. [Exc. de legat. p. 101—103 Par., 286—290 Niebuhr.]

a. 565 Iustini 1. Ὅτι Ἰουστῖνος ὁ ἀνεψιὸς Ἰουστινιανοῦ κατ' ἐκεῖνο καιροῦ Ἰωάννην τὸν Κομεντίολον ἐς τὰ Περσῶν ἤδη ἔστειλε πρεσβευσόμενον. παρηγγύησε δέ οἱ ἐκ μὲν τοῦ ἐμφανοῦς ἀνακήρυξιν ποιήσασθαι τῆς αὐτοῦ ἐπὶ τὴν βασιλείαν ἀναγορεύσεως κατὰ τὸ εἰωθὸς Ῥωμαίοις τε καὶ Πέρσαις, ἐν ταὐτῷ δέ, εἴ γε καλέσαι καιρός, καὶ ἀμφὶ Σουανίας κινῆσαι λόγους. ταύτην γὰρ οὔπω Χοσρόης ἀποκατέστησε Ῥωμαίοις, καίτοι τῆς Λαζικῆς παραχωρήσας, ἧς ὑπήκοος οὖσα ἡ Σουανία ἐτύγχανεν. ἀλλ' αἱ μὲν πεντηκοντούτιδες σπονδαὶ ἦσαν, ἃς ἔθετο Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμών· τὰ δὲ περὶ Σουανίας ἐπ' ἀμφιβόλῳ ἦν. Ἰουστῖνος δὲ ὁ βασιλεὺς ἐνεκελεύσατο Ἰωάννην, ὡς εἴ γε βούλοιντο Πέρσαι καὶ ὤνιον ἀποδόσθαι τὴν χώραν, ἑτοιμότατα φῆσαι ἔχειν. ἡ γὰρ Σουανία ἀξιόλογος μὲν οὐδαμῶς, ὅμως δὲ ἐπιτηδείως ἔχουσα θέσεως ἐς τὰ μάλιστα ὀνίνησι τὴν Ῥωμαίων ἀρχὴν τῷ μὴ δι' αὐτῆς ἐπιτιθεμένους Πέρσας τὰ τῶν Κόλχων ὅρια λυμαίνεσθαι. Ἰωάννης οὖν ἐκ Βυζαντίου ἄρας, καὶ ὡς τάχιστα τὴν πορείαν ἀνύσας, ἐν ταῖς κατὰ τὴν πάροδον πόλεσι τῶν ἀναγκαίων φροντίδα θέμενος πολλήν, τοῦτο προειρημένον αὐτῷ ἐκ βασιλέως, ἀφίκετο ἐς τὸ Δάρας. ἐνταῦθα τὸν κατὰ πόλιν ὁλκὸ

τοῦ ὕδατος ἐπεσκεύασε καὶ ὑδροχοεῖα ἐπενόησε, καὶ μὲν οὖν ἄλλα ἄττα τῶν ἐν ἄστει ἀναγκαίων εἰργάσατο. διήγαγε δὲ αὐτοῦ ἡμέρας δέκα τῷ τοὺς ἐν τῇ Νισίβει τῇ πόλει πανηγυρίζειν τε καὶ ἄγειν ἑορτήν, κἀκ τούτου τὴν πρεσβείαν μὴ ὑποδέξασθαι. ὁ δὲ Ἰωάννης δεχθεὶς μετὰ τὴν ἑορτὴν τὴν φουρδίγαν (φρουδίγαν Suidas v. νεκυία) προσαγορευομένην, ὅ ἐστιν ἑλληνιστὶ νεκυία, ἐκ τῶν ἐν τῇ Νισίβει ἀρχόντων ἐξεπέμφθη σὺν τῇ νομιζομένῃ τιμῇ πρεσβεύειν ἐς τὰ βασίλεια Περσῶν· καὶ ἅπαντα, ὧν ἕνεκα ἔσταλτο, ἐν δέοντι καταστησάμενος, ἐν τούτοις ὑπῆρχεν. ὁ δὲ Χοσρόης ἐν μιᾷ τῶν ἡμερῶν τῶν Σαρακηνῶν πέρι αὐτῷ ἐκίνησε λόγους. τὰ γὰρ Σαρακηνικὰ φῦλα μυριάδες ταῦτα, καὶ τὸ πλεῖστον αὐτῶν ἐρημονόμοι εἰσὶ καὶ ἀδέσποτοι, καὶ μὲν οὖν τῆς Ῥωμαίων, ἐστὶν ἃ καὶ τῆς Περσῶν ὑπήκοα πολιτείας. οὕτω δὲ διακεκριμένων αὐτῶν, Ἰουστινιανός, μεγαλόφρων ἀνὴρ καὶ βασιλικώτατος, τοὺς μηδίζοντας Σαρακηνῶν δώροις ἐδεξιοῦτο κρατούσης εἰρήνης. ὁ δὲ Ἰουστῖνος, ἐμβριθής τε ὢν καὶ βαρβάρων φρονήματι ἥκιστα ὑποχαλῶν, ἐν οὐδενὶ λόγῳ ἐποιήσατο τοὺς ὅσοι ἐμήδιζον τῶν Σαρακηνῶν. οἱ δέ, πλεονεκτικώτατον γὰρ τὸ φῦλον, ἀποκοπὴν τοῦτο ἡγησάμενοι τῷ βασιλεῖ ἐνέκειντο Περσῶν μὴ περιιδεῖν αὐτοὺς αὐτῷ ἀνακειμένους. τῷ τοι ἄρα καὶ Πέτρου ἐκεῖσε πρεσβευσαμένου, ὥσπερ τοῖς Σαρακηνοῖς ὑπευθύνους ὄντας Ῥωμαίους ἔλεγε δεῖν ὁ Χοσρόης ἀποδίδοσθαί σφισι τὸ χρέος. εἶτα καὶ Ἰωάννου αὐτόσε ἀφικομένου τοῖς αὐτοῖς ἐχρήσατο ῥήμασι. διισχυρίζοντο γάρ πως οἱ Σαρακηνοὶ ὡς ὑπὲρ τοῦ εἰρήνην ἄγειν καὶ μὴ καταθεῖν τὴν Ῥωμαίων τὰ τοιαῦτα ἐκομίζοντο χρήματα, ἐντεῦθέν τε ἐβιάζοντο τὴν τοῦ πράγματος φύσιν. ὁ δὲ Ἰωάννης ὡς ἑώρα

μὲν οὖν ἑτέροις τισὶ τῶν παρὰ Πέρσαις ἡγεμό
οἱ δὲ ἔλεξαν ὡς ἑτοιμότατα ἔχοιεν Σουανίας παρι
ρῆσαι Ῥωμαίοις, οὕτω μέντοι ἐφ' ᾧ χρήματα λ
σθαι καὶ ὤνιον θέσθαι τὴν ἀπαλλαγήν. καὶ
γε συνθήκας ἄλλας τινὰς δεῖν ἔφασκον γενέσ
αἰσχράς τε καὶ ἀναξίας τῆς Ῥωμαίων ἀρχῆς, καὶ
βαιούσας οὐδαμῶς τὴν περὶ βασιλέως Ἰουστίνου
τήσασαν δόξαν ὥς ἐστι μάλα ἐμβριθής τε καὶ κ
κριβωμένος. Ἰωάννης δὲ τὰ τοιάδε ἀκηκοώς,
οὐ σφόδρα τῆς τοῦ αὐτοκράτορος στοχαζόμενος
μης, ἀβουλότατα διεπράξατο· ἔστειλε γὰρ παρὰ
άνους, τὸν σφῶν βασιλέα βουλόμενος δεξιώσασ
δελεάσαντος οὖν αὐτὸν ἐς τοῦτο ἀτοπίας ἐλ
αὐτοῦ Χοσρόου, ἐσκήπτετο δὲ τὸ τοιόνδε καὶ
χανᾶτο, ὅπως ἔσοιτό γε αὐτῷ ἐς δικαιολογίαν
ὡς αὐτοὶ Σουάνοι, καίτοι προτραπέντες, οὐκ ἀνάσ
ποιοῦνται Ῥωμαίοις ὑπακούειν. ἐξηπίστατο γὰ
οὖν ὤνησαν οἱ πρὸς Ἰωάννου σταλέντες. μετὰ τ
ἐπηγγείλατο Χοσρόης στέλλειν πρεσβευτὴν ὡς
σιλέα Ῥωμαίων τὸν ταῦτα ἅπαντα ἐν δέοντι κ
στησόμενον· καὶ ἀνέζευξεν Ἰωάννης ἐς τὸ Βυζάν

16 Ὅτι Ἰουστῖνος ὁ βασιλεὺς ἐπεὶ ἐπύθετο ὡ
Σουανίᾳ εἴη πέμψας καὶ ὅτι τοῖς Ῥωμαίων οὐ πρ
θεντο Σουάνοι, ἐχαλέπαινεν, οἷα εἰκός. καὶ π
πρεσβείας ἐκρίνετο Ἰωάννης, ἅτε οὐ πρὸς τὸ συν
τῇ πολιτείᾳ διαπραξάμενος. οὐδὲ γὰρ χρῆναι α
ἔφασκε στεῖλαι, εἴ γε μὴ τοῦτο ἐνεκελεύσατο ὁ
σιλεύς, κἀκ τούτου δοῦναι πρόφασιν Πέρσαι
ἀδίκημα ξυσκιάζειν καὶ προφέρειν λόγους ὡς ο
Σουάνοι ἀπηνήναντο τὰ Ῥωμαίων, ἀλλ' οὐδ
ἀρχῇ τὴν τοιαύτην προσδέξασθαι πρόκλησιν, ἢ
άνους προτρέψασθαι εἶναι ὑπὸ Ῥωμαίους, ἢ το

α πρεσβευτὴν ἐν Βυζαντίῳ γενέσθαι. οὐδέτε-
ι ἐξ ἀμφοῖν εὐπρεπὲς εἶναι τῇ πολιτείᾳ ἡγή-
Ἰωάννην οὖν περιφρονήσας ὁ αὐτοκράτωρ ἐν
ἀνεπιτηδείων ἔταξε μοίρᾳ, ἐγνωμάτευσε δὲ
ὰ ἡμαρτημένα εὖ διαθείη. [Exc. de legat.
-151 Par., 373—380 Niebuhr.]

ἠγγέλθη Ἰουστίνῳ ὡς ἐκ τῆς Περσῶν ἐπι- 17
ς ἐξώρμησεν ὁ Ζὶχ πρεσβευσόμενός τε καὶ a. 566 Iustini 2.
ησόμενος περὶ Σουάνων, ἐν ταὐτῷ καὶ φιλο-
ης ῥήματα ἀποκομίσων βασιλεῖ, ἔτι τε καὶ τὰ
Ῥωμαῖοι προσεγκαλοῦσιν εὖ διαθησόμενος.
ιστῖνος ἐν βουλῇ ἐποιεῖτο ἢ μὴ προσδέξασθαι
σβείαν ἢ προσδεχόμενον εἰδέναι τὸν Ζὶχ ὡς
ὶ νοῦν αὐτῷ ἀνυσθήσεται οὐδαμῶς. καὶ δὴ
ηθείσης αὐτῷ ἐκκλησίας δοκεῖ κατάδηλον
ι ἔτι ὁδοιποροῦντι τῷ Ζὶχ διὰ συλλαβῶν
υ ὡς τὸ παράπαν οὐδὲν τῶν δοκηθέντων
ξατο ὁ βασιλεύς. τούτου γενομένου, τὸ
ἐνεχειρίσθη Τιμοθέῳ τῶν ἅμα Ἰωάννῃ γενο-
ένὶ κατὰ δὴ τὴν Περσῶν πρὸ τοῦ. καὶ οὖν
ρ ἐνεκελεύσατο βασιλεὺς ῥήματα μὲν δῆθεν
Ῥωμαίους φιλίας ἀποκομίσαι βασιλεῖ τῶν Περ-
παντιάζοντι δέ, ὥσπερ εἰκός, τῷ πρεσβευτῇ
ι τὴν Ἰωάννου ἐπιστολήν, ὡς ἂν ἔσοιτο ἐξεπι-
ς ὁ Ζὶχ καὶ σαφέστατα προγιγνώσκων τὴν βα-
ϐουλήν. Τιμόθεος οὖν, τοῦτο ἐπιτετραμμένον
αρεγένετο ἐν τοῖς ὁρίοις. γνοὺς δὲ ὡς οὔπω
ν ὁ Περσῶν πρεσβευτής, ἐπορεύετο ὅ γε αὐτίκα
σρόην. ξυμβὰν δὲ οὕτω, τοῦ Ζὶχ δι' ἑτέρας
ἱ ἐς τὴν Νίσιβιν ἀφικομένου, ἐκεῖ τε διατρί-
ῷ διατεθῆναι τὸ σῶμα ἀρρώστως, ἐν τοσούτῳ
ς πρὸς τοῦ Περσῶν βασιλέως ἀφεθεὶς ἐπι-

Σαρακηνῶν εἰσόδου. τοῦ δὲ βασιλέως ἀνανεύοντι οὐχ ὅσιον ἔφασκεν εἶναι μὴ τὰ ὅσα ἐπετέλει πε τοῦ παρὰ Ῥωμαίους πρεσβευόμενος ὁ Ζὶχ καὶ ἐμ αὖθις ἐπιτελεῖν. "οἱ γὰρ καθ' ἡμᾶς Σαρακηνι ἅμα αὐτῷ παρὰ βασιλέα ἐγίγνοντο. δεῖ οὖν καὶ ἐμ τῶν ἴσων ἐκείνῳ ἀπολαύειν, ὡς ἂν μὴ ὥσπερ λελα βημέναι ὦσιν αἱ μεταξὺ Ῥωμαίων τε καὶ Περσῶ συνθῆκαι." ὁ βασιλεὺς πρὸς ταῦτα ὀργίλως ἔχω "τί οὖν, εἰ καὶ πεφώραται ὁ Ζὶχ ἐπὶ μοιχείᾳ κα ἑτέρῳ ὅτῳ πλημμελήματι τῶν ἀνηκέστων ἁλούς, κα σοὶ κατ' ἴχνος ἐκείνῳ ἰτέα; ἢ οὐ ξυναισθάνῃ βασι λεῖ Ῥωμαίων καὶ Ἰουστίνῳ διαλεγόμενος;" τότ κατορρωδήσας ὁ Μεβώδης περιδεής τε γενόμενο πρηνὴς ἔκειτο ἐπ' ἐδάφους, πρὸς ἄρνησίν τε κατα φεύγων καὶ ἀναινόμενος εἰρῆσθαί οἱ τὰ τοιάδε. τοι αύτῃ ἀπολογίᾳ χρωμένου, ὁ αὐτοκράτωρ ἔδοξε ὑπάγεσθαι τῇ πειθοῖ, ἔλεξέ τε "ἔοικεν οὖν ὁ ἑρ μηνεὺς ἡμῖν ἕτερα ἀνθ' ἑτέρων φράσαι. εἰ τοίνυ οὐδὲν λέλεκταί σοι παρὰ τὸ προσῆκον, ἴσθι τὸ ἐπι κλημα ἀπονιψάμενος." οὕτως ὁ βασιλεὺς ἑκοντ ἀποπροσποιησάμενος τὰ λεχθέντα πρὸς αὐτοῦ εἰδε ναι, τῶν εἰρημένων τὴν ἄγνοιαν ὑπεκρίνετο, καὶ δ ἐς τὸ ἠπιώτερον μετηνέχθη, ὡς ἂν μὴ θρασύτερο τε καὶ κατὰ τὸ μᾶλλον ὑψαγόρας ἔσοιτο ὁ Μεβώδη τῷ ἐς ἔννοιαν ἔχειν συνειδέναι τὸν αὐτοκράτορα τ τῶν ῥημάτων τραχύτητι. οὕτω δὴ οὖν τοῦ βασιλέω παρακρουσαμένου τὴν ὑπόνοιαν "οἰμωζέτω" ἦ δὲ Μεβώδης "καὶ τὰ Σαρακηνικὰ φῦλα ἅπαντα κα Ἄμβρος αὐτὸς καὶ ἡ πρεσβεία ἡ κατ' αὐτούς· ἐμο γὰρ σιγὴ ἔσοιτο ἕκατί τε αὐτῶν, οὐδ' εἴποιμί τι λοι πόν." τούτων οὕτω κεκινημένων, πλεῖστα μὲν κα ἄλλα ὁ βασιλεὺς τὸν Σαρακηνὸν εἶπε κακῶς, καὶ ὡ

μεταβολεύς τε καὶ παλιγκάπηλος ἥκοι. πρὸς τοῖς δ' ἔφασκεν ὡς οὐχ οἷός τε πέφυκε λήσειν ὅτου ἕνεκα βασιλεῖ ἐντευξόμενος ἀφίκετο. "φησὶ γὰρ ὡς ἐθέλοι τὰ συνήθη χρήματα κομίσασθαι πρὸς ἡμῶν, ἀνθ' ὧν, οἶμαι, κομιεῖται ξυμφορὰς ὁ κατάρατός τε καὶ ἀπολούμενος. γελοιῶδες γάρ, εἰ Σαρακηνῶν ἔθνει, καὶ ταῦτα νομάδων, Ῥωμαῖοί γε ὄντες τεταξόμεθα ἐς φόρων ἀπαγωγήν." ὁ Μεβώδης "εἶεν" ἔφη "ὦ δέσποτα, εἰ καὶ ἄπρακτον, ὅμως ἀποπέμψεις αὐτόν." ὁ βασιλεύς "καὶ εἰ μὴ παρεγένετο, ὅσον τό γε ἐφ' ἡμῖν, ἀλλ' οὖν ἀπίτω." "καὶ ἐμὲ ξὺν αὐτῷ κέλευσον" ἦ δὲ ὁ Μεβώδης. εἰς τέλος ἐλθούσης τῆς πρεσβείας ἐν τούτοις, τόν τε Περσῶν πρεσβευτὴν καὶ τοὺς Σαρακηνοὺς ὁ βασιλεὺς ἅμα ἀφῆκεν ἐς τὰ πάτρια ἤδη ἀπονοστήσοντας. οὕτω δὲ ἀπεσιγήθη ἅπαντα τῇ τοῦ αὐτοκράτορος νουνεχείᾳ τὰ ὅσα Ἰωάννης ἐπὶ τῇ πρεσβείᾳ διεπράξατο οὐ κατὰ τὸ προσῆκον. ὡς δὲ οἱ Σαρακηνοὶ ἔνδον τῆς ἑαυτῶν ἐγένοντο, ἀπήγγειλάν τε τῷ Ἄμβρῳ τὴν τοῦ βασιλέως βουλὴν περὶ τοὺς μηδίζοντας τῶν Σαρακηνῶν, τότε ὁ Ἄμβρος Καμβώσῃ (Καβώσῃ margo) τῷ ἀδελφῷ, ὃς Ἀλαμουνδάρῳ τῷ τῶν ὑπὸ Ῥωμαίους Σαρακηνῶν ἡγουμένῳ ἀντικαθιστάμενος ἦν, σημαίνει καταδραμεῖν τὴν Ἀλαμουνδάρου γῆν. ἥδε δὲ ἡ γῆ ὑπὸ Ἀραβίαν τελεῖ. [Exc. de legat. p. 103—106 Par., 290—295 N. Menandri videntur quae Suidas habet v. ῥητόν.]

Ὅτι ἀρχομένου τοῦ τετάρτου ἔτους τῆς Ἰουστί- 18
νου βασιλείας πρεσβεία τῶν Τούρκων ἀφίκετο ἐν a. 568
Βυζαντίῳ. ὡς γὰρ τὰ τῶν Τούρκων ἐπὶ μέγα ἤρθη, Iustini 4.
οἱ Σογδαΐται οἱ πρὸ τοῦ μὲν Ἐφθαλιτῶν, τηνικαῦτα δὲ Τούρκων κατήκοοι, τοῦ σφῶν βασιλέως ἐδέοντο πρεσβείαν στεῖλαι ὡς Πέρσας, ὡς ἂν ἐκεῖσε ἀπιόντες οἱ

Σογδαῗται ὤνιον παράσχοιντο τὴν μέταξαν τοῖς Μήδοις. καὶ οὖν πείθεται ὁ Διζάβουλος, ἀφίησί τε πρεσβευσομένους Σογδαΐτας. ἐξηγεῖται δὲ τῆς πρεσβεία Μανιάχ. ἀφικόμενοι δὴ οὖν παρὰ βασιλέα Περσῶ ἐδέοντο τῆς μετάξης πέρι, ὅπως ἄνευ τινὸς κωλύμης αὐτοῖς προέλθοι ἐπ' αὐτῇ τὰ τῆς ἐμπορίας. δὲ Περσῶν βασιλεύς; οὐδαμῶς γὰρ αὐτῷ ἤρεσκε τι τοιάδε, ὡς ἂν μὴ ἐνθένδε ἄδεια ἔσοιτο Τούρκοις τοῖ Περσῶν ἐμβατεύειν ὁρίοις, ἀνεβάλετο ἐς τὸ αὔριον καὶ μὲν οὖν αὖθις ἀναβολῇ ἐχρῆτο πάλιν ἑτέρᾳ. ὡ δὲ ἄλλοτε ἄλλως τὸ παρὸν ἀπεκρούετο, τῶν Σογδαϊτῶν ἐκλιπαρούντων τε καὶ ἐγκειμένων, τότε Χοσρόη ἐκκλησιάσας ἀνελογίζετο. καὶ οὖν ὁ Κάτουλφος ἐκεῖνος ὁ Ἐφθαλίτης, ὃς διὰ τὴν ἐκ τοῦ κατ' αὐτὸν βασιλέως γεγενημένην βιαίαν μίξιν τῇ γυναικὶ προύδωκε τὸ ὁμόφυλον τοῖς Τούρκοις, οὗτος γοῦν, μετανάστης γὰρ ἐν τῷ μεταξὺ ἐγεγόνει τοῦ χρόνου κα ἐμήδιξεν ἤδη, παρῄνεσε βασιλεῖ τῶν Περσῶν τὴ μέταξαν οὐδαμῶς ἀποπέμψασθαι, ἀλλὰ γὰρ κα ὠνήσασθαι καὶ τὰ ὑπὲρ αὐτῆς μὲν καταθέσθαι τιμήματα, θεωμένων δὲ αὐτῶν τῶν πρέσβεων ταύτη ἀφανίσαι πυρί, ὡς ἂν μήτε ἀδικεῖν δόξῃ μήτε μὴ βούλεσθαι χρῆσθαι τῇ ἐκ Τούρκων μετάξῃ. καὶ ι μὲν μέταξα ἐπυρπολήθη, αὐτοὶ δὲ ἐς τὰ πάτρια ἤθι ἀνεχώρησαν τῷ γεγενημένῳ ἥκιστα χαίροντες. ἐπειδὴ δὲ τῷ Διζαβούλῳ τὰ ξυγκυρήσαντα ἔφρασαν, αὐτίκι ὅγε καὶ ἑτέρᾳ πρεσβείᾳ ἐχρῆτο ὡς Πέρσας, φιλοποιήσασθαι τὴν κατὰ σφᾶς πολιτείαν βουλόμενος ἐπεὶ δὲ ἡ Τούρκων πρεσβεία αὖθις ἀφῖκτο, ὁ βασιλεὺς ἅμα τοῖς ἐν τέλει Περσῶν καὶ τῷ Κατούλφῳ ἐγνωμάτευε, πάντῃ ἀξύμφορον εἶναι Πέρσαις φιλίαι θέσθαι ὡς (πρὸς addunt Suidas et Zonaras v. ἐγνωμ.)

ύρκους· τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον. ιτη τοι καὶ παρηγγύησε δηλητηρίῳ φαρμάκῳ ἐνί- : διαφθαρῆναι τῶν πρέσβεων, ὅπως ἀπείποιεν : ἐκεῖσε μετέπειτα παρουσίας. καὶ δὴ οἱ πλεῖστοι ν πρεσβευσαμένων Τούρκων τῇ περὶ τὴν ἐδωδὴν ει τῶν ἀναιρετικῶν φαρμάκων αὐτοῦ που τὸν ν κατέλυσαν πλὴν τριῶν ἢ τεσσάρων. θροῦς δὲ ιίτησε Πέρσαις ὡς διώλοντο τῷ πνιγηρῷ τῶν Περ- ν αὐχμῷ τῶν Τούρκων οἱ πρέσβεις, ἅτε τῆς αὐ- ν χώρας θαμὰ νιφετῷ παλυνομένης καὶ ἀδύνα- ' ὂν αὐτοῖς ἄνευ κρυμώδους καταστήματος βιο- ·ειν (ita Suidas v. νιφετὸς pro βιοτεῦον). ταύτῃ καὶ ἄλλως ὑποτοπήσαντες οἵγε τὴν ἐπιβουλὴν φυγον, οὕτω ξυμβὰν εἰς τὴν πατρῴαν ἐπανελ- ντες τὰ ἅπερ οἱ Πέρσαι καὶ οἱ διεψιθύρισαν ταῦτα. υς ὁ Διζάβουλος, ἀγχίνους γάρ τις καὶ δεινός, ι ἠγνόησε τὸ πραχθέν, ᾠήθη δέ, ὅπερ καὶ ἦν, ὡς ιλοφονήθησαν οἱ πρέσβεις. ἔνθεν τοιγαροῦν ἡ σμένεια ἤρξατο Περσῶν τε καὶ Τούρκων. καὶ ϑόμενος ὁ Μανιάχ, ὃς τῶν Σογδαϊτῶν προειστή- , τοιοῦδε καιροῦ ξυμβουλεύει τῷ Διζαβούλῳ ξινον εἶναι Τούρκοις ἀσπάσασθαι τὰ Ῥωμαίων · παρ' αὐτοὺς ὤνιον ἀποκομίζειν τὴν μέταξαν, γε καὶ κατὰ τὸ πλέον τῶν ἄλλων ἀνθρώπων ɔμένους. ἑτοιμότατα δὲ ἔχειν ἔφη ὁ Μανιὰχ καὶ ·ὸς συναπαίρειν τοῖς πρέσβεσιν τῶν Τούρκων· καὶ ταύτῃ φίλοι ἔσονται Ῥωμαῖοί τε καὶ Τοῦρκοι. ·τοις δήπου κατανεύσας τοῖς ῥήμασιν ὁ Διζάβου- : ἐκπέμπει αὐτόν τε καὶ ἑτέρους τινὰς ὡς βασι- ι Ῥωμαίων πρεσβευσομένους, προσρήσεις τε ἀπο- ιοῦντας καὶ δῶρα μετάξης οὐκ ὀλίγον τι χρῆμα ι συλλαβάς τινας. τοιάσδε τινὰς ἐπιστολὰς ἐπιφε-

ρόμενος ὁ Μανιὰχ ἀπήρξατο τῆς ὁδοιπορίας. καὶ δὴ ἐς τὰ μάλιστα πολλὴν διανύσας ἀτραπόν, χώρους τε διελθὼν ἐσότι πλείστους ὄρη τε μέγιστα καὶ ἀγχινεφῆ καὶ πεδία καὶ νάπας λίμνας τε καὶ ποταμούς, εἶτα τὸν Καύκασον αὐτὸν τὸ ὄρος ὑπερελθών, τὸ τελευταῖον ἀφίκετο ἐς Βυζάντιον. καὶ τοίνυν εἰς τὰ βασίλεια παρελθὼν καὶ παρὰ βασιλέα γενόμενος ἅπαντα ἔπραξε τὰ ὅσα ἕπεται τῷ τῆς φιλίας θεσμῷ, τό τε γράμμα καὶ τὰ δῶρα ἐνεχείρισε τοῖς ἐς τοῦτο ἀνειμένοις, καὶ ἐδεῖτο μὴ ἀνονήτους αὐτῷ γενέσθαι τοὺς τῆς ὁδοιπορίας ἱδρῶτας. ἀτὰρ ὁ βασιλεὺς ἀναλεξάμενος διὰ τῶν ἑρμηνέων τὸ γράμμα τὸ Σκυθικὸν ἀσμενέστατα προσήκατο τὴν πρεσβείαν. τοιγαροῦν ἤρετο τοὺς πρέσβεις περὶ τῆς τῶν Τούρκων ἡγεμονίας τε καὶ χώρας. οἱ δέ γε ἔφασαν τέτταρας μὲν αὐτοῖς εἶναι ἡγεμονίας, τὸ δέ γε κράτος τοῦ ξύμπαντος ἔθνους ἀνεῖσθαι μόνῳ τῷ Διζαβούλῳ. πρός γε ἔλεξαν ὡς παρεστήσαντο καὶ Ἐφθαλίτας μέχρι καὶ ἐς φόρου ἀπαγωγήν. "πᾶσαν οὖν" ἔφη ὁ αὐτοκράτωρ "τὴν τῶν Ἐφθαλιτῶν ἐκποιήσασθαι (ἰδιοποιήσασθε vel ᾠκειώσασθε Bekk.) δύναμιν." "πάνυ μὲν οὖν" ἔλεξαν οἱ πρέσβεις. αὖθις ὁ βασιλεὺς "κατὰ πόλεις ἢ που ἄρα κατὰ κώμας ᾤκουν οἱ Ἐφθαλῖται;" οἱ πρέσβεις "ἀστικοί, ὦ δέσποτα, τὸ φῦλον." "εὔδηλον οὖν" ἦ δὲ ὁ βασιλεύς "ὡς ἐκείνων δήπου τῶν πόλεων κύριοι καθεστήκατε." "καὶ μάλα" ἔφασαν. ὁ βασιλεύς "ἄρα ἡμᾶς ἀναδιδάξατε ὅση τῶν Ἀβάρων πληθὺς τῆς τῶν Τούρκων ἀφηνίασεν ἐπικρατείας, καὶ εἴ τινες ἔτι παρ' ὑμῖν." "εἰσὶ μέν, ὦ βασιλεῦ, οἵ γε τὰ ἡμέτερα στέργουσιν ἔτι, τοὺς δὲ δήπουθεν ἀποδράσαντας οἶμαι ἀμφὶ τὰς εἴκοσιν εἶναι χιλιάδας." εἶτα ἀπαριθμησάμενοι οἱ πρέσβεις

νη κατήκοα Τούρκων, τὸ λοιπὸν ἠντιβόλουν τὸν ἰκοκράτορα εἰρήνην τε ξυνεστάναι καὶ ὁμαιχμίαν ωμαίοις τε καὶ Τούρκοις. προσετίθεσαν δὲ ὡς καὶ ιμότατα ἔχουσι καταπολεμῆσαι τῆς Ῥωμαίων ἐπι- κτείας τὸ δυσμενές, ὁπόσον ἐς τὴν κατ' αὐτοὺς ελάζονται ἤπειρον. ἐπὶ τούτοις ἅμα τῷ λέξαι τὼ ῖρε ὑψοῦ ἀνατείνας ὁ Μανιὰχ οἵ τε ξὺν αὐτῷ κῳ ἐπιστώσαντο μεγίστῳ ἦ μὴν ὀρθογνώμονι δια- ίᾳ ταῦτα εἰρῆσθαι. πρός γε καὶ κατέχεον ἀρὰς ρίσιν αὐτοῖς, ἔτι γε μὴν καὶ τῷ Διζαβούλῳ, ἀλλὰ ρ καὶ παντὶ τῷ ἔθνει, εἴ γε οὐχὶ τὰ ἐπηγγελμένα ηθῆ τε εἴη καὶ πρακτέα. οὕτω μὲν οὖν τὸ φῦλον Τοῦρκοι φίλοι ἐγένοντο Ῥωμαίοις καὶ τῇ καθ' ἃς οὐχὶ ἄλλως ἐφοίτησαν πολιτείᾳ. [Exc. de legat. 106—108 Par., 295—300 Niebuhr.]

Ὅτι τῶν Τούρκων, τῶν Σακῶν καλουμένων τὸ 19
λαι, πρεσβείας ποιησαμένων πρὸς Ἰουστῖνον περὶ ήνης ἐν βουλῇ ἐποιήσατο ὁ βασιλεὺς ἐκπέμψαι εσβείαν ὡς Τούρκους. καὶ δὴ Ζημάρχῳ τῷ Κί- ι ἔλεγε παρασκευάζεσθαι ἐπὶ τούτῳ, ὃς τῶν πρὸς πόλεων τηνικαῦτα ὑπῆρχε στρατηγός. ἐπεὶ οὖν αντα αὐτῷ τὰ ὅσα πρὸς μακρὰν ὁδὸν ἐξηρτυμένα , ἡνίκα πρὸς τὸ πέρας ἠνύετο τῆς Ἰουστίνου βα- είας τὸ τέταρτον ἔτος, τῷ δευτέρῳ ἐνιαυτῷ τῆς ντεκαιδεκαετηρίδος περιφορᾶς, περὶ τὰ προοίμια ἡ παρὰ Λατίνοις Αὐγούστου μηνός, ὁ μὲν Ζή- ρχος ἀπῆρεν ἐκ Βυζαντίου ξὺν αὐτῷ Μανιάχῳ τοῖς ἀμφ' αὐτόν. [Exc. de legat. p. 151—152 ., 380 Niebuhr.]

Ὅτι πολλῶν ἡμερῶν ὁδὸν διανύσαντες οἱ περὶ 20
μαρχον ἐπειδὴ παρῆσαν ἐν τοῖς τῶν Σογδαΐτῶν οις, ὁπηνίκα τῶν ἵππων ἀπέβησαν, τῶν Τούρ-

κων ἔνιοι, ὡς ἔοικεν, ἐς τοῦτο ἀνειμένοι, ὥι σφισι προΐσχοντο σίδηρον, οἶμαι τῷ ποιήσασθαι δειξίν τινα ὡς μέταλλα αὐτοῖς ὑπάρχει σιδήρου. γεται γὰρ ὡς παρ' αὐτοῖς οὐκ εὐπόριστόν τι χρ ὁ σίδηρος· ταύτῃ ἔνεστι τεκμηριῶσαι ὡς ὑπαινιτ μενοι ἔχειν γῆν σιδηροφόρον τῷ τοιῷδε ἐχρήσα κόμπῳ.*) ἕτεροι δέ τινες τοῦ φύλου τὸ κατὰ σ αὐτοὺς ἀναφανέντες, οὓς εἶναι ἔλεγον τῶν ἀπαισ ἐλατῆρας, ἀγχοῦ ἦλθον τῶν περὶ Ζήμαρχον. τοίνυν ἅπαντα ὅσα ἐπεφέροντο**) φορτία ἀράμ ἔθεσαν ἐν μέσῳ. εἶτα τοῖς τοῦ λιβάνου κλάδοις ἀνάψαντες τῇ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ματα ὑπεψιθύριζον, ἐπιπαταγοῦντες δὲ κώδωνί καὶ τυμπάνῳ ὕπερθεν τοῦ φόρτου περιέφερον φυλλῶδες τοῦ λιβάνου τῇ φλογὶ λακιζόμενον, ἅμα γιγνόμενοι μανιώδεις καὶ ἐμβριμούμενοι (ἐμ μώμενοι recte liber unus Suidae v. ἐμβριμᾶται, ut ἐμ μώμενος sine loco Menandri Zonaras p, 705) τὰ νηρὰ ἀπελαύνειν ἐδόκουν· οὕτω γὰρ ἀποτρόπ τινες εἶναι καὶ ἀλεξίκακοι ἐδόκουν. ἀποδιοπομ σάμενοι δὴ οὖν, ὡς ᾤοντο, τὰ δυσχερῆ Ζήμαρ τε αὐτὸν δι' αὐτῆς παρήγαγον τῆς φλογός, ὧδ ἔδοξαν καὶ σφᾶς ἀφαγνίζειν. τούτων δὲ ταύτῃ γενημένων ἔπειτα ἐπορεύοντο ξὺν τοῖς ἐς τὸ όνδε τεταγμένοις, ἵνα ὁ Χαγάνος αὐτὸς ἦν, ἐν τινὶ λεγομένῳ Ἐκτάγ, ὡς ἂν εἴποι χρυσοῦν

---

*) Ita Suidas v. κόμπῳ et ὑπαινιττ. pro κόπῳ, qui e bis ἔστι pro ἔνεστι.

**) ἐπεφ.—βάρβαρα ex Suida v. φορτία supplevit T Emend. vol. 2, p. 356, habetque Suidas etiam v. ὑπεψιθυρί ex hoc loco καὶ Σκυθικῇ φωνῇ βάρβαρα—ὑπεψιθυρίζ Ex eodem Suida v. ἀπαίσιον paullo ante ἀπαισίων restitu pro ἀπονσίαν.

λην ἀνήρ. καὶ τοίνυν αὐτοῦ ἀφικόμενοι, ὅπῃ ἱκαῦτα τῷ Διζαβούλῳ ἦσαν αἱ διατριβαί, κατὰ κοιλάδα τινὰ τοῦ προσαγορευομένου χρυσοῦ ›υς, ἐπεὶ οὖν οἱ περὶ Ζήμαρχον ἐκεῖσε ἐφοίτησαν, :άκλητοι γενόμενοι παραχρῆμα τοῦ Διζαβούλου ϑον ἐς ὄψιν. ἦν δὲ ἄρα ἔνδον σκηνῆς, καϑῆστο ἐπὶ διτρόχου καϑέδρας χρυσῆς, ἑλκομένης, ὁπη- :α ἔδει, ὑφ' ἵππου ἑνός. προσειπόντες δὲ τὸν ρβαρον, ὡς ἔϑος αὐτοῖς, τὰ δῶρα προΐσχοντο. ἱ τοίνυν οἷς γε τοῦτο ἐν φροντίσιν ἦν ὑπεδέξαντο. ὰρ ὁ Ζήμαρχος "σοὶ δῆτα, ἔφη, ὦ τοσούτων ἐϑνῶν εμόν, ὁ καϑ' ἡμᾶς βασιλεὺς ὁ μέγας, ἀγγελιαφόρῳ ησάμενος ἐμοί, ἐσήμηνεν εἶναι ἐς ἀεὶ τὴν τύχην ίαν τε καὶ ἀγαϑήν, ἐν ἡδονῇ ποιουμένῳ σοι τὰ μαίων, καὶ πρός γε φιλοφρονουμένῳ ἡμᾶς. ἔστω σοι κρατεῖν ἀεὶ τῶν δυσμενῶν καὶ λαφυραγωγεῖν πολέμιον. ἀπέστω δὲ βασκανία τις ὡς πορρω- ω ἡμῶν οἵα τε οὖσα διαρρηγνύναι τοὺς τῆς φι- ς ϑεσμούς. ἐπιτήδεια ἔμοιγε τῶν Τούρκων τὰ λα καὶ ὅσα κατήκοα Τούρκων· ἕξετε δὲ τὴν [τὰ b.] καϑ' ἡμᾶς καὶ ὑμεῖς οὐκ ἄλλως." τοιαῦτα α ἔλεξεν ὁ Ζήμαρχος· ὁ δὲ δὴ Διζάβουλος καὶ :ὸς προσρήσεσιν ἐχρήσατο ὁμοίαις. εἶτα τὸ λοι- ι ἐτράπησαν ἐς ϑοίνην, καὶ πανημέριοι εὐω- μενοι διετέλουν ἐν αὐτῇ δήπου τῇ σκηνῇ. κα- κεύαστο δὲ αὐτῷ ἐξ ὑφασμάτων σηρικῶν τε διαπεποικιλμένων τοῖς χρώμασιν εὐτέχνως. ῳ μὲν οὖν ἐχρήσαντο, οὐχ ὁμοίῳ δὲ τῷ παρ' ν ἐκϑλιβομένῳ ἐκ τῆς ἀμπέλου· οὐ γὰρ δὴ ἀμ- οφόρος αὐτοῖς ἡ γῆ οὐδὲ μὴν ἐγχωριάζει παρ' οῖς τὸ τοιόνδε γένος· ἑτέρου δέ τινος βαρβαρι- ι ἐνεφορήϑησαν γλεύκους. καὶ ἀνεχώρησαν ὅποι

ὁ Διζάβουλος διαφῆκε τοὺς περὶ Ζήμαρχον, ἐπικαταλαμβάνουσι τοὺς πρότερον ἀφεθέντας Ῥωμαίων, οὗ ἦν ξυντεθειμένον αὐτοῖς. καὶ τοίνυν ἐν τῷ αὐτῷ γενόμενοι τῆς ἐς τὰ οἰκεῖα ὁδοιπορίας ἀπήρξαντο. καὶ δὴ καταλελοιπότες τὴν πρωτεύουσαν πόλιν τῶν Χολιατῶν διὰ φρουρίων ἐπορεύοντο. [Exc. de legat. p. 152—154 Par., 380—385 Niebuhr.]

21 Ὅτι διαθρυληθὲν κατὰ τὴν Τουρκίαν, ὅσοι ἀγ-
568 χίθυροι ἦσαν, ὡς Ῥωμαίων ἐνδημοῦσι πρέσβεις καὶ ὡς πορεύονται τὴν ἐπὶ τὸ Βυζάντιον ἅμα πρεσβείᾳ Τούρκων, ὁ τῶν ἐκείνῃ ἐθνῶν ἡγεμὼν ἐδήλωσε τῷ Διζαβούλῳ ξὺν ἱκετείᾳ ὡς ἂν καὶ αὐτὸς ἐκ τοῦ σφετέρου τινὰς ἀποστεῖλαι ἔθνους ἐπὶ θέαν τῆς Ῥωμαϊκῆς πολιτείας. καὶ τοίνυν ὁ Διζάβουλος ἐφίετο· καὶ ἕτεροι δὲ προεστῶτες ἐθνῶν ταὐτὰ ἐζήτουν· ὁ δὲ οὐδενὶ ξυνεχώρησε τῶν πάντων ἢ μόνον τῷ τῶν Χολιατῶν ἡγεμόνι. καὶ οὖν καὶ τοῦτον παρειληφότες οἱ Ῥωμαῖοι διὰ τοῦ λεγομένου ποταμοῦ Ὠήχ, καὶ ἀτραπὸν διανύσαντες οὐδαμῶς ὀλίγην, ἐγένοντο κατὰ δὴ τὴν λίμνην τὴν ἄπλετον ἐκείνην καὶ εὐρεῖαν. ἐνταῦθα ὁ Ζήμαρχος ἐνδιατρίψας ἡμέρας τρεῖς στέλλει Γεώργιον, ὃς ἀνεῖτο ἐς τὴν τῶν ἐπιτομωτέρων συλλαβῶν ἀπαγγελίαν, προδηλώσοντα τῷ βασιλεῖ τὴν σφῶν αὐτῶν ἐκ Τούρκων ἐπάνοδον. καὶ οὖν ὁ Γεώργιος ἅμα Τούρκοις δέκα πρὸς τοῖς δύο ἀπήρξατο τῆς ἐπὶ τὸ Βυζάντιον ὁδοῦ, ἀνύδρου τε μάλα οὔσης καὶ πάντῃ ἐρήμου, ὅμως δ' οὖν ἐπιτομωτέρας. ὁ δὲ Ζήμαρχος κατὰ δὴ τὸ ψαμμαθῶδες τῆς λίμνης παροδεύων ἐπὶ ἡμέρας δέκα καὶ δύο, δυσβάτους τέ τινας χώρους παραμειψάμενος, ἐγένετο κατὰ τὰ ῥεῖθρα τοῦ Ἴχ, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν Δαΐχ, καὶ διὰ λιμνῶν ἑτέρων αὖθις ἐς τὸν Ἀττίλαν· πάλιν ὡς

σάντων αὐτῶν ἐπικαλουμένῳ Τάλας ὑπαντιάζει τῷ Διζαβούλῳ Περσῶν πρεσβευτής. καὶ τοίνυν ξυνεκάλεσε παρ' αὐτῷ ἑστιασομένους τούς τε Ῥωμαίων καὶ Περσῶν πρέσβεις. καὶ δὴ παραγενομένων αὐτῶν, τοὺς Ῥωμαίους ὁ Διζάβουλος ἐν τιμῇ πλείονι ἐποιήσατο, ὡς καὶ κατὰ τὴν ἐπικυδεστέραν ἀνακλῖναι στιβάδα. πρός γε καὶ πλεῖστα ἐπιμεμφόμενος ἦν τοὺς Πέρσας, ἅτε δὴ πρὸς αὐτῶν ἄδικα πεπονθώς, καὶ ὡς τούτου ἕνεκα ἔρχεται πολεμήσων. ὁ δὲ Περσῶν πρεσβευτής, τοῦ Διζαβούλου συντονώτερον ἐπεγκαλοῦντος, περιφρονήσας τὸν νόμον τῆς σιωπῆς τὸν ἰσχύοντα παρ' αὐτοῖς ἐν ταῖς ἑστιάσεσιν, ἐπιτροχάδην ἤρξατο διαλέγεσθαι, τοῦ Διζαβούλου γενναίως τὰ ἐπικλήματα ἀπωθουμένος, ὡς καὶ θαυμάσαι τοὺς παρόντας τὸ ὑπερβάλλον τῆς αὐτοῦ ὀργῆς, ὡς παρ' οὐδὲν θέμενος τὸν νόμον πολλοῖς τε καὶ ἀκολάστοις ἐχρήσατο. ἐν τούτοις ἀπαλλαγέντων, ὁ μὲν Διζάβουλος παρεσκευάζετο τὴν ἐπὶ Πέρσας. τῷ τοι ἄρα τοὺς ἀμφὶ Ζήμαρχον μετακαλεσάμενος, καὶ ὡς ἐνῆν, πρὸς τοὺς Ῥωμαίους φιλίαν ἐμπεδώσας, ἀφῆκεν αὖθις ἀπονοστήσοντας, ἕτερον πρεσβευτὴν αὐτοῖς συναποστείλας τῷ τὸν πρότερον λεγόμενον Μανιὰχ τεθνάναι. ἦν δὲ ἐπίκλησις τῷ μετ' ἐκεῖνον πρεσβευτῇ Ταγμὰ αὐτῷ, ἀξίωμα δὲ Ταρχάν. οὗτος δὴ οὖν ἐστάλη ὑπὸ Διζαβούλου ὡς Ῥωμαίους πρεσβευσόμενος. καὶ μὲν οὖν σὺν αὐτῷ ὁ τοῦ ἤδη ἀποιχομένου παῖς, φημὶ δὴ τοῦ Μανιάχ, κομιδῇ μειράκιον, ὅμως δὲ τὸ πατρῷον διαδεξάμενος γέρας, ἔτι μὴν καὶ τὴν μετὰ τὸν Ταγμὰ Ταρχὰν κληρωσάμενος ἀξίαν· οἶμαι δὲ τῷ ἐπιτηδειότατόν τε καὶ εὐνούστατον γενέσθαι τῷ Διζαβούλῳ τὸν Μανιὰχ τοῦ πατρῴου τὸν παῖδα τυχεῖν ἀξιώματος. ἐπεὶ οὖν

ὁ Διζάβουλος διαφῆκε τοὺς περὶ Ζήμαρχον, ἐπικαταλαμβάνουσι τοὺς πρότερον ἀφεθέντας Ῥωμαίων, οὗ ἦν ξυντεθειμένον αὐτοῖς. καὶ τοίνυν ἐν τῷ αὐτῷ γενόμενοι τῆς ἐς τὰ οἰκεῖα ὁδοιπορίας ἀπήρξαντο. καὶ δὴ καταλελοιπότες τὴν πρωτεύουσαν πόλιν τῶν Χολιατῶν διὰ φρουρίων ἐπορεύοντο. [Exc. de legat. p. 152—154 Par., 380—385 Niebuhr.]

21 Ὅτι διαθρυληθὲν κατὰ τὴν Τουρκίαν, ὅσοι ἀγ-
568 χίθυροι ἦσαν, ὡς Ῥωμαίων ἐνδημοῦσι πρέσβεις καὶ ὡς πορεύονται τὴν ἐπὶ τὸ Βυζάντιον ἅμα πρεσβείᾳ Τούρκων, ὁ τῶν ἐκείνῃ ἐθνῶν ἡγεμὼν ἐδήλωσε τῷ Διζαβούλῳ ξὺν ἱκετείᾳ ὡς ἂν καὶ αὐτὸς ἐκ τοῦ σφετέρου τινὰς ἀποστεῖλαι ἔθνους ἐπὶ θέαν τῆς Ῥωμαϊκῆς πολιτείας. καὶ τοίνυν ὁ Διζάβουλος ἐφίετο· καὶ ἕτεροι δὲ προεστῶτες ἐθνῶν ταὐτὰ ἐξήτουν· ὁ δὲ οὐδενὶ ξυνεχώρησε τῶν πάντων ἢ μόνον τῷ τῶν Χολιατῶν ἡγεμόνι. καὶ οὖν καὶ τοῦτον παρειληφότες οἱ Ῥωμαῖοι διὰ τοῦ λεγομένου ποταμοῦ Ὠήχ, καὶ ἀτραπὸν διανύσαντες οὐδαμῶς ὀλίγην, ἐγένοντο κατὰ δὴ τὴν λίμνην τὴν ἄπλετον ἐκείνην καὶ εὐρεῖαν· ἐνταῦθα ὁ Ζήμαρχος ἐνδιατρίψας ἡμέρας τρεῖς στέλλει Γεώργιον, ὃς ἀνεῖτο ἐς τὴν τῶν ἐπιτομωτέρων συλλαβῶν ἀπαγγελίαν, προδηλώσοντα τῷ βασιλεῖ τὴν σφῶν αὐτῶν ἐκ Τούρκων ἐπάνοδον. καὶ οὖν ὁ Γεώργιος ἅμα Τούρκοις δέκα πρὸς τοῖς δύο ἀπήρξατο τῆς ἐπὶ τὸ Βυζάντιον ὁδοῦ, ἀνύδρου τε μάλα οὔσης καὶ πάντῃ ἐρήμου, ὅμως δ' οὖν ἐπιτομωτέρας· ὁ δὲ Ζήμαρχος κατὰ δὴ τὸ ψαμαθῶδες τῆς λίμνης παροδεύων ἐπὶ ἡμέρας δέκα καὶ δύο, δυσβάτους τέ τινας χώρους παραμειψάμενος, ἐγένετο κατὰ τὰ ῥεῖθρα τοῦ Ἴχ, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν Δαΐχ, καὶ διὰ λιμνῶν ἑτέρων αὖθις ἐς τὸν Ἀττίλαν· πάλιν ὡς

ἐξέπεμψεν ὡς τὸν Βαϊανόν, ἐς ὁμαιχμίαν παρακαλῶν. παραγενομένων δὲ τῶν πρέσβεων, ἠντιβόλουν μὴ περιιδεῖν σφᾶς ὑπὸ Γηπαίδων τὰ ἀνήκεστα πεπονθότας, μάλιστα καὶ Ῥωμαίων τῶν ἄγαν ἐχθίστων Ἀβάροις συμμαχούντων τοῖς Γήπαισιν. ἐδίδασκον δὲ ὡς οὐ κατὰ τοσοῦτον πρὸς Γήπαιδας τὸν πόλεμον ἀναρρίψουσι καθ' ὅσον Ἰουστίνῳ μαχήσονται, βασιλεῖ τῷ τῶν Ἀβάρων ἔθνει ἐς τὰ μάλιστα δυσμενεστάτῳ γε ὄντι, ὃς παρωσάμενος τὰς Ἰουστινιανοῦ τοῦ μητραδέλφου σπονδὰς πρὸς Ἀβάρους ἐκ πολλοῦ γεγενημένας τῶν εἰωθότων ἐστέρησε. προσετίθεσαν δὲ ὡς εἴ γε ἔσοιντο ἅμα Λογγιβάρδοις, ἀκαταμάχητοι γενήσονταί πως, καὶ ὡς καταστρεφόμενοι Γήπαιδας τοῦ τε πλούτου σφῶν, ἔτι γε μὴν καὶ τῆς ἐκείνων κοινῇ κρατήσουσι χώρας, καὶ ὡς ἡ Σκυθία τὸ λοιπὸν αὐτοῖς εὐημεροῦσί γε ἐς ἀεί, καὶ μὲν οὖν ἡ Θρᾴκη αὐτὴ ἔσται εὐεπίβατος, καὶ ἁπλῶς ξὺν οὐδενὶ πόνῳ ἐκ γειτόνων ὁρμώμενοι τὴν Ῥωμαίων καταδραμοῦνται, καὶ ὡς ἄχρι αὐτοῦ γε δήπου τοῦ Βυζαντίου ἐλάσουσιν. ἔφασκον δὲ οἱ τῶν Λογγιβάρδων πρέσβεις ὡς καὶ συνοίσει τοῖς Ἀβάροις τὴν πρὸς Ῥωμαίους ἀσπάσασθαι μάχην· ἢ γὰρ ἂν ἐκεῖνοι προτερήσουσι καὶ ἐκ παντὸς τρόπου καθελοῦσι τὴν Ἀβάρων δύναμιν, ὅπου καὶ γῆς τυγχάνουσιν ὄντες. [Exc. de legat. p. 110—111 Par., 303—304 Nieb.]

Ὅτι ὁ Βαϊανὸς τοὺς τῶν Λογγιβάρδων πρέσβεις 25
δεξάμενος ἐδόκει τούτους περιφρονεῖν, τῷ βούλεσθαί γε αὐτὸς κερδαλεώτερον θέσθαι ὡς αὐτοὺς τὴν συμμαχίαν, καὶ πῇ μὲν τὸ μὴ δύνασθαι, πῇ δὲ τὸ δύνασθαι μὲν προΐσχετο, μὴ βούλεσθαι δέ. ξυνελόντα δὲ εἰπεῖν ἅπαντα τρόπον ἀπάτης τοῖς δεομένοις ἐπισείσας ἔδοξε μὲν πείθεσθαι μόλις, οὐκ ἄλλως δὲ

ἢ τὸ δεκατημόριον τῶν τετραπόδων ἁπάντων, ὅσα παρὰ Λογγιβάρδοις ὑπῆρχεν, αὐτίκα κομίσαιντο, καὶ ὡς εἰ γένοιντο καθυπέρτεροι, ἥμισυ μὲν τῆς λείας ἕξουσιν αὐτοί, τὴν δὲ τῶν Γηπαίδων χώραν εἰς τέλεον. ἃ δὴ καὶ ἐγένετο. καὶ ἐχώρουν Γήπαισι πολεμήσοντες. ἐπειδὴ δὲ ἐπύθετο Κονιμοῦνδος, λέγεται δείσας ὡς καὶ αὖθις παρὰ βασιλέα Ἰουστῖνον ἔπεμψε πρέσβεις, καὶ ὡς οὐδὲν ἧττον ἢ πρότερον ξυνεπιλαβέσθαι οἱ τοῦ κινδύνου ἱκέτευε, καὶ πάλιν τὸ Σίρμιον καὶ τὴν εἴσω Δράου ποταμοῦ χώραν ἐπηγγέλλετο δώσειν, αἰδώς τε αὐτὸν οὐκ εἶχεν ἤδη περὶ τῶν αὐτῶν ὀμωμοκότα ἅπαξ καὶ τοῖς ὅρκοις οὐχὶ ἐγκαρτερήσαντα. διὸ δὴ καὶ βασιλεὺς Ἰουστῖνος εὖ εἰδώς τε καὶ τεκμαιρόμενος τοῖς φθάσασιν ὡς Κονιμούνδῳ ἔνεστι πίστεως οὐδὲν ὁτιοῦν, ἀνήνασθαι μὲν οὔτι ᾤετο χρῆναι τὴν ξυμμαχίαν, ἀναβολῇ δὲ ὅμως παρεκρούσατο τοῦ βαρβάρου τὴν αἴτησιν· ἔφη γὰρ ὡς διεσκεδασμένα τὰ Ῥωμαϊκὰ ὑπάρχει στρατεύματα, ξὺν σπουδῇ δὲ ὡς οἷόν τέ ἐστιν ἀθροίσας αὐτίκα ἐκπέμψοι. ἀκήκοα δὲ περὶ Κονιμούνδου καὶ τοιάδε, ἐμοὶ δὲ οὐ πιστά· λίαν γὰρ ἀναιδὲς ὑπῆρχε τὸν παρασπονδήσαντα περὶ τῶν αὐτῶν δεῖσθαι καὶ πάλιν· λέγεται δὲ ὡς καὶ Λογγίβαρδοι τηνικαῦτα ἐπρεσβεύσαντο παρὰ Ἰουστῖνον, καὶ ὅτι Γήπαιδας τῆς ὡς Ῥωμαίους ἀγνωμοσύνης πλεῖστα ὅσα κακηγορήσαντες τὴν ἐκ Ῥωμαίων μὲν θηρώμενοι συμμαχίαν ἤνυσαν. οὐδέν, κατεπράξαντο δὲ ὅμως πρὸς τοῦ βασιλέως μηδετέρους τῆς Ῥωμαίων ἀπολαῦσαι ἐπικουρίας. [Exc. de legat. p. 111 Par., 304—305 Niebuhr.]

26 Ὅτι Βαϊανὸς ὁ τῶν Ἀβάρων ἡγούμενος, ἐν ᾧ
a. 568. χρόνῳ τὸ Σίρμιον ἠβούλετο πολιορκήσειν, Βιταλια-

ὸν τε τὸν ἑρμηνέα καὶ Κομιτᾶν εἶχεν ἐν δεσμοῖς. μφω γὰρ τὼ ἄνδρε τούτω Ἰουστῖνος ὁ βασιλεὺς δη στείλας ὑπῆρχεν ὡς αὐτόν, αἰτήσοντας αὐτοῦ ἰς ἂν ἅττα διαλεχθείη γε αὐτοῖς. ὁ δὲ παρὰ τὸν οινὸν τῶν πρέσβεων θεσμὸν εἶχεν ἐν δεσμοῖς. Ib. p. 111 Par., 305 Niebuhr.]

Ὅτι ὁ Βαϊανὸς μετὰ τὴν τειχομαχίαν στέλλει 27
τινὰς ἀμφὶ τῆς εἰρήνης διαλεχθησομένους. ἔνιοι δὲ a. 568.
τῶν ἐν Σιρμίῳ ἀνὰ τὸ ἠλίβατον τοῦ βαλανείου, ὃ δῆτα τῷ δήμῳ ἐτύγχανεν ἀνειμένον, ἐπὶ κατασκοπῇ τῶν πολεμίων κατὰ τὸ σύνηθες ἐνιζάνοντες, καὶ ἐν ἀπόπτῳ καραδοκοῦντές τε καὶ θεώμενοι εἴ που ἐπήλυσις ἔσται βαρβαρική, ὡς κατενόησαν τοὺς τῶν Ἀβάρων ἀγγελιαφόρους· ἤδη προσιόντας, τῷ μήκει τῆς ἀτραποῦ ἀποπλανηθέντες καὶ οὔπω κατεγνωκότες τὸ ἀκριβὲς ὑπετόπησαν εἶναι πληθὺν Ἀβαρικήν, ἐδήλωσάν τε αὐτίκα καὶ τὸ σημεῖον καθεῖλον. ὁ δὲ Βῶνος πρὸς τοῦτο δυσχεράνας σαφέστερον ἔσπευσε καταμαθεῖν τἀληθές. γνοὺς δὲ ὀλίγους εἶναι τοὺς Ἀβάρους καὶ βούλεσθαί οἱ ἐπικηρυκεύσασθαι, ἐξέπεμψε καὶ αὐτὸς τοὺς ποιησομένους τὰς καταλλαγὰς ἐς τὰ ἔξω τοῦ τείχους. ἔτι γὰρ ἐκ τοῦ ἕλκους περιώδυνος ἦν, καὶ ὁ Θεόδωρος ὁ ἰατρὸς οὐκ εἴα τὸν στρατίαρχον ἐν φανερῷ γίγνεσθαι τοῖς ἐναντίοις. εἰκὸς γὰρ μηδὲ εἰδέναι ἔφασκε τοὺς πολεμίους ὡς ἐβλήθη. εἰ δὲ τοῦτο κατάδηλον ἔσται αὐτοῖς, τότε ἀνάγκη μὴ ὑποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηταί σφισι τοῦ ἀποβεβιωκέναι αὐτόν. οἱ δέ, ἐπεὶ ἕτεροι περὶ τῆς εἰρήνης ἦλθον διαλεχθησόμενοι καὶ οὐχὶ αὐτός, ὑπενόησαν ὡς διώλετο ὁ στρατηγός, καὶ αὐτῷ θέλειν ἔφασκον ἐν συνουσίᾳ γενέσθαι. τότε ὁ Θεόδωρος, τοῦ συνοίσοντος εὖ μάλα στοχασάμενος,

ἔλεξεν ὡς τὸ λοιπὸν οὐ χρεὼν ἀποκρύπτει
στρατηγόν, μᾶλλον μὲν οὖν ἐς τὰ ἔξω ἰέναι
λεως καὶ ἐς ὄψιν γίγνεσθαι τῶν βαρβάρων.
μάκρῳ τινὶ τὸ ἕλκος περιστείλας ἀφίησιν αὐ
δὴ προελθὼν ὁ Βῶνος, ἀγχοῦ τε τῶν βαρβα
νόμενος, ἐφάνη σφίσι. τότε οἱ πρέσβεις τοιά
βαίῳ τῷ λόγῳ ἔφασαν· "ταῦτα ἡμῖν, ὦ
διαλεχθῆναι πρὸς ὑμᾶς ὁ τῶν Ἀβάρων ἐκέλ
σπότης· μή μοι μέμψιν τινὰ ποιήσασθαι
ἀραμένῳ· ὑμεῖς γὰρ πρῶτοι τὴν αἰτίαν τ
μου δεδώκατε. πολλοῖς γὰρ πόνοις ὁμιλ
ἀποδημίας οὐχ ἥκιστα ποιησάμενος μόλις ἐ
μην ταύτην τὴν χώραν, καὶ ὑμεῖς ἀφείλ
βιαίως αὐτήν. πρὸς τοῖς καὶ τὸν Οὐσδίβ
τῶν δοριαλώτων ἀνήκοντά μοι νόμῳ ἔχετε λ
ἀλλὰ γὰρ καὶ ὕβρεις ἐς τὰ μάλιστα πικρὰς ὁ κ
κατέχεέ μοι βασιλεύς, οὐ μόνον ἅπαξ ἢ δι
καὶ πολλάκις· τῶν δεόντων τε οὐδὲν ἠβουλ
πράξασθαι. εἰ τοίνυν τοιαῦτα πρὸς ὑμῶν
νος τοῖς ὅπλοις ἐχρησάμην, οὐδαμῶς ὑπάρ
πτέος. καὶ νῦν οὖν εἴ γε βούλεσθε περὶ
τε καὶ εἰρήνης ἡμῖν θέσθαι λόγους, ἑτοιμότ
μεν· ἐν ὑμῖν τε κείσθω προτιμῆσαι τὸ συνο
τὰ εἰρηναῖα πρὸ τοῦ πολέμου ἑλέσθαι." πρ
ἀπεκρίνατο ὁ Βῶνος· "πρότεροι μὲν ἡμεῖς
ξάμεθα πολέμου· οὐδὲ γὰρ καθ' ὑμῶν ἠλάσ
τοὐναντίον μὲν οὖν σὺ κατὰ τῆς Ῥωμαίων
λοιπὸν δέ, ὅτι καὶ ὁ βασιλεὺς ἐν βουλῇ ἐ
χρήματά σοι ἐπιδοῦναι· τοιγαροῦν καὶ παρ
κατὰ σὲ πρέσβεσιν. ἐπεὶ δὲ κατενόησεν αι
μενον καὶ ὑπὲρ αὐτὴν δήπου τὴν βαρβαρικ
ζονείαν ἐξωγκωμένον ῥήματά τε ὑπερήφανι

ʼαντα καὶ τῆς σῆς δυνάμεως καθυπέρτερα, τηνιιαῦτα καὶ αὐτὸς ἅτε ἀγχίνους ἐπετέλεσε τὰ οἰκεῖα. ιαὶ τὸ νῦν δὲ ἔχον ἡμέτερόν ἐστιν ὡς βασιλέα στεῖλαι οὓς ἂν σὺ βουληθείης πρέσβεις τοὺς βεβαιώσονιας τὰ περὶ τῆς εἰρήνης. μηδὲ γὰρ ἐν ἡμῖν εἶναι νόμιζε κἂν γοῦν φθέγξασθαί τι, μήτι γε καὶ ἑτέρως ἢ καθὰ βασιλεῖ τῷ ἡμετέρῳ δοκεῖ διαπράξασθαι.” ταῦτα Βώνου εἰρηκότος, εὖ ἔχειν ἔδοξε τῷ Βαϊανῷ τὰ ῥήματα. ἐσήμηνε δὲ αὖθις· “ἐπειδὴ τὰ ἐς ὁμαιχμίαν ἑπόμενά μοι ἔθνη αἰσχύνομαι, αἰδώς τέ με ἔχει, εἴ γε πάντῃ ἄπρακτος ἐνθένδε ἀναχωρήσω μηδέν τι ὀνήσας ἐμαυτόν, ὡς ἂν μὴ οὖν δόξω μάτην πεποιηκέναι καὶ ἀκερδῆ τὴν ἐπιχείρησιν, βραχέα μοί τινα πέμψατε δῶρα. καὶ γὰρ ἐν τῇ Σκυθίᾳ περαιωθεὶς οὐδὲν ὁτιοῦν ἐκομισάμην, καὶ τῶν ἀδυνάτων ἐστὶ κἀντεῦθεν ἥκιστα ὠφεληθέντα με ἀπελεύσεσθαι.” Βώνῳ δὲ τῷ στρατηγῷ καὶ τοῖς ὅσοι γε ἀμφ᾽ αὐτόν, ἦν δὲ ὁ τῆς πόλεως μέγιστος ἱερεύς, ἔδοξεν εὔλογον μὲν εἶναι τὸ προτεινόμενον· οὐδὲ γὰρ πλεῖστα ἐβούλετο κομίσασθαι, ἀλλ᾽ ἄχρι δίσκου ἑνὸς ἀργυροποιήτου καὶ ὀλίγου χρυσίου, ἔτι γε μὴν καὶ ἀμπεχονίου σηρικοῦ· πλὴν ἐδεδίεσαν οἱ περὶ Βῶνον ἰδιοβουλῆσαι καὶ οὐχὶ γνώμῃ τοῦ αὐτοκράτορος ἅπαντα διαπράξασθαι. ἀντεσήμηναν τοιγαροῦν αὐτῷ ὡς “νῦν ἔχομεν βασιλέα φοβερόν τε καὶ ἐμβριθέστατον, καὶ οὐκ ἀνεξόμεθα οὐδὲ ὅσα οἷόν τέ ἐστι διαλαθεῖν αὐτὸν ἐπιτελέσαι αὐθαιρέτως, ἄλλως τε καὶ ἡμεῖς, ἅτε ἐν στρατεύματι τυγχάνοντες, οὐκ ἐπιφερόμεθα χρημάτων περιουσίαν ἢ μόνον στρατιωτικὴν ἐφεστρίδα, ἥν γε δήπου καὶ περιβεβλήμεθα, ἔτι τε τὰ ὅπλα. δωροφορῆσαι δὴ νῦν τῷ τῶν Ἀβάρων ἡγουμένῳ ἐξ ὧν ἐνταῦθα ἥκο-

μεν ἔχοντες εὐτελῶν, ἄθρει, ὦ Χαγάνε, μὴ καὶ ὕβρις πέφυκέ τις. ἀξιότιμον δέ, καθὰ ἔφην, ὧδί οὐκ ἔχομεν· τὰ γὰρ τιμαλφέστερα τῶν ἐφοδίων ἡμῖν ἐν ἑτέροις ὑπάρχουσι τόποις καὶ ὡς πορρωτάτω ἡμῶν. εἰ οὖν ὁ καθ' ἡμᾶς αὐτοκράτωρ φιλοφρονήσεταί σε δώροις, οὐκ ὀκνήσομεν δήπου καὶ ἡμεῖς γεγηθότες τε καὶ τῷ βασιλεῖ ἑπόμενοι ταῦτα διαπράξασθαι, καθ' ὅσον οἷοί τέ ἐσμεν, ὥσπερ φίλῳ προσφερόμενοι καὶ ὁμοδούλῳ." πρὸς ταῦτα ἀγανακτήσας ὁ Βαϊανὸς σὺν ὅρκῳ ἠπείλησεν ἦ μὴν στράτευμα ἐκπέμψειν τὴν Ῥωμαίων ἐπιδραμούμενον. καὶ δὴ τοῦ στρατηγοῦ κατάδηλον αὐτῷ πεποιηκότος ὡς ἐξέσται μέν οἱ ποιεῖν ὅσα ἂν δυνήσοιτο, εἰδέναι δὲ ὡς οὐ πάντως ἐπ' ἀγαθῷ τῶν στελλομένων ἔσται ἡ ἐπιδρομή, αὐτὸς ἔφη ὅτι "τοιούτους ἐπαφήσω τῇ Ῥωμαϊκῇ ὡς εἰ καὶ συμβαίη γέ σφισι θανάτῳ ἁλῶναι, ἀλλ' ἔμοιγε μὴ γενέσθαι τινὰ συναίσθησιν." καὶ δὴ παρεκελεύσατο δέκα χιλιάδας τῶν Κουτριγούρων λεγομένων Οὔννων διαβῆναι τὸν Σάον ποταμὸν καὶ δῃῶσαι τὰ περὶ Δαλματίαν, αὐτὸς δὲ ξὺν πάσῃ τῇ κατ' αὐτὸν πληθυῖ διελθὼν τὸν Ἴστρον ἐς τὰ τῶν Γηπαίδων διέτριβεν ὅρια. [Exc. de legat. p. 111—114 Par., 306 —310 Niebuhr.]

28 a. 568. Ὅτι ὁ Βαϊανὸς ὁ τῶν Ἀβάρων ἡγεμὼν ἐν βουλῇ ἐποιήσατο πρεσβεύσασθαι καὶ περὶ σπονδῶν λόγους προσαγαγεῖν. τὸν δὲ Βιταλιανὸν ἐξήτει χρυσίον οἱ παρασχεῖν, ὡς ἂν μὴ λεηλασίᾳ χρήσοιτο κατὰ δὴ τὸν τῆς ἐκεχειρίας καιρόν. ὁ δὲ Ἰοβουλήδας, καὶ εἰληφὼς ἐκ τοῦ τῆς Ἰλλυρίδος ὑπάρχου νομίσματα οὐ μεῖον ἢ ὀκτακόσια, παρέσχετο τῷ Βαϊανῷ. ταύτῃ τοι καὶ ἔστειλε τὸν Ταργίτιον ὁ τῶν Ἀβάρων ἡγούμενος, ξὺν τῷ καὶ Βιταλιανὸν τὸν ἑρμηνέα, τῷ βασιλεῖ

ντας ὥστε τὸ Σίρμιόν οἱ ἐνδοθῆναι, καὶ τὰ συν-
χρήματα, ἃ Κουτρίγουροι καὶ Οὐτίγουροι πρὸς
ιτινιανοῦ ἐκομίζοντο βασιλέως, οἷα δὴ αὐτοῦ
ω τῷ φύλῳ τούτῳ καθελόντος· πρὸς τοῖς καὶ
δίβαδον τὸν Γήπαιδα. ἔφασκε γὰρ τοὺς Γήπαι-
ἅπαντας αὐτῷ ἀνήκειν, ἅτε δὴ καὶ αὐτοὺς πρὸς
ῦ καταπολεμηθέντας. ἀφικομένων δὴ οὖν τῶν
βεων κατὰ δὴ τὴν βασιλίδα πόλιν, παρελθόν-
τε ὡς τὸν αὐτοκράτορα, ἔφη ὁ Ταργίτης "ὦ
λεῦ, πάρειμι σταλεὶς ὑπὸ τοῦ σοῦ παιδός· πα-
γὰρ αὐτὸς ἀληθῶς Βαϊανοῦ τοῦ καθ' ἡμᾶς δε-
ου. πέποιθα δὴ οὖν ὡς ἐπιδείξασθαι προθυ-
ίης τὴν περὶ τὸν παῖδα στοργὴν τῷ διδόναι τὰ
παιδός. οὕτω τοίνυν ἐχόντων ἡμῶν, τάχα δὲ
καὶ ἡμῶν, ἆρα οὐχὶ παραχωρήσεις αὐτῷ τῶν
ν; οὐ γὰρ ἐς ἀλλότριον οὔτε μὴν πολέμιόν τινα
ιδόμενα μεταθήσοις σχεδόν, οὐδὲ μεταβήσεται
παρεχομένων ἡ κυριότης, ἢ πάλιν εἰς σὲ ἀνα-
ιεῖται διὰ τοῦ παιδός, εἴ γε παράσχοις αὐτῷ τὰ
οἷς ἥκω, τήν τε πόλιν τὸ Σίρμιον καὶ τὰ χρή-
ι κατ' ἔτος, ὅσα βασιλεὺς Ἰουστινιανὸς τοῖς
τριγούροις καὶ Οὐτιγούροις ἐδίδου, Βαϊανοῦ
ρον δεσπόζοντος τούτων γε δήπου τῶν ἐθνῶν·
αὶ Οὐσδίβαδον τὸν Γήπαιδα καὶ τοὺς περὶ αὐ-
οὐδὲ γὰρ περὶ τούτων ἀντερεῖ τις ὡς οὐχὶ
ήκασιν ἀνδράποδα Βαϊανοῦ." ταῦτα ὁ Ταργί-
ἔλεξεν. ἀτὰρ ὁ βασιλεύς "οὐ πρεσβευσόμενος
, ὡς ἔοικεν, ὦ Ταργῖτα, μᾶλλον μὲν οὖν πρὸς
οῦντας ἡμᾶς τεκμηριώσασθαι βουλόμενος τῶν
ρων τοὺς τρόπους. εἰ γάρ, ὥς φατε, δοίημεν
τὰ ὅσα τοῖς πρῴην Οὔννοις, οἴκτῳ μᾶλλον καὶ
όβῳ, τῷ μὴ ἐθέλειν αἷμα ἐκχεῖν, Ἰουστινιανὸς

ἐδίδου, γελοῖόν γε ἂν εἴη, * καὶ οἷς τὸ φιλάνθρωπον ἀπονέμειν δεῖ καὶ οἷς ἀντιτάττεσθαι, φανῶμεν οἱ αὐτοί, ὁπότε οἱ δείλαιοι Κουτρίγουροί τε καὶ Οὐτίγουροι, οὓς διαβεβαιοῦσθε πρὸς ἡμῶν κομίζεσθαι χρήματα, τοῦτο μὲν φυγόντες ἡμᾶς, τοῦτο δὲ πεπτωκότες ὑφ' ἡμῶν τυγχάνουσιν ἄρδην ἠφανισμένοι. τί οὖν παράσχοιμεν ὑμῖν τὰ τῶν ἡσσωμένων; ἀλλ' οὐ τῇ φύσει ξυνᾴδει τῶν πραγμάτων καὶ κρατεῖν ἅμα καὶ ὑπὲρ τῶν κεκρατημένων ἑτέροις χρήματα καταθεῖναι. οὐ γὰρ ἀποχρῶν, εἰ φανείημεν ἅπαξ τοῦ τὰ δέοντα φρονεῖν ἐστερημένοι, ἀλλὰ γὰρ καὶ εἰς συνήθειαν ἕλκειν τὴν ἀφροσύνην οἴεσθε δεῖν; τί οὖν ποιῶμεν τὸν Οὐσδίβαδον; ὑμῖν ἀποδοίημεν; οὐχ οὕτω πεφύκαμεν ἠλίθιοι ὥστε τὰ ἡμέτερα καταπροέσθαι, καὶ ταῦτα βαρβάροις καὶ λυμαινομένοις τῇ καθ' ἡμᾶς πολιτείᾳ. ὁ γὰρ πρὸ ἡμῶν τὸ βασίλειον ἀναδεδεγμένος κράτος Γήπαιδας ἐπήλυδας ὄντας εἰσεποιήσατο καὶ χώραν αὐτοῖς ἀπένειμε τὴν περὶ τὸ Σίρμιον, εἶτα καὶ πολέμου κινηθέντος αὐτοῖς ὡς Λογγιβάρδους, ὥσπερ εἰκός, ξυνεπελαβόμεθα τοῦ κινδύνου τοῖς οἰκείοις. καὶ ἂν ἐκράτουν οἱ Γήπαιδες τῇ Ῥωμαίων χειρί, εἴ γε μὴ ἀνδραποδώδεις ὤφθησαν καὶ τῷ τῆς γνώμης δολερῷ τοὺς εὐεργέτας ἐλύπησαν. ἀνθ' ὧν ἐπιβουλεύσαντας ἡμῖν ἀσύγγνωστα οὐ Ῥωμαίοις ἔδοξε μετελθεῖν τοὺς ἀγνωμονήσαντας, οἷς ἔνεστι μὴ ἀντιτιθέναι τὰς τιμωρίας ἰσορρόπους τοῖς πλημμελήμασι, μᾶλλον μὲν οὖν περιιδεῖν, ὡς ἂν ὑφ' ἑτέρων ἐς τὸ παντελὲς διαφθαρήσοιντο. εἰ τοίνυν ἄλλως οὐκ ἔχει ταῦτα, ἐπείπερ ἡμεῖς ἐπεγκαλεῖν ἄξιοι καθεστήκαμεν, ὅτι τοὺς ἡμῖν ἀνήκοντας ἔχετε Γήπαιδας, ἀντέστραπται καθ' ἡμῶν τὰ τῶν ἐγκλημάτων. ὑμεῖς μὲν γὰρ τὸν Οὐσδίβα-

ἡμεῖς δὲ καὶ τοὺς Γήπαιδας ὑμᾶς τοὺς λοιποὺς ῥάξοιμεν. Ῥωμαῖοι γὰρ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ρονίζειν ἐτάχθημεν τὸ ἀνόητον, οὐ μὴν ἀνόητοί ; εἶναι νομίζεσθαι. ἀλλὰ τὸ Σίρμιον ἐγχειρίσω- βαρβάροις; οὐκ ἀρκέσει γὰρ ὑμῖν τὸ περιεῖναι ι ὅπλα κινεῖν οὐ βούλοιντο Ῥωμαῖοι. ἀλλ' ἐρεῖς, αργῖτα, ὅτι διαβήσεται Ἴστρον ὁ Χαγάνος, ἔτι ἡν καὶ τὸν Ἕβρον, καὶ ὅτι τὰς ἐπὶ Θράκης αὐ- εὶ παραστήσεται πόλεις. ἀλλὰ προφθάσουσιν αἱ αἱκαὶ δυνάμεις καὶ τῆς ἐλπίδος αὐτὸν ἀφαιρή- αι, καὶ μᾶλλον αὐτοὶ σκευαγωγήσουσι τὰ Ἀβά- καὶ οὐ παυσόμεθα καταβάλλοντές τε καὶ ιύμενοι, ἕως ἂν ἐφυβρίσῃ τὸ βάρβαρον. λυσιτελή- ὲ Ῥωμαίοις ἀντὶ τῆς εἰρήνης ὁ πόλεμος. Ἀβά- γὰρ τῶν νομάδων τε καὶ ἐπηλύδων καθεστάναι υς τῆς ὡς αὐτοὺς δυσμενείας βαρύτερον, ἄλλως αἱ φιλίας ὑπούλου καθεστώσης. κρεῖσσον ἐν σώμασιν καὶ οὐχὶ ταῖς ψυχαῖς φέρειν τὰ τραύ- :. πρὸς ταῦτα, ὦ Ταργῖτα, καὶ τόξα καὶ ἵπποι ιυρίαι δυνάμεις ὁπλιτῶν ἔστωσαν ἐν παρασκευῇ· ἀρ ἡσυχία τοῦ συνοίσοντος αἱρετώτερον." το- :α εἰπὼν ὁ αὐτοκράτωρ, μεγαληγορίᾳ τε χρησά- ς πολλῇ, τῶν Ἀβάρων ἀφῆκε τοὺς πρέσβεις, :ερον Βώνῳ τῷ στρατηγῷ ἐν γράμμασι πλεῖστα εμψάμενος ὅτι γε ὅλως ὡς αὐτὸν τοιάδε προΐσ- νους ἔστειλεν ἐς Βυζάντιον, πρός γε καὶ σημή- ἔργου ἔχεσθαι καὶ πάντα τὰ πολεμιστήρια ὄρ- : ἐπισκευάζειν, σαφῶς ἐπιστάμενον ὡς ξυγκρο- ίσεται ὁ πρὸς Ἀβάρους πόλεμος καὶ μάλα αὐτίκα. ὴ ὁ Βῶνος, ἐπεὶ τὸ βασίλειον ἀνελέξατο γράμμα, ρὸς τὸν πόλεμον ἐξηρτύετο. [Exc. de legat. ›4—156 Par., 385—389 Niebuhr.]

29 *Ὅτι αὖθις ἦλθε Ταργίτιος βουλόμενος πρεσβ*
a. 568 s. 569. *σασθαι ὡς βασιλέα, ἐκεῖνά τε ἔφη τῷ βασιλεῖ : ἤκουσε πρὸς αὐτοῦ ἅπερ καὶ ἄλλοτε. τήν τε γ πόλιν τὸ Σίρμιον ἐβούλετο πρὸς Ῥωμαίων κομίζ σθαι, ἅτε οἰκεῖον ὂν αὐτῷ κτῆμα ἐξότε τὰ τῶν Γ παίδων ὑπ' αὐτοῦ διέφθαρτο πράγματα, ἔτι τε κ χρήματα, ἅπερ Ἰουστῖνος* (l. *Ἰουστινιανὸς*) *τοῖς Οὐ νοις ἐφ' ἑκάστῳ ἐνιαυτῷ ἐδίδου· καί, οἷα μηδὲν ι ληφότων αὐτῶν ἐκ τῶν παροιχομένων ἐτῶν, ἅπαν ὁμοῦ Ταργίτιος εἰσπράττειν ἠξίου, οὕτω τε λοιπ τὰς ἐνιαυσιαίας συντάξεις ἐρρωμένας κατατιθέν Ῥωμαίοις. πρός γε καὶ τὸν Οὐσδίβαδον ἐξήτει ο προσήκοντα τῷ τῶν δοριλήπτων αὐτῷ θεσμῷ. κ ἕτερα δέ τινα προεβάλλετο ὁ Ταργίτιος ὑπερηφανί ἀνάπλεα, ὧν οὐδένα λόγον ἐποιεῖτο ὁ βασιλεύς, ἀλ γὰρ τά τε λεγόμενα πρὸς αὐτοῦ ἀπεφλαύριζε, κ μὲν οὖν βασιλικῶς ἐχρῆτο τοῖς ῥήμασιν. ἐπὶ τούτ οὖν διάφοροι πρεσβεῖαι φοιτήσασαι, ὡς διηνύσ πλέον οὐδέν, διαφῆκε τὸν Ταργίτιον ὁ βασιλεύς, ε ρηκὼς αὐτῷ στέλλειν ἐκεῖσε Τιβέριον αὐτοκράτο στρατηγόν, περὶ τοῦ παντὸς διαλεχθησόμενον κ βεβαιώσοντα τὰ ἕκαστα.* [Exc. de legat. p. 114 Pa 310—311 Niebuhr.]

30 *Ὅτι ἐν ταῖς εὐπραγίαις τῶν δυσμενῶν διπλασι ζεσθαι πέφυκε τὸ ἔχθος.*

Ὅτι τὸ εὐτυχεῖν οὓς οὐκ ἐχρῆν ὑπόθεσις γίγι ται τοῦ μὴ τὰ δέοντα φρονεῖν τοῖς μὴ λογισμῷ β βηκότι χρωμένοις τῇ τύχῃ.

Ὅτι φιλοτάραχον χρῆμα ὁ δῆμος καὶ φύσις αὐ ἡ προπέτεια.

Ὅτι χαλεπὸν ἀμελούμενον τὸ χρῆμα (*ἀμελού*

; παραχρῆμα Bekk.) καὶ δυσκαταγώνιστον ἐμφύ-
ς πόλεμος.

Ὅτι ἀνδρείας ἐπίδειξις προερχομένη κατὰ τῶν
σει δυσμενῶν καὶ οὐ κατὰ τῶν ὁμοδιαίτων ἐνδο-
:ερον τίθησι τὸν ἐπιδεικνύμενον.

Ὅτι οἱ Γότθοι παντελῶς ὑπὸ Ῥωμαίων ἡττήθη-
ν. καὶ ἔγωγε τὰ τοιάδε ἄγαμαι οὐδαμῶς· χρόνῳ
ͻ συμμορφοῦσθαι πέφυκε τὰ ἀνθρώπεια, εὕροις
σχεδὸν ἅπασαν ἱστορίαν τῶν τοιῶνδε χαλεπῶν
ἐπλεων, γένη τε μέγιστα καὶ πόλεις νῦν μὲν ἐς
ιν εὐημερήσαντα, νῦν δὲ ἐς τὸ μὴ εἶναι κατολι-
ήσαντα παντελῶς. ταῦτα μὲν οὖν καὶ τὰ τοιάδε ἡ
ιφορὰ νεοχμοῦσα τοῦ χρόνου καὶ πρὸ τοῦ ἐπεδεί-
ο, καὶ μὲν οὖν ἐπιδείξεται αὖθις, καὶ ἐπιδεικνυ-
η οὐ παύσεται, ἔστ' ἂν ἄνθρωποί τε ὦσι καὶ μάχαι.

Ὅτι μέχρι τοσούτου δέον πονεῖν ἄχρι τῆς ἐκ
ν πόνων ὠφελίας ἐν ἀπολαύσει καθεστάναι δύ-
τό τις· ὁ γὰρ μὴ οὕτω βιοτεύων, εἰ καὶ πλέον
ε τῶν ἄλλων, ἧττον ἔχει τῶν ἀγαθῶν.

Ὅτι ὁ ξὺν τῇ δυνάμει τῶν πέλας νικήσας οὐδὲν
ον ὥσπερ νενικηκόσι τοῖς ἡσσημένοις παραχωρή-
μεγαλαυχεῖν τῷ πρὸς διττὴν αὐτοὺς ἀγωνίζεσθαι
αμιν.

Ὅτι κινδύνων ἐλπὶς ἄνευ κινδύνων τίθησι τὸν
ίζοντα τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δο-
ει τὰ πράγματα. πολλάκις γὰρ καὶ τό γ' ἀληθὲς
ͻπονοίᾳ γενόμενον ἀσφαλές.

Ὅτι καὶ αὖθις ὁ τῶν Ἀβάρων ἡγούμενος ταῖς
ην ἐχρήσατο ἀπειλαῖς. καὶ ἐπειδὴ κομπάζων καὶ
κλορρήμων ἔσθ' ὅτε ὑπάρχων οἷός τε οὐκ ἐγένετο
ιματῶσαι τοὺς Ῥωμαίους· οὗτοι γὰρ δὴ πρὸς
οὐκ ὀρρωδία τις αὐτοῖς ἐνέσκηψε, ἀλλὰ γὰρ καὶ

5*

ἀπεφλαύριζον καὶ περιεφρόνουν τὸν βάρβαρον, οὐ μὴν ἀλλὰ καὶ κομπωδεστέραις ἐχρῶντο ταῖς ἀντιλογίαις.

Ὅτι μεμίσηται τυραννίς, καὶ ἀντίπαλος εἴη (*ἀεὶ* Bekk.) *ὁ τυραννούμενος.* [Exc. de sentent. (cod. p. 342, 351), 357—358 Mai., 430—432 Niebuhr.]

31 Suidas: *Ἐπιδουπῆσαι, ἐπικτυπῆσαι .... Μένανδρος· "Οἱ δὲ Ἄβαροι κατὰ τὴν τοῦ πολέμου κίνησιν ἐβούλοντο ἦχον ἐγεῖραι ξυμμιγῆ τε καὶ ἄγριον, ἔτι τε ξὺν τῷ ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπάνοις, ὅπως ἂν ἐς τοσοῦτον αὐτοῖς ὁ κτύπος ἐξαρθείη ὡς καταπλῆξαί τε καὶ δεδίξασθαι τὸ Ῥωμαϊκόν. ταῦτα ἐπεὶ προέγνω ὁ Βῶνος, προαφηγήσατο τοῖς στρατιώταις ὥστε αὐτοὺς τῷ ἀθρόῳ μὴ καταπλαγῆναι, ἀλλὰ προανατυποῦντας ὅπερ ἔμελλεν ἔσεσθαι ἐθίζεσθαι τῇ δοκήσει καὶ τῷ μήπω παρόντι πρὸς τὸ ἐσόμενον, καὶ ὅταν αἴσθοιντο τὸν πάταγον τῶν τυμπάνων, ἀντιπαταγεῖν καὶ αὐτοὺς ταῖς ἀσπίσι καὶ ἐπαλαλάζειν τὸ ἐνυάλιον καὶ παιωνίζειν καὶ τοῖς ὑδροχόοις ἀγγείοις ξυλίνοις οὖσιν ἐπικτυπεῖν."* Partem horum repetit v. *δεδίξασθαι.*

Suidas: *Ἀνάρροπον. Μένανδρος· "Κατιόντων τῶν Ἀβάρων κατ' ὀλίγους, οἱ στρατηγοὶ γνώμῃ ἐχρῶντο παραχρῆμα ἐπιθέσθαι σφίσι, κἀκ τούτου ἀνάρροπον τιθέναι τὴν τῶν Ἀβάρων κατάβασιν."*

32 *Ὅτι ἄλλα τε πολλὰ αἴτια ἐγένοντο τοῦ πολέμου*
a. 570 Iustini 6. *Ῥωμαίων τε καὶ Περσῶν, τὸ δέ γε μᾶλλον ἀναπτερῶσαν Ἰουστῖνον ὃ κινῆσαι* (*καὶ κινῆσαν* Nieb.) *κατὰ Περσῶν τὸ ἔθνος οἱ Τοῦρκοι ἐγένοντο. οἵδε γὰρ ἐσβάλλοντες ἐς τὴν Μηδικὴν τῆς τε γῆς ἔτεμον, ἔστειλαν δὲ καὶ ὡς Ἰουστῖνον πρεσβείαν ἐφ' ᾧ συνεκπολεμῶσαί γε αὐτὸν Πέρσαις, κοινῇ τε καθελεῖν ἐξαιτοῦντες ἀμφοτέρων τοὺς δυσμενεῖς καὶ τὰ τῶν*

Τούρκων μᾶλλον ἀσπάσασθαι· οὕτω γὰρ ἂν τῇ μὲν Ῥωμαίων, τῇ δὲ Τούρκων ἐπιτιθεμένων ἐν μέσῳ τὰ Περσῶν διαφθαρῆναι. ταύταις ταῖς ἐλπίσιν ἐπηρμένος Ἰουστῖνος ῥᾳδίως ᾤετο τὴν Περσῶν καταστρέψεσθαι δύναμιν καὶ ἐς τὸ μὴ εἶναι ξυνελάσειν. καὶ οὖν, ὡς οἷόν τε ἦν, ἐν βεβαίῳ ἕξειν αὐτοῦ τὴν πρὸς Τούρκους φιλίαν ἅπαντα παρεσκευάζετο. [Exc. de legat. p. 114 Par., 311 Niebuhr. Pro Ἰουστῖνον male Ἰουστινιανὸν Suidas v. συνεκπολεμ.]

Ὅτι αὖθις οἱ Ἄβαροι πρεσβείαν ἔστειλαν ὡς 33
Ῥωμαίους, καὶ περὶ ὧν πολλάκις, περὶ τῶν αὐτῶν a. 750.
ἐπρεσβεύοντο. ὡς δὲ οὐδὲν ὑπήκουον οἱ Ῥωμαῖοι, οὐ γὰρ Ἰουστῖνον τὸν αὐτοκράτορα ἤρεσκε, τὸ τελευταῖον τοῦ Ἀψὶχ ἐς πρεσβείαν ἐληλυθότος ξυνήρεσε Τιβερίῳ καὶ τοῖς περὶ τὸν Ἀψὶχ παρασχεθῆναι γῆν τοὺς Ῥωμαίους, ἵνα κατοικίζεσθαι μέλλοιεν οἱ Ἄβαροι, εἴ γε τῶν παρὰ σφίσιν ἀρχόντων λήψονται τοὺς παῖδας ὁμηρεύσοντας. καὶ οὖν τὰ τοιάδε Τιβέριος ἐσήμηνε βασιλεῖ. ἀλλὰ γὰρ τῷ αὐτοκράτορι οὔτι ἐδόκει τοῖς πράγμασι τῶν Ῥωμαίων εἶναι λυσιτελές· οὐκ ἄλλως δὲ εἰρηνεύσειν ἔφασκεν, εἴ γε μὴ αὐτοῦ δῆτα τοῦ Ἀβάρων ἡγουμένου λάβοι τῶν παίδων τινὰς ἐς ὁμήρους. Τιβερίῳ δὲ οὐ ταὐτὰ ἐδόκει· ἐγνωμάτευε γὰρ ὡς, εἴ γε τῶν παρὰ Σκύθαις ἀρχόντων λήψονται τοὺς παῖδας, οἷα εἰκός, βουλευομένου τοῦ Χαγάνου τὰ ξυντεθειμένα παρώσασθαι, οὐ συγχωρήσειν ποτὲ τῶν ὁμηρευόντων τοὺς πατέρας. Τιβέριος μὲν τοιᾶσδε ὑπῆρχε γνώμης, βασιλεῖ δὲ οὐχ οὕτως ἐδόκει· ἀλλὰ γὰρ δήπου καὶ ἐνεμέσιζε τοῖς Ῥωμαίων στρατιάρχαις τὸν πόλεμον ἀναβαλλομένοις, συλλαβαῖς τε ἐχρῆτο ὡς αὐτοὺς διαγορευούσαις ὡς δέοι τοῖς βαρβάροις ἐνδείκνυσθαι ὅτι γε δή-

που Ῥωμαίοις οὐχὶ ἐς τὸ ἁβροδίαιτον ὁ βίος, λως δὲ ὡς φιλοπόλεμοί τέ εἰσι καὶ φερέπονοι. δὲ τὰ τῆς ἔριδος ἐνίκα καὶ ὁ πόλεμος ἠπειλεῖτο, βέριος ἐσήμηνε Βώνῳ ἐν γράμμασι φυλάξασθαι διαβάσεις τοῦ ποταμοῦ. [Exc. de legat. p. 114— Par., 311—312 Niebuhr.]

34 a. 570. Ὅτι μετὰ τὴν νίκην τῶν Ἀβάρων, ἡττηθέν Τιβερίου τοῦ στρατηγοῦ, μετὰ τὰς ξυνθήκας συ ρεσε πρεσβεύσασθαι ὡς τὸν Ῥωμαίων αὐτοκράτο καὶ δὴ Τιβέριος ξυναπέστειλε τῇ πρεσβείᾳ Δαμια ταξίαρχον, ἐσήμηνέ τε τῷ βασιλεῖ ἅπαντα τὰ ξυ νεχθέντα, καὶ περὶ ὧν βούλεται τὸ Ἀβαρικόν. ἐσπείσαντο τελέως Ῥωμαῖοί τε καὶ Ἄβαροι. [Exc. legat. p. 115 Par., 312—313 Niebuhr.]

35 Ὅτι τῶν Ἀβάρων σπεισαμένων καὶ ἐς τὰ οἰκ ἀπερχομένων, οἱ Σκαμάρεις ἐγχωρίως ὀνομαζόμε ἐνεδρεύσαντες ἀφείλοντο ἵππους τε καὶ ἄργυρον ἑτέραν ἀποσκευήν. τούτων ἕνεκα πρεσβείαν ἔστ λαν αὖθις ὡς Τιβέριον, τῶν κεκλοφότων πέρι ἐ μεμφόμενοι, ἔτι καὶ τὰ ἀφαιρεθέντα ἀνακομίσασ βουλόμενοι. καὶ δὴ ἀνερευνηθέντες οἱ τὴν κλοπ εἰργασμένοι ἐν φανερῷ τε γενόμενοι, μοῖράν τ ἀποκατέστησε τοῖς Ἀβάροις. [Exc. de legat. p. 1 Par., 313 Niebuhr.]

35 a. Ὅτι τῇ κακηγορίᾳ ἔνεστιν ὡς τὰ πολλὰ ἐπιχ ρεκάκῳ οὔσῃ ἀόκνως περινοστεῖν τε καὶ ὑπευρύ σθαι (fortasse ὑπερευφραίνεσθαι (quidni ἐπευφρ.) gendum dicit Herwerden.). τὸ ἑαυτῆς οὖν ἐπιτελοῖ ἐφότου (ἐφοίτα Bekk.) ψιθυρίζουσα κατὰ τούτ ἐπεὶ δὲ ἐνεφώλευε τοῖς ὠσί, τὸ ἀστάθμητόν τε ἀλλόκοτον τούτου ἐκτραγῳδοῦσα, οἱ στρ[ατιῶτ ὑπήκοον (οἱ κατὰ τὴν Περσῶν Ἀρμενίαν καὶ Ἰ[

'αν ὑπήκοοι Nieb.) ἤχθοντο, καὶ περιέφερον ἐν στό-κτι τὸν ἡγεμόνα ἅτε ἀνοσιουργόν.

Ὅτι ὁ ἱστορικός φησι Μένανδρος περὶ Ἰσαοζίτου ·ῦ ἐν Περσίδι σταυρωθέντος, τραγῳδίαν θέμενος ιὶ τὸν ἄνδρα ἔσθ' ὅ,τι ἀγασθείς· "ἐν νῷ ἐβαλόμην ; καὶ ἄξιον τῷ τοῦ θεοῦ θεραπευτῇ τῷ βαρβάρῳ ' ἑξαμέτρῳ ἐπίγραμμα λέξαι. καὶ δὴ λέλεκταί μοι τίγραμμα ὧδε*)·

ἦν πάρος ἐν Πέρσῃσιν ἐγὼ μάγος Ἰσαοζίτης
εἰς ὀλοὴν ἀπάτην ἐλπίδας ἐκκρεμάσας.
εὖτε δὲ πυρσὸς ἔδαπτεν ἐμὴν πόλιν, ἦλθον ἀρῆξαι,
ἦλθε δὲ καὶ Χριστοῦ πανσθενέος θεράπων.
κείνῳ δ' ἐσβέσθη δύναμις φλογός, ἀλλὰ καὶ ἔμπης
νικηθεὶς νίκην ἤνυσα θειοτέρην."

Ὅτι ὁ αὐτὸς Ἰσαοζίτης, παραινούντων αὐτὸν ίταυρωμένον ὄντα ἐς τὰ πάτρια μεταθεῖναι νόμιμα ιὶ σώζεσθαι, ἔφη μεταμέλεσθαι οὐχ ὅτι ἐς τοῦτο ·γω σωτηρίας ἐλθεῖν, ἀλλ' ὅτι ἔγνω ὀψέ. ταῦτα ,εγε γλιχόμενος κατὰ τὸ ἀπαραίτητόν τε καὶ καρτε-ὶν τῶν οὐρανίων· ἑκατὸν δὲ παλαιῶν στεφάνων τὰ ιήρατα ἀνακεῖσθαι νικητήρια, καὶ ἠξίου τὸ βραχὺ ιὶ ἀνόνητον τοῦ βίου δοκεῖν τίθεσθαι ἐπὶ ῥητῷ ,σθῷ τινι τοῦ διαβιῶναι ἐς ἀεί.

Ὅτι ἡ ἐς τὰ μέγιστα τῶν ἐγχειρημάτων ὁρμὴ λέον πέφυκε τὸ ἀναχαιτίζον τοῦ παρορμῶντος ἔχειν, λλως τε καὶ ἢν αὖθις ὦσιν οἱ ἐς προῦπτον κίνδυ-ον ἐθέλοντες ἀφιέναι.

Ὅτι περὶ Προκοπίου τοῦ ἱστορικοῦ καὶ δικηγό-ου φησὶν ὁ Μένανδρος· "οὐ γάρ ἔμοιγε δυνατὸν

*) "Hoc epigramma editum est in Anthologia Pal. vol. I, 27. 1, 101, ubi hominis nomen scribitur Ἰσβοζήτης." Nie-ıhr.

οὐδέ γε ἄλλως πέφυκε θυμῆρες τοσαύτῃ λ ἀκτῖνι τὴν ἐμαυτοῦ θρυαλλίδα ἀντανασχεῖν. ι σει δέ μοι ἐν μικροῖς πάγκαλον δεῖσθαι τοῖς ι τοῦ καὶ τῷ Ἀσκραίῳ ἕπεσθαι ποιητῇ ἠλίθιόν καὶ παράφρονα εἶναι φάσκοντι τὸν ἐς τοὺς κρε νας ἁμιλλώμενον."

Ὅτι μετὰ τὴν τῶν Ἀβάρων ἧτταν λέγεται ι ἕκαστα ἀγγελί... χρηστα ὁ τῶν Ἀβάρων | στρη δης ὡς Τιβέριον· καὶ Βριάλειος ἀγγελιαφόρος ἐ τί δὴ | ὁ Λιγχερίωνος οὔτε προς .... ἑκάστης θασπικω | μον ἐξενεγκεῖν ἐτόλμησεν, πολλά μοι γράμματά τε καὶ διφθέραι | εἰσίν, ἀναλεγόμενοι γνώσεσθε ὡς δυσκαταγώνιστά ι ἀμαχώτατά ἐστι τὰ φῦλα τὰ Σκυθικά· Τιβέρι φάναι ἀμοιβαίῳ. [Priora ita fere redintegranda μετὰ τὴν τῶν Ἀβάρων ἧτταν λέγεται ὡς καθ' στα ἀγγελίαις ἐχρήσατο ὁ τῶν Ἀβάρων στρα Τιβρίδης πρὸς Τιβέριον· καὶ Βριάλειος ὁ ἀγγ φόρος ἔλεξεν· "τί δή, ὦ Τιβέριε.... οὔτε πρὸ ἐξενεγκεῖν ἐτόλμησας κτέ. HERWERDEN.] ..... ἐπιτήδειον.*) [Exc. de sentent. (cod. p. 351, p. 358—361 Mai., 432—434 Niebuhr.]

36 a. 572 Iustini 7. Ὅτι τοῦ δεκάτου ἔτους ἀνυσθέντος τῶν π κοντουτίδων σπονδῶν, μετὰ τὴν σφαγὴν Σου

---

*) „Primus locus, si recte Niebuhrius coniecit, d sarmeniis est, qui quum a cultu religionis Christiana hiberentur, Surenam praefectum necarunt et a Per Romanos defecere (571 p. C.). V. Euagrius 5, 7; Me fr. 36. Ex eodem loco petita fuerint quae de nece tae. Christiani sequuntur. Reliqua quo pertineant patet. Quae post haec in Exc. de sent. leguntur, habes in Exc. de leg. fragm. 43." Müllerus.

' τούτῳ ὁ Περσῶν βασιλεὺς στέλλει Σεβόχθην, ἄν-
)α Πέρσην, ἐς πρεσβείαν ὡς Ἰουστῖνον τὸν βασι-
ἔα, τῶν ἐν Περσαρμενίᾳ μὲν ξυνενεχθέντων ἄγνοιαν
ῆθεν ὑποκρινόμενος, ἄλλως δὲ τὸ συντεταγμένον
'ωμαίους κατατιθέναι χρυσίον βουλόμενος, οἷα δὴ
ῆς δεκαετίας περαιωθείσης, ἧς τὰ χρήματα ὑφ' ἓν
κομίσατο, εἶτα ἐμπεδώτατα ξυνεστάναι τὴν εἰρήνην,
αθά που ἐνεγέγραπτο ἐν ταῖς ξυνθήκαις. σφόδρα
άρ ἐν ἀρχαῖς ἐτάραξε Χοσρόην αἰσθόμενον ὡς βα-
ιλεὺς Ῥωμαίων πρὸς πόλεμον ὥρμα τὰ εἰρηναῖα
:αρωσάμενος. ἐδεδοίκει τε μή πως ἐκ μεγάλης πα-
ασκευῆς ἐπίθοιτό τε αὐτῷ, καὶ ἄλλως οὐχ ἥκιστα
ροντίδα ἐτίθετο, εἰς ἔσχατον γῆρας ἐληλακὼς καὶ
δη ἐκλελυμένος ταῖς ὁρμαῖς τοῦ πολέμου, ὥστε ἐρ-
ῶσθαι τὰ εἰρηναῖα καὶ ὥσπερ ἀμέλει πατρῷον
:ῆμα τοῖς γε αὐτοῦ παισὶν ἀσάλευτά τε καὶ ἄτρωτα
ιταλιπεῖν. Σεβόχθην μὲν οὖν Ἰουστῖνος φοιτή-
ιντα ἐς τὸν βασιλέα οὔτι μάλα προσίετο, ἐπεὶ καὶ
λλως, ἡνίκα εἰσῆλθε κατὰ δὴ τὸ εἰωθὸς τὸν αὐτο-
ράτορα προσκυνήσων, χαμαὶ ῥίψαντος ἑαυτόν, οὕτω
ομβάν, ὁ πῖλος, ὃς ἐπὶ τῇ κεφαλῇ κατὰ τὸ νενομι-
ιένον Πέρσαις ἐπέκειτο, ἐς τοὔδαφος ἔπεσε. τούτῳ
ἰσίῳ τινὶ συμβόλῳ χρησάμενοι οἵ ἐν τέλει καὶ ὁ
ῆμος ταῖς κολακείαις τὸν βασιλέα ἐπτέρωσαν ὡς
σον οὔπω ὑποπεσεῖταί γε αὐτῷ ἡ Περσίς. τῷ τοι ἄρα
)υστῖνος ἐπηρμένος τε ἦν ταῖς ἐλπίσι καὶ μετεωρίζετο
ῇ διανοίᾳ, τὰ κατὰ νοῦν ῥᾷστα ἐκβήσεσθαι οἰόμε-
)ς. Σεβόχθην δὴ οὖν ἀγγείλαντα ἐφ' οἷς παρεγέ-
ιτο ὁ βασιλεὺς περιεφρόνησέ γε αὐτὸν καὶ ἐν οὐ-
ενὶ λόγῳ ἐποιεῖτο τὸν ἄνδρα. ἔφη τοιγαροῦν ὡς
ιτὸν ὡς ἡ φιλότης χρήμασι βεβαιουμένη οὐκ
'αθή· αἰσχρὰ γὰρ καὶ ἀνδραποδώδης ὠνητή τε ἡ

τοιάδε. φιλίαν δὲ τὴν ἰσόρροπόν τε καὶ οὐχὶ κερδαλέαν ὁρίζεσθαι, ἐν ᾗ καὶ τὸ βέβαιον πέπηγε φύσει τινί. πρὸς τοῖσδε ἀνεπυνθάνετό γε πρὸς αὐτοῦ μήτι καὶ περὶ τῆς κατὰ σφᾶς Ἀρμενίας βούλοιτο διαλέγεσθαι. Σεβόχθης δὴ οὖν ἀπεκρίνατο ἀκηκοέναι μὲν τὸν αὐτοῦ βασιλέα ὡς ἀνὰ τὰ ἐκείνῃ βραχεῖά τις ἐγένετο ταραχή, στεῖλαι δὲ ὅμως τινὰ τὸν δυνάμενον ἐν κόσμῳ θέσθαι τὰ γεγενημένα καὶ τὸν θόρυβον καταπαύσοντα. Ἰουστῖνος δὲ Περσαρμενίους προφανέστατα ἔφη εἰσδέξασθαι Περσῶν ἀποχωρήσαντας, καὶ οὐ περιόψεσθαι σφᾶς ἀδικουμένους, οἷα δὴ ὁμογνώμονας τὰ εἰς θεόν. Σεβόχθης δὴ οὖν ἐν Πέρσαις ἀγχίνους τε ἅμα καὶ νομίζων τὰ περὶ τὸ θεῖον οὐκ ἄλλως ἢ καθὰ νομίζουσι Χριστιανοί, ἐπιμελέστατά πως ἐδεῖτο τοῦ βασιλέως Ἰουστίνου μὴ κινῆσαί τι τῶν ἐν κόσμῳ, ἐν νῷ τε βαλέσθαι τὸν πόλεμον, οὕτως ἄδηλον πρᾶγμα καὶ οὐκ ἐπὶ ῥητοῖς εἰωθότα χωρεῖν, καὶ ὅτι δή, εἴ γε οὕτω τύχοι, καὶ κρατούντων Ῥωμαίων ἐς τοὐναντίον αὐτοῖς περισταίη τὰ τῆς νίκης. ἐσιόντες γὰρ ἐς τὴν Περσῶν καὶ ἐπὶ μακρότατον ὁδοιπορίας ἐλαύνοντες εὑρήσουσιν ἅπαντάς γε δήπου περὶ τὸ θεῖον οὐκ ἄλλως ἤπερ αὐτὸν ἐσπουδακότας· ὡς, εἴγε ἕλοιντο τοὺς τοιούσδε ἀποκτιννύναι, οὐδὲν ἧττον αὐτοὶ πάλιν ἡττηθήσονται. οὐ δῆτα οὖν χρεὼν κατὰ Χριστιανῶν τοὺς ὁμοδόξους θήγειν τὰ ξίφη. ἀλλὰ γὰρ τοῖς οὕτω λίαν ὁμαλοῖς τε καὶ ἐπιεικέσι λόγοις Ἰουστῖνος οὐκ ᾤετο χρῆναι ἔσεσθαι πειθήνιος. ἔφη δὲ ὡς, εἴ γε παραθείη δάκτυλον ἕνα, κινηθήσεται καὶ ὡς ἐς τὴν Περσῶν ἐλάσοι· θαρρεῖν τε ὡς, εἰ πρὸς πόλεμον ὁρμήσοι, καθελεῖ τε Χοσρόην καὶ αὐτὸς βασιλέα χειροτονήσοι Πέρσαις. οὕτω τοί-

περόρια εἰπὼν ἀπέπεμψε Σεβόχθην. [Exc. de
p. 115—117 Par., 313—316 Niebuhr.]*)
idas: Οὐ μέλον αὐτῷ, οὐ φροντιστέον. Μέ- 36 b.
ς· "ταύτῃ τοι καὶ τῆς Νισίβιος πολιορκίας
ον αὐτῷ." **)
ι ἐπεὶ Ἰουστῖνος τὰς φρένας παρεκόπη καὶ 37
ον ἀνεδείξατο διοικεῖν τῆς πολιτείας τὰ πράγ- a. 575 Iustini 11.
ἐν ἀπόρῳ ἦσαν αὐτός τε Τιβέριος καὶ ἡ βασι-
φία ὅπως διάθοιντο τὰ τῶν πολέμων. ἀλλὰ
υσε τὸ ἄπορον σφῶν βασιλεὺς ὁ Περσῶν ὡς
ωμαίων αὐτοκράτορα στείλας Ἰάκωβον, ὃς τὰ
ὰ ῥήματα τῇ Ἑλληνίδι φωνῇ διασαφηνίζειν
το. συννοήσας γὰρ ὡς ἐς ἔσχατον νῦν ἐλ-
οἱ Ῥωμαῖοι κατολισθήσαντες ἥδιστον μὲν ἂν
ἐπὶ ταῖς οἰαισοῦν ξυνθήκαις διαλῦσαι τὸν πό-
οὐ μὴν θαρρήσειαν πρεσβείαν τινὰ στεῖλαι
οὐκ εὐπρόσωπον εἶναι τὸν ἀρξάμενον πολέ-
πάρξασθαι καὶ ἱκετείας· προτερήσας οὖν ὁ
ν βασιλεὺς τὴν αἰσχύνην προανεῖλε, καὶ τῷ
ηχότι τῆς γνώμης αὐτῶν ἐπενόησε πρόφασιν
ἔλθοιεν ἐς λόγους αἰτησόμενοι μεθ' ἱκετηρίας
ν. στέλλει τοίνυν Ἰάκωβον, ἄμεινόν πως βου-
ιενος, ὡς οὐ πώποτε ἂν εὐκλεέστερον Πέρσαι
ρὸς Ῥωμαίους κατάθοιντο πόλεμον· τοσαῦτα
δώσειν Ῥωμαίους, ὅσα ἂν ἐθελήσωσι Πέρσαι
ἡ δὲ σταλεῖσα πρὸς αὐτοῦ ὡς Ἰουστῖνον
λὴ οὔτε τῆς ἡλικίας ἦν τοῦ Περσῶν βασιλέως,

„Post hunc locum sequuntur in vulg. duo ex Simo-
tita, et lemma ἐκ τῆς β' βίβλου, quod ad eundem
." Niebuhr.

„De Nisibi a Marciano, qui a. 572 dux Orientis con-
est, obsessa v. Theophan. Byz. apud Photium (huius
I, p. 448, 28) et Euagr. 5, 8." Müllerus.

40 Ὅτι ἐπειδὴ Τιβερίῳ ἤδη τὰ τῆς πολιτείας περιεκέχυτο πράγματα, Τραιανός τε καὶ Ζαχαρίας τῷ πρέσβει ὡς αὐτὸν ἐγεγράφεσαν μὴ βούλεσθαι Πέρσας ἄχρι τριῶν ἐτῶν ποιήσασθαι τὰς ξυνθήκας, πενταετηρίδας δὲ εἶναι μᾶλλον. καὶ ὃς οὐκ ἐπινεύσας, οὐ γὰρ αὐτὸν ἤρεσκε μακροτέραν ποιεῖσθαι τὴν ἐκεχειρίαν, ἐσήμαινεν ὡς αὐτοὺς μάλιστα μὲν ἄχρι δύο ἐνιαυτῶν τὰς τοιάσδε βεβαιῶσαι σπονδάς· εἰ δέ γε ἀδύνατα ἔχοιεν, περαιτέρω μὴ ἀνέξεσθαι ἢ τριετίας. σταλείσης δὴ οὖν τοῖς πρέσβεσι τῆς τοιᾶσδε ἐπιστολῆς, καὶ δὴ ἀναλεξαμένων ὅ,τι ἐδήλου τὸ γράμμα, Μεβώδου ἐπὶ τούτῳ ἀφικομένου ἐν τοῖς ἀμφὶ τὸ Δάρας ὁρίοις, αἰσθομένου τε ὡς ταῖς ἤδη ὑπὸ Τραιανοῦ καὶ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν Ταγχόσδρω κατὰ τῆς Ῥωμαίων ἐπικρατείας. καὶ ὃς ἀθρόον ἐπιδραμὼν ἐνέπρησε τὰ ὅσα πλησιόχωρα τοῦ Δάρας, ἕως ἐπείσθη Μεβώδης δέξασθαι τὰς τριάκοντα χιλιάδας τῶν χρυσῶν νομισμάτων ἀν' ἔτος τῆς τριετηρίδος ἕνεκα εἰρήνης, ἐφ' ᾧ ἐν τοσούτῳ τοὺς ἄρχοντας ἑκατέρας πολιτείας εἰς ἓν ξυνιόντας βουλεύσασθαι ὅπως δεῖ τὰ ὅπλα καταθέσθαι τελέως. προνοίᾳ δέ τινι στοχαζόμενος τοῦ συνοίσοντος τὰ τοιάδε ἐπετέλει ὁ Καῖσαρ· ἠπίστατο γὰρ ὡς ἄχρι ἐνιαυτῶν τριῶν ἀποχρῶσα αὐτῷ ἔσται ἡ παρασκευὴ Πέρσαις τε ἀξιόμαχος ἀναφανήσεται. ξυνῃσθάνοντο δὲ καὶ Πέρσαι τῆς τοιᾶσδε προμηθείας τοῦ Καίσαρος, ὡς οὐδενὸς ἑτέρου ἕνεκα γίγνεται αὐτῷ ἀναβολὴ ἢ προορωμένῳ τοῦ μέλλοντος, ὅπως ἐς τὸ δέον αὐτῷ προπαρασκευασθήσοιντο αἱ δυνάμεις. κατεφρόνουν δὲ ὅμως τῶν Ῥωμαίων, ἅτε ἀναμαχέσασθαι οὐ δυναμένων, εἰ καὶ πλείων αὐτοῖς ἐνδοθείη χρόνος. ἐπεὶ

ὖν ἀνακωχὴ ἐγεγόνει ἀνὰ τὴν ἕω, μετενήνεκτο δὲ ἅπας ἐπὶ τὴν Ἀρμενίαν ὁ θόρυβος, ἄλλου ἄλλα αὐτῆς διακληρωσαμένων, ἦρος ἀρχομένου συνέστη πόλεμος. [Exc. de legat. p. 157—158 Par., 391—392 Niebuhr.]*)

Ὅτι ὁ Τιβέριος ὁ Καῖσαρ στέλλει Θεόδωρον τὸν 41 Βάκχου πρεσβευσόμενον ὡς βασιλέα Περσῶν, τῷ δοκεῖν μὲν ὁμολογήσοντα χάριτας ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐς τὰ μάλιστα ἐτίμησε Τραιανόν, ἡνίκα ἔναγχός γε δήπου τὴν δι' αὐτοῦ ἐδέξατο πρεσβείαν, ἔκπαλαι τὸ τοιόνδε νομισθὲν ὡς ἀμφοτέρας πολιτείας, ὥστε μετὰ τοὺς μεγάλους πρέσβεις στέλλεσθαι ἑτέρους ἥσσονας τῆς τῶν μεγίστων πρέσβεων ἀποδοχῆς τε ἕκατι καὶ φιλοφροσύνης. ἅμα δὲ ἐνετείλατό οἱ διαλεχθῆναι ὡς ἑτοιμότατα ἔχοι κατὰ τὸ ἤδη ἐμπεδωθὲν ἐν τοῖς ὁρίοις τῆς ἕω στεῖλαι τοὺς Ῥωμαίων ἄρχοντας γνωματεύσοντας ξὺν τοῖς ὑπ' αὐτοῦ ἐκπεμφθησομένοις ἡγεμόσι Περσῶν ἀμφὶ τῆς εἰρήνης καὶ τὰ ἀμφίβολα διευκρινήσοντας. Θεόδωρον μὲν αὐτοῦ ἀφικόμενον βασιλεὺς ὁ Περσῶν καταλέλοιπεν ἐν τῷ Δάρας τῇ πόλει τούς τε τὸν ἄνδρα ἄξοντας, ἐγκελευσάμενος, ἔνθα ἂν μάθοιεν τὸν βασιλέα εἶναι, ἐπικαταλαβεῖν, ὡς ἂν μὴ τὰ ἐλπισμένα ἐπὶ πρεσβευτῇ πράσσων ἀναβολῇ χρήσοιτό τινι. ἅμα γὰρ ἠβούλετο καὶ πολέμοις ὁμιλεῖν καὶ δέχεσθαι τὴν πρεσβείαν· ταύτῃ γὰρ ἐκφοβήσειν ᾤετο ἐς τὰ μάλιστα Ῥωμαίους. τῷ τοι ἄρα τὴν ὁδοιπορίαν διανύσας διὰ τοῦ λεγομένου Ἀρρεστῶν κλί-

*) „Ex hoc loco quaedam excerpsit Suidas, non nominato auctore, v. δοκιμάσας: "Μαθὼν ὡς ταῖς ἤδη ὑπὸ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν Ταγχοσδρὼ κατὰ τῆς Ῥωμαίων ἐπικρατείας." Müllerus.

δήπου τὸ συναθροισθέν, ὡς πρὸς ἄρκτον περὶ τὸ κλίμα τὸ καλούμενον συναγόμενον, ἐς ὑπώρειάν τινα ὄρους. ἀτὰρ ὁ Χοσρόης αὐτοῦ περὶ Θεοδοσιούπολιν ἐπ' ὄψεσι Θεοδώρου ἐξέταττε τὰς ἱππικὰς δυνάμεις, ἐς λόχους τε καὶ φάλαγγας διακρίνων τε καὶ μετακοσμῶν. καὶ αὐτὸς τὸν ἵππον διελαύνων ἐνδεικνύμενος ἦν, οἷα δὴ οὐκ ἐκ προνοίας τινός, ὡς ἔτι ἔρρωται αὐτῷ καὶ σφριγᾷ τὸ σῶμα. διενοεῖτο δέ πως Θεοδοσιωύπολιν ἐκπολιορκῆσαι· ἔννοια γάρ οἱ ἐσεφοίτησε μὴ οἷόν τε ἔσεσθαι ἂν ἄλλως τὴν Περσῶν Ἀρμενίαν ἀνακτήσασθαι καὶ Ἰβηρίαν, εἰ μή πω ὀχυρωτάτην ἐσότι Ῥωμαίων χειρώσοιτο πόλιν, ἐκεῖσέ τε καθεδούμενος ἀνασώσεται τὴν ἐς τοὐπίσω λοιπὸν ἐγκαταλελειμμένην Περσαρμενίαν τε καὶ Ἰβηρίαν. τοιγαροῦν ἀναμφιβόλως εἶχε Θεοδοσιούπολιν αἱρήσειν. ὥστε ὑποφαίνων τε καὶ αἰνιττόμενος ὡς ἁλώσεταί γε αὐτῷ πάντως ἡ πόλις, ἤρετο Θεόδωρον ὁποία δὴ κατὰ τὸ μᾶλλον ἀνάλωτος εἶναι δοκεῖ πόλις, τὸ Δάρας ἢ δῆτα ἡ Θεοδοσιούπολις· ὡς, εἴ γε οὕτως ἀσφαλεστάτην, ἐδήλου δὲ τὸ Δάρας, ἐξεῖλε, πόσῳ μᾶλλον τὴν οὐχ οὕτως ἰσχυρὰν παραστήσοιτο Θεοδοσιούπολιν; Θεόδωρος μὲν οὖν ἀπεκρίνατο ἐμφρονέστατά πως, ἀνάλωτον εἶναι ἐκείνην φήσας τὴν πόλιν τὴν ἐς ἀεὶ φρουρουμένην ὑπὸ θεοῦ. ὁ δὲ βασιλεὺς ὁ Περσῶν, πρὶν ἢ Θεόδωρον πρὸς αὐτοῦ ἀφεθῆναι, ὡς ἐγένετο ἀγχοῦ Θεοδοσιουπόλεως, κατενόησε τὴν πόλιν εὖ μάλα καὶ ὡς ἀληθῶς ἐς τὰ πολέμια παρεσκευασμένην. καί τινων μεταξὺ γενομένων ἀφίησι βασιλεὺς ὁ Περσῶν Θεόδωρον ἐς Βυζάντιον ἐλευσόμενον, ἐν γράμμασι μὲν κατάδηλον ποιήσας τῷ Καίσαρι ὡς ἥδεται καὶ αὐτὸς τῇ εἰρήνῃ, καὶ ὡς, εἰ πρὶν ἐκστρατεύοι ἀφίκετο Θεόδωρος, οὔτε

ξετάξατο ἂν αὐτὸς οὐδέ γε ἐκίνησε τὰς δυνάμεις. ῦν δὲ ἀκλεὲς αὐτῷ εἶναι δοκεῖ ἐκστρατευσαμένῳ δη διαλῦσαι τὸ στράτευμα· τοὺς γὰρ ἀνθρώπους τοῦ κερδαλέου γε ἕκατι ἢ δόξης ὀρεγομένους πάντα πράσσειν. ἐπηγγέλλετο δὲ ὡς ἀπονοστήσας ς τὰ οἰκεῖα ἐκπέμψοι τοὺς ἐπιτηδείους αὐτῷ ἄρχοντας ἐν τοῖς ὁρίοις τῆς ἕω, διαλεχθησομένους τε καὶ μαθήσοντας τὰ περὶ τῆς εἰρήνης ἅμα τοῖς ἐκπεμφθησομένοις Ῥωμαίων ἡγεμόσιν. ταῦτα μὲν οὖν σήμηνε τῷ Καίσαρι. ἐκλιπαροῦντος δὲ αὐτὸν Θεοδώρου ὥστε ἐπισχεῖν τὴν εἰσβολήν, ἔδοξεν ἐπινεύειν, εἴ γε ἄχρι τριάκοντα ἡμερῶν ἀγγελία φοιτήσοι ὡς αὐτὸν καλεῖσα ἐκ τοῦ Καίσαρος τὰ δέοντα βουλευσαμένου. ἐπειδὴ δὲ Θεόδωρον ἀφῆκεν, ὡς ἔγνω μήτε ἐξ φόδου τὴν Θεοδοσιούπολιν οἷόντε ὂν (Nieb. pro ὄντα, mittit Suidas v. ἐξ ἐφόδου) αὐτῷ ἐξελεῖν, μήτε γε μὴν ολιορκίᾳ τε καὶ μηχανήμασιν ἔσεσθαί οἱ ἐς τὸ λυσιτελὲς ἀποπειραθῆναι τοῦ τείχους, ξυνελεύσεσθαι ἄρ ἐν τοσούτῳ τὰς Ῥωμαϊκὰς δυνάμεις, καὶ δὴ φῆκε τὴν Θεοδοσιούπολιν. [Exc. de legat. p. 158 -160 Par., 392—397 Niebuhr.]

Ὅτι ἐπὶ Τιβερίου Καίσαρος οἱ τῶν Ῥωμαίων 42 τρατηγοὶ εἰσβολὴν ἐς Ἀλβανίαν ποιησάμενοι, καὶ a. 576 Iustini 12. μήρους λαβόντες Σαβείρων καὶ ἄλλων ἐθνῶν, ἧκον ἐς Βυζάντιον. ἀφικομένους δὲ ἐν Βυζαντίῳ τοὺς ρέσβεις τῶν ἐνδεδωκότων ἑαυτοὺς Ἀλανῶν τε καὶ Σαβείρων ὁ Καῖσαρ δέχεται ἐπιεικῶς καὶ πάνυ φιλανθρώπως· πυθόμενός τε παρ' αὐτῶν ὁπόσα χρήματα αὐτοῖς ἐδίδου ὁ Περσῶν βασιλεύς, δεδωκώς τε ουσίαν σφίσιν ἐς ὅσον ἠβούλοντο ἐξᾶραι τῇ ψευδολογίᾳ τὸ χρῆμα καὶ τῷ κόμπῳ τἀληθὲς ἐπικαλύψαι, "διπλάσια τούτων ἔγωγε παρέξω" ἔφη "τοῖς τε

Οὐαλεντῖνος παρὰ τὸν Τούρξανθον ἀφικόμενος, ὃς πρὸ τῶν ἄλλων ἡγεμόνων ὑπαντιάζων ἐτύγχανε τοῖς ἐκεῖσε παραγενομένοις, εἶτα συνησθῆναι φράσας τῷ Καίσαρι Ῥωμαίων. ἐς τοῦτο γὰρ ἀφῖκτο ἐκεῖσε, προσφθεγξόμενος τοὺς προεστῶτας τοῦ φύλου τῶν Τούρκων, Τιβερίου ἤδη ἐς τῶν Καισάρων ἀναβεβηκότος κράτος· πρὸς τοῖς καὶ ὡς ἂν ἡ φιλοφροσύνη οὐχ ἧττον ἐν βεβαίῳ ἔσοιτο καὶ αἱ μεταξὺ Ῥωμαίων τε καὶ Τούρκων προελθοῦσαι σπονδαί, ἃς ἔθετο Διλζίβουλός*) τε καὶ Ἰουστῖνος ὁ βασιλεύς, Ζημάρχου πρώτου ἐκεῖσε φοιτήσαντος, ἡνίκα ἐσήμηνεν ὁ Διλζίβουλος ὡς Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος καὶ δυσμενὴς ὁμοίως, καὶ ὅπως τὰ τοιάδε ἄτρωτά τε καὶ ἀπερίσπαστα μένοι. τῷ τοι ἄρα ἐπειδὴ τηνικαῦτα Ῥωμαῖοι Πέρσας ἐπολέμουν, ἐπὶ τῇ προσρήσει ἔφη Οὐαλεντῖνος, δέον εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις. ταῦτα πρεσβεύοντος αὐτίκα ὁ Τούρξανθος "ἆρα οὖν οὐχὶ ὑμεῖς" ἔφη "οὗτοι ἐκεῖνοί ἐστε Ῥωμαῖοι, δέκα μὲν γλώσσαις, μιᾷ δὲ χρώμενοι ἀπάτῃ;" καὶ ἅμα λέγων ἐπέβυσε τοῖς δέκα δακτύλοις τὸ στόμα τὸ ἑαυτοῦ. εἶτα ἔλεξεν αὖθις "ὥσπερ νῦν ἐπὶ τῷ κατ' ἐμὲ στόματι δάκτυλοί εἰσι δέκα, ὡσαύτως δὲ καὶ ὑμεῖς οἱ Ῥωμαῖοι πλείοσι κέχρησθε γλώσσαις· καὶ ταύτῃ μὲν ἐμὲ ἀπατᾶτε, τῇ δὲ ἄλλῃ τὰ κατ' ἐμὲ ἀνδράποδα τοὺς Οὐαρχωνίτας. καὶ ἁπλῶς ἅπαντα τὰ ἔθνη, ῥημάτων τε ποικιλίᾳ καὶ τῷ δολερῷ τῆς διανοίας, εἰρωνευόμενοί τε καὶ ὑποθωπεύοντες αὐτὰ μὲν ὥσπερ ἐπὶ κεφαλὴν ὠσθέντα τῇ βλάβῃ περιφρονεῖτε, ὑμῖν δὲ αὐτοῖς τὸ λυσιτελὲς ἐκπορίζετε. ἀλλὰ γὰρ καὶ ὑμεῖς οἱ πρέσβεις ἠμφιε-

---

*) Suidas v. προσρήσεσι et Σιλξίβουλος (sic), qui ex ho loco nonnulla affert, ita scribit quod supra c. 8 Διζάβουλος

ἠμένοι τὸ ψεῦδος ἥκετε ὡς ἐμέ, καὶ ὁ στείλας ὑμᾶς οὐχ ἥκιστα πέφυκεν ἀπατεών. καὶ ὑμᾶς μὲν διαχειρίσομαι παραχρῆμα καὶ οὐκ ἐς ἀναβολήν· ὀθνεῖον γάρ τι καὶ ἔκφυλον ψεύδεσθαι Τούρκῳ ἀνδρί. ὁ δὲ καθ' ὑμᾶς βασιλεὺς ἐκτίσει μοι δίκας ἐν δέοντι, ἐμοὶ μὲν φιλίας ἐχόμενα διαλεγόμενος, τοῖς δὲ δὴ Οὐαρχωνίταις τοῖς ἡμετέροις δούλοις, ἐδήλου δὲ τοὺς Ἀβάρους, ἀποδράσασι τοὺς δεσπότας γενόμενος ἔνσπονδος. οἱ μὲν Οὐαρχωνῖται, ἅτε κατήκοοι Τούρκων, ἡνίκα βούλομαι, ὡς ἐμὲ ἥξουσι· καὶ εἴ γε τὴν κατ' ἐμὲ ἱππείαν ἐσαθρήσουσι μάστιγα ὡς αὐτοὺς ἐκπεμφθεῖσαν, ἐς τὰ κατώτατα φεύξονται τῆς γῆς· ἀντιβλέποντες δὲ ἡμῖν, ὡς εἰκός, οὐ φονευθήσονται ξίφεσι, μᾶλλον μὲν οὖν ταῖς ὁπλαῖς καταπατηθήσονται τῶν ἡμετέρων ἵππων, καὶ δίκην ἀπολοῦνται μυρμήκων. καὶ περὶ μὲν τῶν Οὐαρχωνιτῶν ταῦτα ὑμῖν ἐν βεβαίῳ. ὑμεῖς δέ, ὦ Ῥωμαῖοι, τί δῆτα ἄρα τοὺς κατ' ἐμὲ πρέσβεις διὰ τοῦ Καυκάσου ὁδοιποροῦντας ἐπὶ τὸ Βυζάντιον ἄγετε, ὡς ἐμὲ φάσκοντες μὴ εἶναι ἑτέραν ἀτραπόν, δι' ἧς αὐτοῖς ἔσται ἡ πορεία; ταῦτα δὲ ἐπιτελεῖτε, ὡς ἀπείποιμι διὰ τὰς δυσχωρίας ἐπιθέσθαι τῇ Ῥωμαίων ἐπικρατείᾳ. πλὴν ἔγωγε ἐξεπίσταμαι μάλα ἀκριβῶς ὅποι τε ὁ Δάναπρις ποταμός, οὐ μὴν ἀλλὰ καὶ ὁ Ἴστρος ἔνθα καταρρεῖ καὶ ἵνα ὁ Ἕβρος, ὁπόθεν τε ἐπεραιώθησαν ἐς τὴν Ῥωμαϊκὴν τὸ ἡμέτερον δουλικὸν οἱ Οὐαρχωνῖται. οὐκ ἀγνοῶ τὴν καθ' ὑμᾶς δύναμιν. ἐμοὶ γὰρ ὑποκέκλιται πᾶσα ἡ γῆ, ἀρχομένη μὲν ἐκ τῶν τοῦ ἡλίου πρώτων ἀκτίνων, καταλήγουσα δὲ ἐς τὰ πέρατα τῆς ἑσπέρας. ἐσαθρήσατε, ὦ δείλαιοι, τὰ Ἀλανικὰ ἔθνη, ἔτι γε μὴν καὶ τὰ φῦλα τῶν Οὐτιγούρων, οἵ γε ἐπὶ πολὺ θαρραλέοι τέ τινες ὄντες καὶ τῇ οἰ-

44 *Ὅτι ὀρθότατα διάνοια προσφερομένη πρὸς πέλας καὶ μὴ ἐκτραπεῖσα τοῦ πρέποντος οὐκ ἀγι μονηθήσεται τῷ ἀδήλῳ τῆς τύχης ἀνταλλάγμ* [v. fr. 43, p. 89, 1.]

Ὅτι ἐλπίδι τοῦ νικᾶν τοῦ πλείονος ὀρεγόμει τῆς ἀδήλου ῥοπῆς ἀναλογισάμενος τὸ σφαλε ἕξει τὴν αὐτοῦ δόκησιν ἀβουλίας ὑπόθεσιν.

Ὅτι οἱ ἄνθρωποι οὐ καθ' αὑτοὺς ἀδικοῦι μόνον, ἀλλὰ συναδικοῦνται καὶ φίλων, ὡς εἰ ὑφ' ἑτέρων πασχόντων κακῶς.

Ὅτι οὐχ ὅστις ἀντεπιβουλεύει τοῦ δικαίου κα πιν ὀφθήσεται, ἀλλ' ὃς ἐπιβουλεύει τῶν χαλει ὑπόθεσις γίνεται.

Ὅτι ἀφιλοπρωτία μόνη καὶ φθόνου κατάλι τὰ καιριώτατα συνιστᾷ.

Ὅτι τὸ εὔδαιμον οὐκ ἐξ αὐτομάτου τινὸς ἐι ρεῖ, ἀλλ' ὅτι τῆς ἀληθοῦς εὐτυχίας οἱ πόνοι γον ὅθεν καὶ ἡδυτέρα τις ἡ ἐκ τῶν πόνων ἀπόλαυ [Exc. de sentent. (cod. p. 321) p. 361 Mai., 434 buhr.]

45 *Ὅτι ἐν ᾧ ἡ πόλις ὁ Βόσπορος ἥλω, οἱ π σβεις ἔτυχον παρὰ Τούρκοις οἱ τῶν Ῥωμαίων, τούτου γέγονε δῆλον ὡς Τοῦρκοι ἐξεπολεμώθη Ῥωμαίοις. τῷ τοι ἄρα καὶ τοὺς σταλέντας, ἐν Οὐαλεντῖνος ὑπῆρχε, κατέσχεν ὁ Τούρξανθος, ἐ βρίζων τε ἐς αὐτοὺς καὶ ἀποφενακίζων καὶ τὰ ἀ κακῶς χρώμενος, εἶτα οὕτως ἀφῆκεν.* [Exc. de le p. 164 Par., 404 Niebuhr.]

46 *Ὅτι τῶν στρατηγῶν δῃούντων τὴν Περσῶν*
a. 577 Iustini 13. *μενίαν, ἐν τούτῳ παρεγένετο Ναδώης, ἐς τὴν λι μένην σμικρὰν χειροτονηθεὶς πρεσβείαν, πρὸς Χ ρόου ἐκπεμφθείς· ὃς τῆς διὰ Θεοδώρου τοῦ Βάκ*

ϱεσβείας ἔδοξεν ἀμοιβαίαν ἀποκομίζειν ἐκ τοῦ Χοσρόου ἀγγελίαν, κυρίως δὲ ὡς ἑτοιμότατα ἔχοι αὶ αὐτὸς στεῖλαι τοὺς ἄρχοντας κατὰ δὴ τὰ ὅρια ῆς ἕω, ὡς ἂν ἐν τῷ αὐτῷ γενόμενοι τοῖς ἐκ Ῥωαίων ἐκπεμφθησομένοις σκοπήσοιέν τε καὶ διασκέοιντο ὅπως χρὴ τὰ ὅπλα καταθέσθαι. ἀνακρινομέου τούτου πρώτου τίς ἄρα πολιτεία τῆς λύσεως ῶν πεντηκοντουτίδων σπονδῶν αἰτία ἐγένετο. ᾧτινί ε δήπου ἐμφρονέστατά πως ἀπεκρίνατο ὁ Καῖσαρ ς πρεσβυτέρῳ τυγχάνοντι βασιλεῖ Περσῶν αὐτὸς ι νέος ὤν, καὶ ὅσον ἐπὶ τῇ ἀκμῇ τῆς ἡλικίας οσρόου παῖς καθεστὼς ἕτοιμος εἴη ἐφ' ὅπερ ἂν εῖνος ἡγήσοιτο ἕπεσθαί οἱ, καὶ εἴτε τὰ ξίφη βούιτο εἴτε τὴν ἡσυχίαν, ἀκολουθήσειν. ἀποπέμψας ῦν ἐπὶ τοιοῖσδε τὸν Ναδώην ὁ Καῖσαρ οὐκ ἐς μαρὰν καὶ αὐτὸς ἔστειλε κατὰ τὴν ἑῴαν τοὺς εὖ διαήσοντας τὰ ἀμφίβολα, ἐς ταὐτὸν συνελευσομένους ῖς Περσῶν ἡγεμόσιν. ἦσαν δὲ οἱ σταλέντες Θεόωρος ὁ Πέτρου, ὃς τῶν ἐν τῇ αὐλῇ καταλόγων πρὸ ύτου γενόμενος ἡγεμὼν τηνικαῦτα τῶν βασιλεῖ ειμένων προειστήκει θησαυρῶν, οἵ γε ἀπὸ τῆς ψιλείας τῇ Ῥωμαίων προσαγορεύονται φωνῇ, λαρὺς (λαργοὺμ potius) γὰρ οἱ Λατῖνοι τὸ δαψιλὲς ομάζουσιν, Ἰωάννης τε καὶ Πέτρος, ἄμφω τῇ τῶν άτων τετιμημένοι ἀξίᾳ, πρός γε καὶ Ζαχαρίας ἐν ῖς βασιλείοις καταταττόμενος ἰατροῖς. οἳ δὴ γενόνοι ἐς Κωνσταντῖναν πόλιν τὴν μεταξὺ τῶν πομῶν ἀνέμενον ἐλευσόμενον ἐκ τοῦ Χοσρόου ἐς τὰ ρὶ Νίσιβιν καὶ τὸ Δάρας Μεβώδην τὸν Σανναερύγαν, ᾧ δὴ τὸ κῦρος τῶν περὶ τὴν εἰρήνην έθηκε Χοσρόης. κατ' αὐτὸν δὲ τὸν χρόνον καὶ στέριος, εἷς τῶν βασιλείων διαιτητῶν, οὓς δὴ

ρειέχετο ὡς χάριν τῆς πρὸς Καίσαρα φιλίας ἀνέξοιτο καὶ χρημάτων ἐκτὸς ἐξ ἰσοτιμίας ἀναρρῶσαι τὴν εἰρήνην. τοῦτο ἐπειδὴ κατὰ τὴν βασιλίδα διεθρυλήθη πόλιν, ἅπαντες ἀνεπτερώθησάν τε καὶ ἐδόκουν οἵ τε ἐν τέλει καὶ ὅσος ἕτερος ὅμιλος ἤδη ἀργήσειν τὰ ξίφη καὶ ἐμπεδώτατα καθέξειν τὴν εἰρήνην, ἐπεὶ ὁ Καῖσαρ Περσαρμενίας τε καὶ δὴ Ἰβηρίας αὐτῆς ἑτοιμότατα εἶχε παραχωρῆσαι Πέρσαις, σαφέστατα ἐξεπιστάμενος ὡς οὐπώποτε ἐνδώσοιεν τοσαύτης ἐστερημένοι χώρας, οὐδέ γε εἰ τελέως καταλισθήσοι καὶ ἐξίτηλα ἔσοιτο τὰ πράγματα Περσῶν. τοὺς μέντοι γενεάρχας Περσαρμενίων, ἀλλὰ γὰρ καὶ τοὺς τῷ γένει σφῶν ἡνωμένους, καὶ ἁπλῶς τὸν ὀντιναοῦν οἵ γε αὐτομολήσαντες ἦσαν ὡς Ῥωμαίους, οὔτε ἐκδώσειν, ἀλλ' οὐδὲ ἑτέρως ἐμπεδώσειν ἔφασκε τὴν εἰρήνην, εἴ γε μὴ ἄδεια ἔσοιτο τοῖς βουλομένοις Περσαρμενίων τε καὶ Ἰβήρων τὴν σφετέραν ἐκλιπόντας ἀνασκευάσασθαι ἐς τὴν Ῥωμαίων. λόγον γὰρ οὐχ ἥκιστα ἐποιεῖτο πολὺν ὁ Καῖσαρ τῶν ὀμωμοσμένων ὑπὸ Ἰουστινιανοῦ (l. Ἰουστίνου) τοῦ βασιλέως τοῖς Περσαρμενίοις καὶ τοῖς μεταχωρήσασιν Ἰβήρων. ὠμωμόκει γὰρ ὁ βασιλεὺς ὡς καθ' ὅσον οἷόν τέ ἐστιν αὐτῷ ἅπαντα ἀνακινήσειν τρόπον, ὡς ἂν καὶ αὐτήν γε δήπου τὴν θρεψαμένην σφᾶς ποιήσεται ὑποχείριον· εἰ δέ γε ἄχρι τέλους οὔτι ἔσοιτο δυνατὸς πρὸς τὸν πόλεμον ἀνθέξειν, ἀλλὰ τοὺς αἰτίους τῆς ἀποστάσεως καὶ τοὺς τῷ αἵματί σφισι προσήκοντας, ξυνελόντα δὲ εἰπεῖν τοὺς ὅσοι βούλονται Ῥωμαϊκῆς μετασχεῖν πολιτείας, οὐπώποτε ποιήσεσθαι ἐκδότους. ἐδόκει δὲ καὶ βασιλεὺς ὁ Περσῶν ἥδεσθαι ἐπὶ τοῖσδε, ὡς ἂν Ῥωμαῖοι μὲν ἐκστήσοιντο τῆς Περσαρμενίας τε καὶ Ἰβηρίας, ἐξουσίαν

δὲ αὐτὸς προσνέμοι, ὅποι ἐθέλουσιν οἱ τῇδε οἰκήτορες ἰέναι, οὔτι ἀπὸ τρόπου γε, οἶμαι. ἠπίστατο γάρ, πλὴν ὀλιγίστων τῶν ἐν τέλει, οἳ τῆς ἀποστάσεως ἦρξαν, ὡς οὐδεὶς Περσαρμενίων καὶ Ἰβήρων, πόθῳ τῆς θρεψαμένης, ὃς φύσει τοῖς ἀνθρώποις ἐνιζάνει τε καὶ προσπέπηγεν, ἀνασκευάσοιτο ἐς τὴν ὀθνείαν. ἄλλως τε καὶ ἅμα ἤλπιζε τοῦ πολέμου λωφήσαντος ἐν δέοντι θέσθαι τὰ Περσαρμενίας τε καὶ Ἰβηρίας· αἵδε γὰρ αὐτῷ αἱ χῶραι πάμφοροί τε ὑπῆρχον καὶ πλεῖστα ἐσότι ἐδασμοφόρουν. τοιγαροῦν διὰ ταῦτα ἠρέσκετο βασιλεὺς Περσῶν ἐπὶ τοῖσδε τὸν πόλεμον καταθέσθαι. προσῆλθε δὲ τῷ Καίσαρι διανοεῖσθαι, ὡς ἂν τὸ λοιπὸν μηδεμία ὑπολείποιτο τοῦ πολέμου αἰτία, τῆς Περσαρμενίας τε καὶ Ἰβηρίας ἕκατι τὴν πόλιν τὸ Δάρας παρὰ σφῶν ἀντιλήψεσθαι, ἥκιστα μὲν τοῦ κερδαλέου χάριν· οὐ γὰρ δή τι τὸ Δάρας ἡ πόλις ἐς ἕτερόν τι ὀνησιφόρος ἢ τῷ ἀσφαλέστατα ἔχειν καὶ τῆς ὑπὸ Ῥωμαίους ἑῴας ὥσπερ τι ἔρυμα προβεβλῆσθαι. ἅμα οὖν τὸ ἀτύχημα ἀκέσασθαι βουλόμενος τῷ ἀπειληφέναι Ῥωμαίους τὰ οἰκεῖα, ἅμα δὲ καὶ μηδένα σπινθῆρα τοῦ πολέμου καταλιπεῖν ἐθέλων, ἔγνω ἀνασώσασθαι τὸ Δάρας ἢ χρήμασιν ἤγουν ἑτέρῳ τρόπῳ τινί. περὶ μὲν οὖν τοῦ χρῆναι ἐξ ἰσοτιμίας τὴν εἰρήνην προελθεῖν, πρὶν ἢ διακριθῆναι τὸν ἐν Ἀρμενίᾳ πόλεμον, ἐδόκει καὶ ξυνέθεντο Πέρσαι. μελλόντων δὲ ὅσον οὔπω παραχωρῆσαι Ῥωμαίοις καὶ τοῦ Δάρας ἢ οὐδενὸς ἤγουν ὀλιγίστης χρυσίου ποσότητος, δηλονότι πρότερον ἀφισταμένων Ῥωμαίων Περσαρμενίας καὶ Ἰβηρίας, ἐν ᾧ τὰ τοιάδε οἱ ἐξ ἑκατέρων διαλεγόμενοι (διαλέγονται Bekk.) πρέσβεις, γέγονεν (ἡ) κατὰ τὴν Ἀρμενίαν ξυμπλοκή, ἐν ᾗ

μὲν ἀμαχητὶ ὑπαναχωρῆσαι τῆς Περσαρμενίας καὶ Ἰβηρίας, τελευταῖον δὲ ἀμφὶ τοῦ Δάρας αἰτεῖν καὶ τῶν ἐπηγγελμένων ἥκιστα τυγχάνειν, εἶτα τὴν ἐν ὑστέρῳ βουλήν, καθὰ δήπου τὸ περιφερόμενον ἐκεῖνό φησι, μὴ ἔχειν ἰσχύν, ὥσπερ καὶ Σουανίας πέρι ἐν τῷ πρώτῳ ἠπατήθη Πέτρος ὑπὸ τοῦ Ζίχ. ὁμοίως οὖν καὶ ὁ Μεβώδης ἠβούλετο δράσειν. ἐπεὶ δὲ ἑώρα Ζαχαρίαν ἐσότι ἐμφρονέστατον καὶ οὐχ οἷόν τε ὂν αὐτῷ παρακρούσασθαι τὸν ἄνδρα, ὁ δὲ τὴν ἑτέραν ἐτράπετο, ὡς ἂν τρόπῳ τῳ ἀπάτῃ περιέλθοι τοὺς Ῥωμαίους. ἐπὶ χρόνον γάρ τινα ξυνῄει ἐς ταὐτὸ τοῖς ἀμφὶ Ζαχαρίαν, ἐλπίδα ὑποστρωννὺς ὡς ἔσοιτο εἰρήνη καὶ ὡς ἐπινεύσοι ὁ Περσῶν βασιλεὺς ἐνδοῦναι Ῥωμαίοις τὸ Δάρας, ταύτῃ οἰόμενος ἐκλύσειν τὴν εἰς τὸν πόλεμον προθυμίαν τοῦ Καίσαρος. καὶ οὖν ἐν τοιοῖσδε τριβομένου τοῦ χρόνου, καὶ τῶν ἐξ ἑκατέρας πολιτείας πρέσβεων περὶ ταῦτα ἐνησχολημένων, οὕτω τε φερομένου τοῦ ἐῴου πολέμου ἐπ' ἀδήλοις, κατὰ δὲ τὸ τέταρτον ἔτος Τιβερίου Κωνσταντίνου Καίσαρος βασιλείας ἐν τῇ Θρᾴκῃ ξυνηνέχθη τὸ Σκλαβηνῶν ἔθνος μέχρι που χιλιάδων ἑκατὸν Θρᾴκην καὶ ἄλλα πολλὰ ληίσασθαι. [Exc. de legat. p. 120—124 Par., 320—327 Niebuhr.]

48 a. 578. *Ὅτι κεραϊζομένης τῆς Ἑλλάδος ὑπὸ Σκλαβηνῶν καὶ ἁπανταχόσε ἀλλεπαλλήλων αὐτῇ ἐπηρτημένων τῶν κινδύνων, ὁ Τιβέριος οὐδαμῶς δύναμιν ἀξιόμαχον ἔχων οὐδὲ πρὸς μίαν μοῖραν τῶν ἀντιπάλων, μήτι γε καὶ πρὸς πᾶσαν* (*πάντας* Bekk.), *οὔτε μὴν οἷός τε ὢν πολέμοις σφίσιν ὑπαντιάζειν τῷ ἀνὰ τοὺς ἑῴους πολέμους τὰς Ῥωμαίων τετράφθαι δυνάμεις, πρεσβεύεται ὡς Βαϊανὸν τὸν ἡγεμόνα τῶν Ἀβάρων, τηνικαῦτα οὐ δυσμενῶς ἔχοντα πρὸς Ῥωμαίους,*

υς δὲ τῇ καθ' ἡμᾶς πολιτείᾳ χαίρειν ἐθέλοντα
εν εὐθὺς ἐκ προοιμίων τῆς αὐτοῦ Τιβερίου βα-
ίας. ταύτῃ τοι καὶ πείθει γε αὐτὸν κατὰ Σκλα-
ῶν ἄρασθαι πόλεμον, ὡς ἂν ὁπόσοι τὴν Ῥωμαίων
ῦσι, τοῖς οἰκείοις ἀνθελκόμενοι κακοῖς, ἐπαρκέ-
τε βουλόμενοι τῇ πατρῴᾳ κατὰ τὸ μᾶλλον, παύ-
το μὲν τοῦ τὴν Ῥωμαϊκὴν λεηλατεῖν, οἱ δὲ περὶ
οἰκείας τὸν κίνδυνον ἀναδέξονται. τοῦ Καίσα-
τοίνυν τὴν τοιάνδε ὡς αὐτὸν στείλαντος πρε-
αν, οὔτι ἠπείθησεν ὁ Βαϊανός. ἐκπέμπεται δ'
ἐπὶ τούτῳ Ἰωάννης, ὃς δὴ τῶν νήσων διήνυε
ἀρχὴν τηνικαῦτα καὶ τὰς Ἰλλυρίδας ἰθύνειν
ε πόλεις. οὗτος παραγενόμενος ἐν Παιονίᾳ τῇ
ᾳ, μετήγαγεν ἐς τὴν Ῥωμαίων αὐτόν τε τὸν
ανὸν καὶ τὰς τῶν Ἀβάρων δυνάμεις, ἐν ταῖς δὴ
μέναις ὁλκάσι μακραῖς τὰ βαρβαρικὰ διαβιβά-
πλήθη. καὶ λέγεται ἀμφὶ τὰς ἑξήκοντα χιλιάδας
έων θωρακοφόρων ἐς τὴν Ῥωμαίων διαπορθμευ-
αι. ἐνθένδε αὖθις διὰ τῆς Ἰλλυριῶν διαγαγών,
ἐς τὴν Σκυθῶν ἀφικόμενος, ἔμπαλιν διελθεῖν
εσκεύασε τὸν Ἴστρον ἐν ταῖς καλουμέναις ἀμφι-
μνοις τῶν νεῶν. ἐπειδὴ δὲ ἐπεραιώθη ἐς τὸ
ἀντικρὺ τοῦ ῥείθρου, παραχρῆμα τάς τε κώμας
ίμπρα τῶν Σκλαβηνῶν καὶ ἐσίνετο τοὺς ἀγρούς,
τε καὶ ἔφερεν ἅπαντα, οὐδενός πω τῶν ἐκεῖσε
ιάρων θαρρήσαντός οἱ ἐς χεῖρας ἐλθεῖν, ἐς τὰ
α δὲ καὶ κατηρεφῆ τῆς ὕλης καταπεφευγότων.
τῶν Ἀβάρων κίνησις κατὰ Σκλαβηνῶν (ἐγίγ-
) οὔτι γε μόνον τῆς τοῦ Καίσαρος ἕνεκα πρε-
ας καὶ τῷ βούλεσθαι τὸν Βαϊανὸν Ῥωμαίοις ἐκ-
ι χάριν ἀνθ' ὧν ἐς τὰ μάλιστα ἐφιλοφρονεῖτό γε
ν ὁ Καῖσαρ, ἀλλ' ὅτι γε αὐτῷ καὶ ἔχθιστοι

ἀμφὶ Τραιανὸν αὐτοὶ τὸ χρυσίον ἧκον κομίζοντες τῶν σπονδῶν. καὶ τοσαύτῃ δήπου χρησαμένου κατὰ Ῥωμαίων ὕβρει Μεβώδου ὡς μηδὲ ἀξιῶσαι τὰ εἰρηναῖα χρήματα ἐν τοῖς μεθορίοις κομίσασθαι, ἐγκελεύσασθαι δὲ Ῥωμαίοις ἐς τὴν Νίσιβιν ἀποσῶσαι, ἕτερά τε οὐκ ἀνεκτὰ περὶ τὴν τοῦ χρυσίου παράληψιν καταυθαδισαμένου τε καὶ ἐπεντρυφήσαντος αὐτοῖς, ὕστερον δὲ ἐς τοῦτο αὐτὸ περιελθεῖν καὶ δεηθήσεσθαι Ῥωμαίους Χοσρόης ἐλπίσας, εἴ γε καταπροτερήσοι τὸν τῆς ἐφόδου καιρὸν τῶν σπονδῶν ἀφροντιστήσας, ἢ καὶ δράσειν ἴσως τι μέγα, καὶ καταπλαγέντα τὸν Καίσαρα τελέως τῆς Περσῶν Ἀρμενίας τε καὶ Ἰβηρίας καὶ τῶν ἐκείνῃ χωρίων ἀποστήσεσθαι, παρὰ πολὺ τὴν τῆς ἕω δῄωσιν τῆς Περσαρμενίων τε καὶ Ἰβήρων προσχωρήσεως ἡγούμενον· ἅμα δὲ καὶ ἐπέπυστο Χοσρόης παρασκευάζειν στρατιὰν ἐς τὰ μάλιστα πολλὴν τὸν Καίσαρα, καὶ ἤδη στέλλειν κατὰ τὴν ἑῴαν ἱππαγωγοὺς ὁλκάδας· ὀλίγῳ πρότερον ἢ αἱ τριετηρίδες σπονδαὶ τελευτήσεσθαι ἔμελλον, πρὸ ἡμερῶν δήπου τετταράκοντα ἐπαφίησι κατὰ τῆς Ῥωμαίων γῆς τῆς ἐκ τῶν ὁρίων τοῦ Δάρας ἐς τὴν μέσην τῶν ποταμῶν στρατιὰν ἱππικήν, ἀμφὶ τὰς εἴκοσι χιλιάδας, ἧς περὶ τὰς δώδεκα μὲν ἦσαν Πέρσαι, θυρεοφόροι τε καὶ ἱπποτοξόται, Σαρακηνοὶ δὲ καὶ Σαβεῖροι.... (ὧν ξυμπάντων ἦρχον οἱ supplet Nieb.) σὺν τοῖς Ῥωμαίων ἄρχουσι περὶ τοῦ πῶς δεῖ προελθεῖν τὴν ἐν γένει ὀρεινὴν (εἰρήνην Nieb.) διασκεπτόμενοι. ὃ δὴ καὶ μάλιστα ἀλαζονείας τε καὶ ἀναισχυντίας οὐ μικρὰν προσῆψε τῷ Χοσρόῃ δόξαν, τάς τε ξυνθήκας οὕτω πως ἀνέδην οὐκ ὀκνήσαντι ξυγχέαι, καὶ ταῦτα ὀλίγης πρὸς τὸ πέρας αὐτῷ ἐνδαψιλευομένης παραδρομῆς ἡμερῶν, καὶ ὅτι γε

ιτόν, ἅτε δὴ ἐπεγγελῶν Ῥωμαίοις, ἅμα τε καὶ ἰρήνης διαλεχθησόμενον ἐν τοῖς ὁρίοις ἐχειρο- ν καὶ ἅμα ἐν τοῖς αὐτοῖς χωρίοις, ἐν αὐταῖς εῖν ταῖς ἡμέραις πολέμου τε καὶ ταραχῆς καὶ ῶν συγχύσεως αἴτιον. τοῦτον δὴ οὖν τὸν δη βουλευμάτων τε ἡγούμενον καὶ τοῦ παντὸς κῦρος ὁπλίσας ἐξέπεμψε, πρός γε καὶ Σα- τὸν Μεαιράνου (Μαιράνου fr. 52), ἀνδρὸς ιεννοῦς ἀπενεγκάμενον δόξαν. [Exc. de legat. —166 Par., 407—409 Niebuhr.]

ιι οἱ Μῆδοι δεδιότες τὴν τῶν Ῥωμαίων εἰσβο- 51
ατὰ τῆς Περσῶν ὅσον οὔπω ἐσομένην καὶ a. 578.
ντες τὸ λεγόμενον Θαυνάριος φρούριον, χη- Ῥωμαϊκῆς ἐπικουρίας, ἐν κατοχῇ ἐποιήσαντο· ' οἴκου ἀνεχώρησαν, μηδὲν τὸ παράπαν τῆς ύντου τῶν σπονδῶν ξυγχύσεως ἄξιόν τι πο- νοι, μήτε μὴν μέγα τι Ῥωμαίους βλάψαντες, ωπτεύθησαν τὴν ἀρχήν. [Exc. de legat. p. 125 328—329 Niebuhr.]

ιι Ταγχοσδρῷ σαφῶς ἐξεπιστάμενος καὶ αὐ- 52
ν Χοσρόου βουλήν, ὡς Μεβώδης ἀναπτερώ- a. 578.
ὑτὸν εἴη μὴ μεῖναι τὸ πέρας τῶν τριετηρί- πονδῶν, αἵ γε ἀμφὶ τῆς ἕω ἐμπεδωθεῖσαι νον, καὶ ὅτι οὕτω δοκοῦν αὐτῷ ἀναμφιβόλως εῖν αὐτόν τε Μεβώδην καὶ Σαπώην τὸν νου κατὰ τῆς πρὸς τὴν ἕω τῶν Ῥωμαίων τείας, εἴτε προστεταγμένον οἱ τοιάδε ἐκ Χο- εἴτε καὶ αὐτομάτως τοῦτο σκοπῶν ἐφ' ἑαυ- ὥσπερ ἀμέλει δευτέραν ἀφεὶς ἄγκυραν, ἐκτρα- πὸ τοῦ Κιθαρίζων ὥρμησε καὶ αὐτὸς κατὰ τῆς ων ἐν ἀνατολῇ χώρας ἀπὸ τῶν Ἀρμενίας ἐμ-

βολῶν, διπλῆν ἐκεῖσε τὴν ταραχὴν ποιησόμενος. [Exc. de legat. p. 125 Par., 329 Niebuhr.]

53 a. 578. Suidas v. ἐμβριθῆ νοῦν· Μένανδρος "ὁ δὲ Ταγχοσδρώ, ὁ τοῦ Χοσρόου στρατηγός, οὐχὶ ἐλέφαντάς τε καὶ ἀγροίκων ὅμιλον καὶ ἕτερα ἄττα φόβητρα, κόμπῳ μὲν ἁρμόδια, ἐνεργὰ δὲ καὶ ἐμβριθῆ οὐδαμῶς, ἀλλὰ τοὺς μαχιμωτάτους τε καὶ εὐοπλοτάτους ἀγείρας, πλήθους τε ἀγεννοῦς ἀντάλλαγμα τοὺς τὰ πολέμια δεινοὺς ἀποκρίνας." καὶ αὖθις· "ἑστάναι τε ἐμβριθέστατα καὶ ἐπαμύνειν τῇ πόλει."

Eadem repetuntur v. Ταγχοσδρώ. Alterum fragmentum an Menandri sit Niebuhrius, prius an huc pertineat incertum esse Müllerus animadverterunt.

54 a. 579 Tiberii 2. Ὅτι ὁ Τιβέριος καὶ ἕτερόν τι προστίθησι τῷ δεδογμένῳ καὶ ἐς τὰ μάλιστα θεῷ κεχαρισμένον. πολλοὺς γὰρ τῶν παρὰ Ῥωμαίοις δορικτήτων Περσῶν, μάλιστα τοὺς ἐν τέλει, ὧν ἔνιοι καὶ τῷ βασιλείῳ γένει ξυνημμένοι ἦσαν, ἔστειλε Χοσρόῃ δωροφορήσας. εἶτα πρέσβεις ἐπὶ τῷ τοιῷδε ἐξέπεμψε Ζαχαρίαν τε αὖθις, τὸν βασίλειον ἰατρόν, ἅτε πολλάκις χρησιμώτατά τε καὶ εὐνούστατα ἐξυπηρετησάμενον ταῖς κατὰ τὸν πόλεμον τοῦτον πρεσβείαις. τοῦτον δὴ οὖν τὸν ἄνδρα τῇ λεγομένῃ ἀπὸ ἐπάρχων ἀξίᾳ διακοσμήσας ἐχειροτόνησε καὶ πάλιν, καὶ δὴ πρεσβευσόμενον ἀφῆκεν, οἷα δὴ καὶ αὐτοῦ Ζαχαρίου τὴν πρεσβείαν ταύτην γενέσθαι ξυνωθήσαντος, σὺν τῷ καὶ Θεόδωρόν τινα, ἕνα τῶν βασιλείων μαχαιροφόρων, ἀξίωμα καὶ αὐτῷ στρατηγοῦ περιθείς. τούτω τὼ ἄνδρε πρεσβευσομένω ἀπονείμας Χοσρόῃ ἐξέπεμψεν, ἔγραψέ τε ἐπιεικείας ἀνάπλεα ῥήματα. ὁ δὲ νοῦς τῆς ἐπιστολῆς· "ἐγὼ καὶ βούλομαι τὴν εἰρήνην καὶ διὰ τὸ θεόσδοτον οὖσαν ἀσπάζομαι, καὶ

σπερ φύσει τινὶ προσιζάνει μοι τὰ τῆς φιλίας ὑμῶν. ιγαροῦν ἑτοίμως ἔχω τῆς Περσαρμενίας τε πάσης ρίστασθαι καὶ Ἰβηρίας, οὐ μὴν τῶν βουλομένων ιῖν ὑπακούειν Περσῶν Ἀρμενίας τε καὶ Ἰβήρων. ναδίδωμι δὲ καὶ τὸ Ἀφουμῶν φρούριον, καὶ τῆς ρζανηνῆς ὑμῖν παραχωρήσω, τὸ Δάρας μόνον ἀντὶ σούτων ἀνακομιζόμενος πρὸς ὑμῶν." ταῦτα Τιβέ-ιος ὁ αὐτοκράτωρ Χοσρόῃ σημήνας ἐφῆκε Ζαχα-ίᾳ τε καὶ Θεοδώρῳ καὶ μεγίστων πρέσβεων ἔχειν ἰχὺν καὶ τὴν εἰρήνην ὡς ἂν οἷοί τε ἔσοιντο διατιθέ-αι. μετὰ ταῦτα τῆς ὁδοιπορίας ἔτι σχομένω στα-έντε ἄνδρε, οὕτω παρασχόν, καὶ Χοσρόης ὁ Περσῶν ασιλεὺς καταπλαγεὶς τοῖς ξυμβεβηκόσι, προφθάσας πέμπει ὡς τὸν Ῥωμαίων αὐτοκράτορα πρεσβευτήν, αὶ ἀφικνεῖται χειμῶνος ἀρχομένου ἤδη ὃς ἐπὶ τῇ ρεσβείᾳ ἐχειροτονήθη Πέρσης ἀνήρ, τοὔνομα Φε-ογδάθης, οὐχ ἧττον καὶ αὐτὸς φιλανθρωποτάτους ν ἐπιστολῇ διακομίζων λόγους πρὸς τοῦ Περσῶν ασιλέως, ἐν ᾗ ἐγέγραπτο ὧδε· "εἰ μὲν τὸ δίκαιον οιῆσαι βουληθείης, ὦ Ῥωμαίων βασιλεῦ, καλῶς ἂν ράξοις τούς τε τὴν ἀποστασίαν τῆς Περσαρμενίας ουλεύσαντας γενεάρχας ἐκδιδοὺς ἡμῖν ὑφέξοντας οινάς, ἐν τοῖς ὁρίοις τε τῆς Περσῶν τε καὶ Ῥω-αίων ἀναρτηθησομένους, διδοὺς δὲ καὶ τὴν ἐντεῦ-εν συμβᾶσαν ζημίαν Πέρσαις. εἰ δὲ πρὸς ταῦτα ἀντίως ἔχεις, πρᾶξαι τὸ φίλοις πρέπον· τοῦτο δέ τι ξυνδραμεῖν ἐν τοῖς ὁρίοις αὖθις τοὺς ἑκατέρας ρχοντας πολιτείας, τὰ τῆς εἰρήνης, ὡς ἂν δύναιντο, εταξὺ ἀλλήλων διαθησομένους· ἐφ' ᾧ δὲ τὰ τοι-ῦτα προελθεῖν, ἀνακωχὴν γενέσθαι τινά." ὧδε μὲν ν καὶ ἡ Χοσρόου ἐδήλου ἐπιστολή· πλείστων δὲ ερῶν κατὰ τὴν βασιλίδα πόλιν διαγενομένων ἐν

ταῖς ἐν μέσῳ συνουσίαις Τιβερίου τοῦ βασιλέως κ
Φερογδάθου τοῦ Περσῶν πρεσβευτοῦ, γράφεται μ
ἀπιοῦσιν ἐπὶ τὴν πρεσβείαν Ζαχαρίᾳ τε καὶ Θεοδώ(
τοῖς πρέσβεσιν ἐνδιατρῖψαι κατὰ τὴν ἕω, καὶ οὐ
μάλα ἐν σπουδῇ θέσθαι δηλῶσαι σφῶν αὐτῶν τ
παρουσίαν βασιλεῖ τῶν Περσῶν, πρὶν ἢ ἐκ τῆς β
σιλίδος ἀφεθείη Φερογδάθης ὁ Περσῶν πρεσβευτ
προελθόντων δὲ καὶ κεκινημένων ἐσότι πλείστ
λόγων, ἐκπέμπει τὸν Φερογδάθην ὁ βασιλεὺς ἐ
τούτοις, οἷς δὴ καὶ πρὸ τοῦ ἐγεγράφει διὰ τῶν Ῥ
μαίων πρέσβεων. ἐκεχειρίαν δὲ οὔτι ᾤετο δεῖν ἐ
μήκιστον χρόνον ἐνδιδόναι Πέρσαις· ἀποχρῆν γ
ἔφασκε τῷ βουλομένῳ τὴν εἰρήνην καὶ μὴ διὰ τ
τοῦ χρόνου πλείονος ἀπάτης προμηθευομένῳ π
ρασκευῆς ἀφορμὴν καὶ δύο μηνῶν ἢ τριῶν παρ
δρομήν. καὶ οὖν ἀπῆρεν ἐπὶ τοῖς τοιοῖσδε ὁ Φ
ρογδάθης ἐκ τοῦ Βυζαντίου. [Exc. de legat. p. 1
Par., 409—411 Niebuhr.]

55 Ὅτι Ῥωμαῖοι καὶ Πέρσαι ξυνεστήσαντο ἂν τ
a. 579. εἰρήνην, εἰ μὴ Χοσρόης ᾤχετο ἐξ ἀνθρώπων κ
Ὁρμίσδας ὁ Χοσρόου, ἀνοσιουργὸς ὄντως ἀνήρ, τ
κίδαριν ἀνεδήσατο. οἶμαι μὲν οὖν ἔγωγε οὐκ ἄ
λως, πλὴν ἀλλὰ καὶ ὡς ἐκυρώθη, ἅτε Χοσρόου ἐ
περιόντος, Ζαχαρίαν τε καὶ Θεόδωρον ἐσφοιτῆσαι
τὴν Περσῶν πρεσβευσομένους. οὔπω γὰρ τὴν τ
Σύρων παραμειψάμενοι ἦσαν καὶ οὐδὲν ὅ,τι τ
Ῥωμαίων ἐνηλλάγη πρεσβείας. διὸ καὶ ἐκ βασιλέ
αὐτοῖς γράμματα ἐστάλη ἔχεσθαι τῆς ὁδοιπορίας ἐ
τοῖς αὐτοῖς· γνῶναι μὲν γὰρ ἐν μέσῳ τὴν Χοσρό
τελευτήν, ὅμως δὲ καὶ πρὸς τὸν ἐκείνου παῖδα ο
ἄλλως φρονεῖν, ἑτοίμως δὲ ἔχειν τὸν πόλεμον ἐ
τοῖς ἤδη Χοσρόῃ γραφεῖσι καταλῦσαι· ἔτι γε μ

ιαὶ τοὺς ἀφεθέντας αἰχμαλώτους ὡς ἂν ἐγχειρίσωσι :ῷ Περσῶν βασιλεῖ. προσημήναντες τοίνυν οἱ Ῥωμαίων πρέσβεις σὺν πολλῇ τε τιμῇ καὶ εὐφημίᾳ κατὰ τὴν Νίσιβιν ἐγένοντο· ἐν θαύματί τε μεγίστῳ ἐποιοῦντο Πέρσαι τὴν Ῥωμαίων ἀμφὶ τοὺς δοριαλώτους φιλανθρωπίαν. ἐν τούτῳ δὲ καὶ Τιβέριος ὁ αὐτοκράτωρ στέλλει αὖθις, τοῦ ἦρος ἀρχομένου, Μαυρίκιον κατὰ τὴν πρὸς ἀνίσχοντα ἥλιον ἀποκαραδοκήσοντα τὸ ἐσόμενον, ἐγκελευσάμενός οἱ, πρὸς ὅπερ ἂν ὁ Περσῶν βασιλεὺς τραπῇ, ὑπαντιάζειν τε καὶ παρασκευάζεσθαι πρὸς ἑκατέραν τῶν πραγμάτων ῥοπήν. καὶ ὁ μέν, καθὰ βασιλεῖ ἐδόκει, ἀνὰ τὴν ἕω ἔμενε, τὸ πρακτέον ἐπιτηρῶν· προϊόντων δὲ τῶν πρέσβεων ἐς τὰ ἤθη Περσῶν, ἐπειγομένων τε θεάσασθαι τὸν ἄρτι τῷ βασιλείῳ θρόνῳ ἐπιβεβηκότα, οἰομένων τε ἐς τὰ μάλιστα τεύξεσθαι τιμῆς, οὐ μὴν ἀλλὰ καὶ τῶν σπουδαζομένων οὔτε (οὐδενὸς Nieb.) ἀποτεύξεσθαι, οἷα μετὰ τοσαύτην νίκην πρᾴους τε καὶ πάσης αὐθαδείας ἀπηλλαγμένους τοῦ Ῥωμαίων βασιλέως ἐπικομιζόμενοι λόγους· καὶ ὡς οὐ μόνον ἄχρι ῥημάτων αὐτοῦ τὸ φιλάνθρωπον, μᾶλλον μὲν οὖν ἔργοις ἐπιδεικνυμένου, τῷ τοσούτους δοριαλώτους τοῖς Πέρσαις αὐτοὺς ἐπαναγαγεῖν, τούτων ἐλπιζόντων γε αὐτῶν κυρῆσαι ἀναμφιβόλως, ἐς τοὐναντίον ξυνέβη ἅπαν. πρῶτον μὲν γὰρ κατὰ μέσον τῆς ὁδοιπορίας τῶν τις παρὰ Πέρσαις τοῖς βασιλικοῖς τε καὶ δημοσίοις πράγμασιν ἐξυπηρετουμένων, οὗς, εἴ τις τῇ Λατίνων χρήσοιτο φωνῇ, ἀσηκρῆτις προσαγορεύσειεν, ὑπαντιάσας ἤρετο σφᾶς ὅ,τι βούλοιντό τε καὶ ὅ,τι ἥκοιεν καὶ ὁποίαν ἀποκομίζοιεν ἀγγελίαν. ἀλλὰ τούτῳ μὲν οἵ γε ἀμφὶ Ζαχαρίαν τε καὶ Θεόδωρον ὧδε ἀπεκρίναντο, ὡς τὰ τοιάδε τῷ

γενόμενοι Περσῶν; ἀλλ' ὅτι ἀπειρίας δραξάμενοι τοῦ Ταγχοσδρὼ καὶ περιαγαγόντες αὐτὸν ἐς ἄλλοτε ἄλλους χώρους, ἐπειδὴ περιπλανωμένου ἐξ Ἀρμενίας ἐκείνου εἰς Ἀρζανηνὴν καὶ ἀπὸ Ἀρζανηνῆς ἐς Ἀρμενίαν ἄδειαν ἔσχον οἱ Ῥωμαῖοι καταδραμεῖν τὴν ἕω Περσῶν· τῷ τοι ἄρα βρενθύονται ἴσως καὶ μεγαλαυχοῦσιν, ὑποτοποῦντες ἐν ἐλάττονι μοίρᾳ τὰ ἡμέτερα κεῖσθαι. "Ἴστωσαν οὖν" ἔφη "Ῥωμαῖοι ὡς οὐδὲ ἄλλως ἀνέξομαι τῆς εἰρήνης, εἰ μήπω κατατιθέναι μέλλοιεν καὶ τὰ ὅσα πρὸς βασιλέως Ἰουστινιανοῦ ἐκομιζόμεθα χρήματα ἀν' ἔτος." τοσαύτῃ μεγαληγορίᾳ χρησαμένου Ὁρμίσδα μόλις ἀφείθησαν Ζαχαρίας τε καὶ Θεόδωρος, ἄχρι τριῶν ἤδη φθινόντων μηνῶν ἐκεῖσε ἐνδιατρίψαντες, πάντων δὲ τῶν δυσχερῶν ἐς πεῖραν ἐλθόντες· καὶ γὰρ οὐδὲ ὅσον ἀέρα καθαρὸν ἀναπνεῦσαι, οὐ μὴν προκῦψαι ἐκ τοῦ τέγους, ἵνα ἐνδιαιτώμενοι ἦσαν, ξυνεχώρουν οἷς ἡ φυλακὴ τῶν πρέσβεων ἀνειμένη ἐτύγχανε, τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ ἀδιάπνευστον καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα ἀναρμόδιον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν. τοῖς τοιοῖσδε τοίνυν δεινοῖς ἐκτετριμμένους διαφῆκαν, πολλῷ δυσκολώτερον αὖθις πρὸς τὴν ἐπάνοδον αὐτοῖς χρησάμενοι, ὡς μήτε τῶν ἀναγκαίων ἐς τὸ ἀποχρῶν σφισι μεταδιδόναι τρίβειν τε τὸν χρόνον καὶ μακροτέραν αὐτοῖς τὴν πορείαν ἐργάζεσθαι. μιᾶς γὰρ ἡμέρας ὁδὸν σφᾶς ἀγαγόντες ἐπὶ τὰ πρόσω, τῇ ἐφεξῆς δι' ἑτέρας ἀτραποῦ ἐς τοὔμπαλιν ἐπανῆγον, ἕως πολλῶν ἀναρῶν αὐτοὺς ἀναπλήσαντες, ὡς καὶ ἑκάτερον ἀμέλει νόσῳ βαρυτάτῃ περιπεσεῖν, ἐξώσθησαν τῆς Περσῶν. ἀφικομένης δὲ ταύτης τῆς ἀγγελίας παρὰ βασιλέα Ῥωμαίων καὶ παρὰ τὴν πάντων ἐλπίδα προσπεσού-

σης, οὐ γὰρ ᾠήθη πώποτε Πέρσας ἐπὶ σμικροῖς οὕτω καὶ λίαν συμμέτροις τὴν εἰρήνην μὴ προσδέξεσθαι, Μαυρικίῳ μὲν εἰκότως ἐσήμαινεν ἔχεσθαι τοῦ πολέμου κατὰ τὸν προχωροῦντα τρόπον, καὶ τὰ ἄλλα περιεσκόπει, ὡς ἂν ἀμηγέπῃ οἷός τε ἔσοιτο βοηθῆσαι τοῖς πράγμασιν. οἱ (τῷ Bekk.) δὲ τὰ μὲν ἄλλα οὐκ εἶχε κακῶς τὸ στράτευμα· καὶ γὰρ τὴν διανομὴν τῶν χρημάτων ἐπεποίητο. [Exc. de legat. p. 168—171 Par., 411—417 Niebuhr.]

[Suidas v. Μαυρίκιος· "Οὗτος δὲ προχειρίζεται 56 a. 579.
στρατηγὸς τῆς ἑῴας ὑπὸ Τιβερίου Καίσαρος. ὃς Μαυρίκιος ἐν πολέμοις μὲν καὶ ἀγῶσιν οὐκ ἐντεθραμμένος, ἔμφρων δὲ ἄλλως καὶ ἐμβριθὴς καὶ κατηκριβωμένος, ξυγκεράσας τε ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πρᾳότητα, πάσης ὑπεροψίας τε καὶ ὀφρύος ἐλεύθερα. τοιοῦτον δή τινα τὸν Μαυρίκιον ὄντα ἡ τῶν πραγμάτων ἡγεμονία παραλαβοῦσα ἀνέδειξέ πως εὐκλεέστερον τῇ πείρᾳ."

Nonnulla horum repetuntur v. ὄγκος. Menandri locum esse coniecit Valesius.]

"Ὅτι πολιορκούντων Ῥωμαίων τὸ Χλωμάρων, καὶ 57 a. 580 Tiberii 3.
προσβολὰς ἐν κύκλῳ ποιουμένων, τάς τε ἑλεπόλεις μηχανὰς περιστησάντων, πρός δέ γε καὶ ὑπονόμους ἔνερθεν ὑπορυττόντων ἐς τὸ ἀφανές, στέλλει Βιγάνης ὡς Μαυρίκιον τὸν τοῦ φρουρίου ἀρχιερέα· Χριστιανοὶ γὰρ ἦσαν οἱ τῆς Ἀρζανηνῆς ἅπαντες. αὐτῃ τοι, ὡς αἰδοῦς ἀξιωθησόμενον πρὸς Ῥωμαίων Χριστιανῶν ὄντων τὸν προεστῶτα τῶν ἱερῶν τοῦ Χριστοῦ, ἱκετεύειν ἐπέτρεψε τῷ μυσταγωγῷ, εἰληφότας ὁπόσος ἦν αὐτοῖς χρυσός τε καὶ ἄργυρος ἀπαναστῆναι καὶ μὴ πέρα πονεῖν. οὔτε γὰρ ἐνδώ-

Ὅτι εἰπὼν περὶ τῶν ὀκτακοσίων λευκῶν ἱ
τῶν ὑπὸ Ἀζαρέφθου ἁλόντων καὶ ἐς θρίαμβον ἀ
των φησὶν ὁ ἱστορικὸς Μένανδρος· "Ταῦτα
ἀβουλία καὶ ἡ καταφρόνησις ἡλίκα κατειργ
κακὰ παραστῆσαι βουλομένῳ λέλεκται, καὶ ὡς ὁ
ἡνίκα ἂν οὐ ξυνεπιλαμβάνηται, καὶ τὰ δοκοῦν
βεβουλεῦσθαι περιάγεται ἐς τοὐναντίον, καὶ ὡς
χαλεπὸν καὶ πολιτείαν διαφθεῖραι δυνάμενον τ
ὑπηκόων ἀνήκοον. Μαυρίκιος μὲν γὰρ ὁ τῶν
μαίων στρατηγὸς εὖ βεβουλευμένος, καὶ καθ'
οἷόν τε ἦν ἀνθρώπῳ προέγνω τὰς ἀδήλους τῶν
ξεων ἀποβάσεις, τῇ δὲ τῶν ἄλλων στρατηγῶν ἀκ
τῷ μὴ φυλάξαι τὰ πρὸς αὐτοῦ εἰρημένα τε καὶ
εγγυηθέντα ἐς ἔσχατον κινδύνου τὰ Ῥωμαίων
πράγματα. καὶ οὐχ ἡ σταλεῖσα μὲν πρὸς τοῦ ἡ
νος κατά τε τὸ Δούβιον καὶ Ἰβηρίαν ταῦτα ἐδ
χησε στρατιὰ μόνον, αὐτὸς δὲ ὁ Μαυρίκιος ἀ
κακῶν ἔμεινεν, [ἀλλὰ] κἀκεῖνος εἰς τελευταίας
λίσθησεν ἐλπίδας, ὅμως διεσώθη μόγις."

Ὅτι ἡ τῶν προσδοκηθέντων ἀνάγκη τὸν
δοκῶντα ῥαθυμότερον διατίθησιν. [Exc. de se
(cod. p. 321) p. 362, 363 Mai., 434—436 Niebuh

60 Ὅτι παρεσκευάζετο ὁ Τιβέριος διαλῦσαι τὸν
Πέρσας πόλεμον. τοιγαροῦν οὕτως ἀρέσαν τῷ
λεῖ, ἀφίησιν ἐπὶ τούτῳ Ζαχαρίαν ἐν τοῖς Ῥω
τε καὶ Περσῶν μεθορίοις πρεσβευσόμενον καὶ
ὃν δὴ καὶ πολλάκις ἐπὶ ταῖς τοιαύταις ἐχειροτ
χρείαις. ὁ δὲ ἀφικόμενος, καὶ δῆλον καταστήσ
ᾧ ἐποιήσατο ὡς Πέρσας τὴν ἄφιξιν, ὁ μὲν ὑπ
ἐν τούτοις, βασιλεὺς δὲ Περσῶν ἐκπέμπει Ἀν
οὗτος δὲ ἀνὴρ κατὰ τοσοῦτον ἐχέφρων τε ἦ
πράγμασι πλείστοις ὁμιλήσας, καθ' ὅσον τε

ἐπὶ μακρότατον καὶ τὰ τοῦ χρόνου ξυνέβαινεν ἐπισφραγίζοντι τῷ πάνυ γηραλέῳ τὸ νουνεχές. ἐπειδὴ δὲ συνηλθέτην ἀγχοῦ τῆς πόλεως τοῦ Δάρας ξὺν τοῖς καὶ οἱ τῶν ἐκείνῃ πόλεων Ῥωμαίων τε καὶ Περσῶν ἡγεμόνες, οἱ μὲν δὴ ἐξηρτύοντο ἕκαστοι διαλεχθησόμενοι περὶ τοῦ ὅπως δέον καταθέσθαι τὸν πόλεμον· ὁ δέ γε τῶν μεθορίων λεγόμενος προτήκτωρ, δηλοῖ δὲ παρὰ Ῥωμαίοις τὸν ἐς τοῦτο καταλεγόμενον ἀξίας, τὸν βασίλειον προσκεπαστήν, οὗτος δὴ οὖν κατεσκεύασε καλύβας, ἐν αἷς ἔμελλον ἑκατέρας πολιτείας πρέσβεις τὰ εἰρημένα διασκέπτεσθαι· τοῦτο γὰρ τὸ λειτούργημα ἄνωθέν τε καὶ ἐξ ἀρχῆς τῷ προτήκτορι ἐπιτέτραπται. παρασκευασθέντων οὖν τῶν τοιῶνδε ἐνδιαιτημάτων, καὶ γενομένων ἐν τῷ αὐτῷ τοῦ Ἀνδίγαν τε καὶ Ζαχαρίου καὶ τῶν τῆς περιοικίδος ἀρχόντων, τοῦ μὲν Ἀνδίγαν τὴν συνέλευσιν ποιουμένου ἐκ τοῦ Δάρας, Ζαχαρίου δὲ ἐκ τοῦ Μάρδις, καὶ αὖθις οὐχ ἧττον ταῖς αὐταῖς χρωμένων δικαιολογίαις, αἷσπερ καὶ ἐν ταῖς προτέραις πρεσβείαις· καὶ τῶν μὲν Περσῶν βουλομένων κομίζεσθαι ἀπὸ Ῥωμαίων τὰ ὅσαπερ ἐκ πλείστου χρόνου εἰώθεσαν χρήματα τὰ διομολογηθέντα ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων, πρὸς τούτοις ἔχειν καὶ τὸ Δάρας, τῶν δὲ δὴ Ῥωμαίων ἐξ ἐναντίας ἀπισχυριζομένων ὥστε μηδὲν κατατιθέναι μήτε μὴν ὥσπερ τιμήματός τινος πρίασθαι τὴν εἰρήνην, ἀλλὰ γὰρ καὶ ἀνασώσασθαι ἀπὸ Περσῶν τὸ Δάρας, ἀντάλλαγμα μέντοι παρέχοντας τὴν ἐξ ἀρχῆς Περσαρμενίαν τε καὶ Ἀρζανηνὴν ἄνευ τῶν ἀμφοτέρας χώρας οἰκητόρων τῶν ὅσοι τῇ Ῥωμαίων προσεχώρησαν πολιτείᾳ, — πλείστων οὖν, ὥσπερ εἰκός, ἐπὶ τηλίκῳ πράγματι προενηνεγμένων λόγων καὶ ἥκιστα εἰς ἔργον ἀχθέντων, μήτε μὴν τῇ

συμφωνίᾳ ἀμφοῖν τοῖν μεροῖν ξυμβαινόντων ἀ
λοις, τὸν Ἀνδίγαν παρακρούσασθαι Ζαχαρίαν ι
τοπήσαντα ἐφ' ᾧ θέσθαι συνθήκας οὐκ ἐς τὸ
πρεπές, ἀλλὰ γὰρ πάντῃ ἀσυμφόρους τῇ Ῥωμι
ἀρχῇ, φάναι λέγεται τοιάδε· "τείχη καὶ πύλαι,
εἴ τι τοιοῦτον, ὦ ἄνδρες, φυλακτήριον, φυλάτ
μέν, ὡς εἰκός, δυνήσεται καὶ πόλιν καὶ πολιτ
ὅλην· ἐν οἷς δὲ τυγχάνουσιν οἱ τούτοις περιπεφρα
νοι, κρύπτειν οὐ ῥᾴδιον. φήμη γὰρ ἀεὶ χειρο
τὰ πράγματα, καὶ τὰ δοκοῦντά πως ἄδηλα καθει
ναι προτίθησι ταῖς ἀκοαῖς, ὥσπερ ἐπ' ἀγορᾶς
φανερῷ τῷ βουλομένῳ πρίασθαι ὤνια. τοιγαρ
καὶ ἡμεῖς ἐξεπιστάμεθα τὴν Ῥωμαίων ἀρχὴν π
μοις ἀντερείδουσαν πλείστοις, καὶ πολλαχόσε
οἰκουμένης ὅπλα κινοῦσαν καὶ τῇ δυνάμει μεμερι
νην σχεδὸν ἐφ' ἑκάστῳ βαρβάρῳ γένει, καὶ τὴν ι
ἡμᾶς πολιτείαν οὐκ ἀπὸ τρόπου Ῥωμαῖοι γιγνώσκ
μηδενὶ τῶν πάντων ἀνθρώπων νῦν πολεμοῦσα
Ῥωμαίοις μόνοις. ὡς οὖν ὑμῶν μὲν πολλοῖς ἔθ
μαχομένων, ἡμῶν δὲ μόνοις ὑμῖν, οὕτω καὶ
ξυνθήκας ἀνάγκη διατιθέναι. βέβαιον γὰρ ἂν γέν
Ῥωμαίοις τε τὸ περιεῖναι καὶ πρὸς πολλὰ διαγωι
μένοις ἔθνη καὶ πρὸς μίαν τῶν Περσῶν πολιτε
καθάπερ καὶ ἡμῖν ἐν βεβαίῳ γενήσεται τὸ κρα
πρὸς οὐδένα τῶν ἄλλων ἢ πρὸς Ῥωμαίους μόι
ἔχουσι τὴν διαφορὰν καὶ τῷ πρὸς ἕνα καὶ τὸν α
παρατάττεσθαι πόλεμον." ταῦτα ἐπεὶ ἔλεξεν ὁ
δίγαν, ἀκηκοότα Ζαχαρίαν λέγεται ὑπομειδιᾶσαι
ὧδε εἰπεῖν· "εὖ σοι γένοιτο, ὦ Ἀνδίγαν, καὶ Πι
πεφυκότι καὶ μαρτυροῦντι Ῥωμαίοις τῆς ἀνδρείας
παρατρώσαντι τὴν ἀλήθειαν οὐδαμῶς. εἰ γὰρ μὴ
ἔφης, ἡ Ῥωμαίων περιεσπᾶτο δύναμις, καὶ τὴν πι

χειρίαν τοῦ κατ' αὐτὴν στρατοῦ κατὰ πολλὰ τῆς οἰκουμένης ἐξέτεινεν ἔθνη, καὶ ὡς ἐγεφύρωσε τῇ δυνάμει τὴν θάλατταν καὶ τὰς ἠπείρους ἔζευξε τῷ πανταχοῦ παρεῖναί τε καὶ περιεῖναι, τί ἂν οἴει πεπονθέναι Πέρσας ἢ ἐπὶ πόσον ἀντισχεῖν τῷδε τῷ πολέμῳ; οἶμαι μὲν οὖν ἔγωγε καὐτό γε δήπου τοὔνομα συμφθαρῆναι Πέρσαις, καὶ μόνῳ νικῆσαι τῷ μηδέποτε φέρεσθαι τῇ μνήμῃ." τούτων Ζαχαρίᾳ εἰρημένων ὁ Ἀνδίγαν τῇ σιγῇ ἐδήλωσε τὸ νενικῆσθαι τῷ λόγῳ. τοιαῦτα μὲν οὖν ἄμφω διελεγέσθην. ἐν τοσούτῳ δὲ ὁ Ταγχοσδρώ, Περσῶν στρατηγός, ἅμα τῇ Περσικῇ στρατιᾷ ἐς τὰ ἱππάσιμα τὰ περὶ τὴν Νίσιβιν ἐστρατοπεδεύετο κατὰ τὸν Μυγδόνιον ποταμόν. Μαυρίκιος δὲ χαρακώσας ὑπῆρχε τὰς ἀμφ' αὑτὸν δυνάμεις ἐν τῷ δὴ λεγομένῳ Μονόκαρτον, ἐν ἀγχιθύρῳ Κωνσταντίνης τῆς πόλεως. ἔστι γὰρ δήπου τὰ περὶ τὸ Μονόκαρτον ἅπαντα ἔνυδρά τε καὶ ἱππόβοτα καὶ στρατῷ ἐνσκηνώσασθαι ἀγαθά. οὕτω μὲν οὗτοι ἀπεταφρεύοντο. ἀτὰρ ὁ Ἀνδίγαν ἔτι ξυνεστώσης τῆς ἐκκλησίας ἐχρᾶτο καὶ πτοίαις τισὶ καὶ φενακισμοῖς, Ζαχαρίᾳ ὑποδηλῶν ὡς αὐτὸς εἴη μόνος ὁ διακωλύων τὸν Ταγχοσδρὼ τὴν Ῥωμαϊκὴν γῆν κατασεῖσαι ἅπασαν. τυχὸν γὰρ ἐν ᾧ διαλεγόμενος ἦν ἀνεφαίνετό τις τούτων δὴ τῶν ἐς τάχος ἱππαζομένων τε καὶ τὰς ἀγγελίας τῷ τάχει τῶν ἵππων διακομιζόντων, πλαττόμενος ἐκ τοῦ Ταγχοσδρὼ ἐστάλθαι. καὶ δὴ τὸν Ἀνδίγαν ἰδίᾳ λαμβάνων ἐνεχειρίζετό οἱ ἐπιστολήν, ἐν ᾗ ἐνεφέρετο ὡς Ταγχοσδρὼ δῆθεν γεγραφότος, οἷα ἀκαθέκτου οὔσης τῆς Περσῶν στρατιᾶς, μάλα τε ὁρμώσης καὶ δὴ ἐμβαλεῖν ἐς τὴν Ῥωμαϊκήν. τοιαῦτα ψευδομένης τῆς ἐπιστολῆς, συνεψεύδετο τοῖς γεγραμμένοις καὶ ὁ κονιορτός, ὃς τῷ ἀγγελιαφόρῳ, ἅτε ἄρτι ἀφιγμένῳ

ἐκ τῆς ὁδοιπορίας, συμπεπλασμένος τε καὶ πολὺς περὶ τὴν κόμην ὑπῆρχεν. ἅμα δὲ κι δίγαν διαλεγόμενος τῷ ἤθει ὑπεκρίνετο, καὶ κινήσει τοῦ σώματος ὑπεφαίνετο οἷα μὴ ἐ πολέμου. τὸ μετὰ ταῦτα κατὰ δὴ τὸν ἑαυτὸν ἀναμιγνύς, ἔφασκε Ζαχαρίᾳ ὡς ε ὑπὸ τοῦ Ταγχοσδρῶ καὶ ὡς ἐσήμηνέν οἱ τ θυμίαν τοῦ στρατοῦ εἶναι ἀφόρητον ἐγχαλ τε ἀδύνατον, τοῦτο μὲν ἐν πολλαῖς μυρια σταμένης τῆς Περσικῆς δυνάμεως, τοῦτο ἐ τὰ μάλιστα ἱεμένης τὴν Ῥωμαίων ἅπασα παραυτίκα πυρπολήσειν, καὶ ὡς, εἰ μὲν ἕλοιντο, καθ' ὃν ἂν βούλοιντο τρόπον Πέρ πεδῶσαι τὰς σπονδάς, ἀφέξεσθαι τῶν ὅπλο γε οὐ βούλοιντο, ξυγχωρήσειν αὐτῷ ἐμβαλε χρῆμα ἐς τὴν ἑῴαν Ῥωμαίων· οὐδὲ γὰρ αὐτοὺς κἂν γοῦν τὸν κτύπον τῶν φαρετ Περσικοῦ ἀκούσεσθαι πλήθους. ἄλλως τε ναι τὴν τοῦ κατ' αὐτοὺς βασιλέως ὀργὴν ἐ τοσόνδε ἀναβαλλομένους τὸν πόλεμον. οὕτω ὁ Ἀνδίγαν δολερώτατά τε καὶ ἀλαζονικώ κόμπῳ χρησάμενος τῶν ῥημάτων ἐπλάττει μὴ προσίεσθαι τοῦ πολέμου τὸ αὐτεξούσιον δὲ καὶ Ζαχαρίας τὸ ἀπατηλὸν τῶν εἰρημέ τὴν κομπολογίαν παραπέτασμα εἶναι τοῦ "ὦ Ἀνδίγαν" ἔφη "οὐκ ἐν τῷ ἀπατᾶν τὸ δηλοῦται, μάλιστα τοῦ ἀπατωμένου ξυνει γὰρ οἴει με μὴ ἐξεπίστασθαι ὡς πλάσματα ὑπὸ Περσῶν πρασσόμενά τε καὶ λεγόμενα κ ἕτερον ἢ δόκησις καὶ ἀποσκιάσματα καὶ φε καὶ ὡς σὺ αὐτὸς ἅπαντα ταῦτα ἐδραματο ἐννοῶν ἐκφοβήσειν Ῥωμαίους; ὡς ἂν οὖν βι

ρεστόν σοι εἴη, ἐφίημι ποιεῖν. πλὴν εὖ ἴσθι ὡς ν ἀρχαῖς τοῦδε τοῦ πολέμου Ῥωμαίοις τὸ ὁπλοφο-εῖν φορτικώτατόν τι ἐφαίνετο· ὥστε ἀμέλει καὶ ἱκε-είαις ἐχρώμεθα ὡς ὑμᾶς μὴ ἀναγκασθῆναι σφᾶς πιλαβέσθαι ὅπλων. κατὰ τοσοῦτον γὰρ ἐς τὸ ἀπό-εμον ἐπιρρεπέστατα εἶχον ὡς καὶ ἄχρι Ἀπαμείας λάσαι Πέρσας, καὶ μὲν οὖν ἄχρι αὐτῆς γε δήπου Ἀντιοχείας. ὑμῶν τε πρὸς ταῦτα μὴ ὑποχαλασάντων, ἀφ' οὗ ἠσπάσαντο Ῥωμαῖοι τὸ ἐθελοκίνδυνον, οἶμαι μὴ ἀγνοεῖν Πέρσας ὡς οὐδὲ μέχρι αὐτῶν τῶν μεθορίων ἀναιμωτὶ οἷοι ἐγένεσθε ἀφικέσθαι. νῦν γοῦν πεπαιδευμένων ἀκριβῶς Ῥωμαίων τὸν πόλεμον θαρραλέοι τέ ἐσμεν καὶ εὐέλπιδες ὡς, εἴ γε κινήσοι ὁ Ταγχοσδρώ, ὑπαντιάσειν οἱ ἐν αὐτοῖς γε δήπου τοῖς ὁρίοις δόρυ Ῥωμαϊκὸν εὖ μάλα τεθηγμένον, διατιτρᾶν τὰς λαπάρας οἷόν τε ὂν αὐτοῦ. ὡς οὖν εὖ ἐξεπισταμένων Ῥωμαίων τοὺς Περσῶν δόλους, πρᾶττε οὕτω." τούτων οὖν καὶ ἑτέρων πλείστων εἰρημένων μέν, μάτην δὲ ὅμως, προῆλθε γὰρ οὐδὲν ὁτιοῦν, τότε τῷ Μαυρικίῳ ἐν γράμμασι δηλοῖ Ζαχαρίας ἀφικέσθαι ἐς τὰ πρὸ Κωνσταντίνης πεδία, οἷα δὴ ἐκεῖσε τὸν πόλεμον ξυγκροτήσοντι. ὡσαύτως δὲ καὶ ὁ Ταγχοσδρὼ κινήσας τὰ Περσικὰ στρατεύματα ἐπαγόμενος ᾔει ἐς τὰ περὶ Κωνσταντίνην. [Exc. de legat. p. 171—174 Par., 417—423 Niebuhr.]

Ὅτι φήμη ἀεὶ χειροῦται τὰ πράγματα, καὶ τὰ 61
δοκοῦντά πως ἄδηλα καθεστάναι προτέθεικε ταῖς ἀκοαῖς, ὥσπερ ἐπ' ἀγορᾶς ἐν φανερῷ τῷ βουλομένῳ πρίασθαι ὤνια.

... ἠλλάξατο τοῦ πονεῖν βίον τινὰ α.... μενόντων φησὶ καὶ τοῦ ἐνδοξοτέρου τὸ ἄδοξον.

῞Οτι οὐκ ἐν ῥώμῃ σώματος, ἀλλ' ἐν ἀνδρείᾳ ψυχῆς ἡ τοῦ πολέμου ῥοπὴ κινδυνεύεται.

῞Οτι οὐδὲν οὕτω ῥᾳστώνης καὶ τρυφῆς καὶ ἀναπαύλης ὡς κίνδυνοι καὶ πόνοι καθεστήκασιν οἰκεῖοι. πόνος μὲν γὰρ (τοῖς) τῶν προκτηθέντων ἀπολαύουσιν, ὥσπερ ταμιεῖόν τι τῆς εὐκλείας καθέστηκε· τρυφὴ δ' ἄνευ τοῦ προπαιδεύεσθαι πόνοις τοῦ κάκιστα ζῆν ἡγεμών· ἔστι δὲ (ἐνίοτε δὲ vel ut Bekk. ἔστιν ὅτε) καὶ αὐτοῦ τοῦ ζῆν μετὰ τῆς ἀδοξίας ἀπαλλαγή.

῞Οτι Ταγχοσδρῷ ἐβλήθη ὑπό τινος ὀλεθρίαν τινὰ πληγήν. καὶ ἔμοιγε οὐκ ἀπότροπον (ἀπὸ τρόπου B.) φαίνεται τὸ τοιόνδε τι γενέσθαι· ἐργάτις γὰρ τῶν τοιούτων ἡ τύχη. πολλοὶ γὰρ πολλάκις τῶν λίαν εὐδοκίμων ὑπὸ ἀδοκίμων ἐσφάλησαν, καὶ φύσει τινὶ τὰ παράδοξα τῷ ἀνθρωπείῳ συμπεριφέρεται γένει.

῞Οτι ὁ Μαυρίκιος ἡττηθεὶς ὑπὸ Περσῶν μεγίστῃ κατείχετο ἀνίᾳ· οἷς γὰρ παρ' ἐλπίδα τι ἀποβαίνει, καὶ ἐν μὲν τῷ καιρῷ τῆς πράξεως ἀνθέλκονται τῇ τοῦ περισσεύεσθαι ἀνάγκῃ, παρὰ πάσης δὲ τῆς τιμῆς (φιλοτιμίας Herw.) τοῦ ἔργου ἐν ἡσυχίᾳ γενόμενοι τὸ λοιπὸν ἀθυμότατα διατελοῦσιν ἄρα λογιζόμενοι... (ἀναλογιζόμενοι Herw.) καὶ τῆς ἐλπίδος ἐξέπεσον· καὶ Μαυρίκιος οὐδὲ (οὐδὲν γὰρ Herw.) δεῖ δὴ αὐτῶν σιωπᾶν, ὧν ἧττον (ὧν ἥττων Herw.) [Exc. de sentent. (cod. p. 322) p. 363, 364 Mai., 436—437 Niebuhr.]

62 ῞Οτι Ἰταλία ὑπὸ τῶν Λογγιβάρδων σχεδὸν ἅπασα
580. ἐπεπόρθητο. διὸ δὴ καὶ ἐκ τῆς συγκλήτου βουλῆς τῆς πρεσβυτέρας Ῥώμης ἅμα ἱερεῦσιν ἐκ τοῦ προεστῶτος ἐν Ῥώμῃ τῶν ἱερῶν πεμφθέντων τινῶν, παρεγένοντο πρεσβευόμενοι ὡς τὸν αὐτοκράτορα τοῖς ἐκεῖσε μέρεσιν ἐπαρκέσαι. ἀλλ' ὁ Περσικὸς πόλεμος ἐν Ἀρμενίᾳ τε κατὰ ταὐτὸν καὶ ἐς τὰ

ερὶ τὴν ἑῴαν ξυνεστηκώς τε καὶ οὐκ ἀπολήγων, ἄλλον μὲν οὖν ἐπὶ τὰ μείζονα δυσχερῆ ἐκτεινόμεος, οὐδεμίαν ἀξιόλογον συνεχώρησε στρατιάν τε τὸν ὐτοκράτορα, οὐδὲ μὴν ἀποχρῶσαν τοῖς ἐκεῖσε πράγασι δύναμιν στεῖλαι. ὅμως δὲ καὶ ἐκ τῶν παρόντων ε καὶ ἐνδεχομένων στράτευμα ξυναγείρας ἔστελλεν βασιλεύς, καὶ τὴν ἄλλην ἐτίθετο ἐπιμέλειάν τε αὶ σπουδήν, εἴ πώς τινας τῶν ἡγουμένων τοῦ Λογιβάρδων ἔθνους δεξιώσεται δώροις ὑποπείθων καὶ ιεγίστας ἐπαγγελλόμενος χάριτας, ἤδη τε πλεῖστοι ῶν δυνατῶν μετετίθεντο ὡς Ῥωμαίους, τὴν ἐκ τοῦ ὐτοκράτορος ὠφέλειαν προσδεχόμενοι. [Exc. de legat.). 126 Par., 331—332 Niebuhr.]

Ὅτι Βαϊανὸς ὁ τῶν Ἀβάρων Χαγάνος οὐδεμιᾶς 63 ἀφορμῆς ἢ σκήψεως λαβόμενος, οὐδὲ ψευδῆ γοῦν a. 580. κατὰ Ῥωμαίων αἰτίαν ἀξιώσας τινὰ συνθεῖναι, ἀλλὰ γὰρ καὶ κατὰ τόδε ὁμοίως τὸ ἔτος Ταργίτιον πρὸς βασιλέα στείλας, ὡς τὰ συνταχθέντα κομίσαιτο τῶν χρημάτων, ὀγδοήκοντα δὲ χιλιάδες ὑπῆρχον εἰς ἔτος ἕκαστον νομισμάτων, ἐπειδὴ τόν τε ἄλλον φόρτον, ὃν ἐκ τῶν χρημάτων ἐνεπορεύσατο, καὶ τὸ χρυσίον ἔχων ἐπανῆκεν ὡς αὐτόν, ἐκεῖνος ἀναισχυντότατα καὶ βαρβαρώτατα ἄφνω παραλύσας τὰς συνθήκας, ἐς πρὸς Τιβέριον τῆς Καίσαρος ἐπιβάντα τύχης εὐθὺς ἐν ἀρχαῖς ἐποιήσατο, καὶ πανστρατιᾷ κινήσας ἀφικνεῖται κατὰ δὴ τὸν Σάον ποταμόν, μεταξὺ Σιρμίου πόλεως καὶ Σιγγηδόνος, καὶ γεφυροῦν ἐπεχείρει τὸν ῥοῦν, ἐπιβουλεύων μὲν Σιρμίῳ τῇ πόλει καὶ παραστήσασθαι ταύτην βουλόμενος· δείσας δὲ μὴ διακωλυθείη πρὸς τῶν Ῥωμαίων τῶν ἐπιφυλαττόντων ἐν Σιγγηδόνι καὶ τὴν ἐκ πολλοῦ τοῦ χρόνου πεῖράν τε καὶ ἐπιστήμην ἐν ταῖς τοῦ ποταμοῦ ναυ-

σὶν ὑπιδόμενος, βουλόμενός τε πρὸ τοῦ τὴν βουλὴν ἐς τὸ φανερὸν ἐκπεσεῖν τὸ ἐγχείρημα τελεώσασθαι, πλοῖα συναγείρας κατὰ τὴν ἄνω Παννονίαν εἰς τὸν Ἴστρον πολλὰ βαρέα, καὶ οὐ κατὰ λόγον τῆς ναυπηγικῆς τέχνης, ὅμως ἐκ τῶν ἐνόντων μακρὰς συμπηξάμενος στρατιώτιδας ναῦς, καὶ πολλοὺς ἐν αὐταῖς ἐπιβιβάσας ὁπλίτας ἐρέτας τε, οὐ κατὰ κόσμον, ἀλλὰ βαρβαρικῶς τε καὶ ἀνωμάλως ταῖς κώπαις τύπτοντας τὸ ὕδωρ, κινήσας ἀθρόον ταῖς τε ἐπακτρίσι κατὰ τὸν ποταμόν, καὶ αὐτὸς μετὰ πάσης τῆς Ἀβάρων στρατιᾶς πεζῇ διὰ τῆς Σιρμιανῆς πορευόμενος νήσου, παραγίγνεται κατὰ τὸν Σάον ποταμόν. διαταραχθέντων δὲ τῶν ἐν ταῖς πόλεσι ταύταις Ῥωμαίων καὶ τὸ ἐγχείρημα συννοησάντων, τοῦ τε ἐν Σιγγηδόνι στρατηγοῦ, Σήθου τοὔνομα, στείλαντος πρὸς τὸν Χαγάνον καὶ ἐπερωτῶντος ὅ,τι δὴ καὶ βουλόμενος εἰρήνης βεβαίας τε καὶ φιλίας συνεστώσης αὐτῷ τε καὶ Ῥωμαίοις πρὸς τὸν Σάον ἀφίκετο ποταμόν, ἅμα δὲ λέγοντος ὡς οὐ περιόψεται γεφυροῦν ἐπιχειροῦντος αὐτοῦ τὸν ποταμόν, οὐκ ἐπιτρέποντος ὅλως τοῦ αὐτοκράτορος· οὐ κατὰ Ῥωμαίων τι μηχανώμενος ἔφη βούλεσθαι πηγνύναι τὴν γέφυραν, ἄλλως δὲ κατὰ Σκλαβηνῶν χωρεῖν, καὶ διαπεραιούμενος τὸν Σάον ἐπιβαίνων τε ἐς τὴν Ῥωμαίων αὖθις τὸν Ἴστρον διαβήσεσθαι κατ' αὐτῶν, πλοίων αὐτῷ πολλῶν παρὰ τοῦ Ῥωμαίων αὐτοκράτορος ἐς τὴν διάβασιν παρασκευαζομένων. τοῦτο γὰρ δὴ καὶ πρότερον πρὸς χάριν τοῦ Ῥωμαίων βασιλέως πρᾶξαι, καὶ πολλὰς αἰχμαλώτων μυριάδας ἐκ τῆς Ῥωμαίων γῆς Σκλαβηνοῖς δεδουλωμένων ἐλευθέρας αὖθις Ῥωμαίοις ἀποδοῦναι. νῦν δὲ ὑβρίσθαι μὲν ἔλεγε πρὸ αὐτῶν οὐ βουλομένων τὸ συνταχθὲν τηνικαῦτα τέλο

παρὰ σφῶν καθ' ἕκαστον ἔτος ἐπ' αὐτὸν κατατιθέναι· καὶ πρέσβεις δὲ Ἀβάρων σταλέντας πρὸς αὐτῶν ἀνῃρῆσθαι. διὰ ταῦτά τε ἥκειν ἐς τὸν Σάον, καὶ ἐπὶ τούτῳ πρέσβεις ἐκέλευσε δέξασθαι παρ' αὐτοῦ τὸν Σῆθον σταλησομένους δι' αὐτοῦ ὡς τὸν αὐτοκράτορα, καὶ αἰτήσοντας παρασκευάσαι κατὰ τὸν Ἴστρον αὐτῷ τὰ πλοῖα διαπεραιοῦσθαι μέλλοντι κατὰ Σκλαβηνῶν. ὀμνύειν τε ἔλεγεν ἔχειν ἑτοίμως τοὺς νομιζομένους μεγίστους παρά τε Ἀβάροις καὶ Ῥωμαίοις ὅρκους, ὡς οὐδεμίαν τινὰ κατὰ Ῥωμαίων ἢ κατὰ τῆς Σιρμίου πόλεως μηχανώμενος βλάβην, ἀλλ' ἐπὶ τῇ τοῦ ἔθνους τῶν Σκλαβηνῶν ἐφόδῳ τὴν γέφυραν βούλοιτο πήξασθαι. ταῦτα οὐ πιστὰ μὲν οὔτε Σήθῳ αὐτῷ οὔτε τοῖς ἐν Σιγγηδόνι ἐδόκει Ῥωμαίοις. ὅμως δὲ οὔτε παρασκευὴν ἱκανὴν ἔχειν οἰόμενοι, στρατιωτῶν τε ὀλίγων αὐτοῖς παρόντων καὶ δρομάδων νεῶν πολλῶν οὐ παρουσῶν, οἷα τῆς κινήσεως ταύτης ἐξαίφνης τε καὶ ἀπροσδοκήτως γενομένης, ἅμα τε τοῦ Χαγάνου διαπειλεῖν ἀρξαμένου καὶ διαμαρτύρασθαι, ὡς αὐτὸς μὲν ταῖς πρὸς Ῥωμαίους συντεθειμέναις αὐτῷ περὶ τῆς εἰρήνης ἐμμένοι συνθήκαις, κατὰ δὲ τῶν ἑαυτοῦ τε καὶ Ῥωμαίων πολεμίων Σκλαβηνῶν χωρῶν οὐκ ἀφέξεται τοῦ ἔργου τῆς γεφυρώσεως· εἰ δέ τις θαρρήσοι Ῥωμαίων ἓν γοῦν ἀφεῖναι βέλος κατὰ τῶν ἐπιχειρούντων πηγνύναι τὴν γέφυραν, γιγνώσκειν αὐτοὺς ὡς αὐτοὶ τῆς αἰτίας τῆς τῶν σπονδῶν ἤρξαντο καταλύσεως, καὶ τὸ ἐντεῦθεν, ἅτε ἐκπολεμώσαντας αὐτοὺς τὸ Ἀβάρων ἔθνος, μὴ μέμφεσθαι ὅ,τι ἂν παρ' αὐτῶν ἡ Ῥωμαίων ἡγεμονία πάθῃ. ταῦτα δείσαντες οἱ ἐν Σιγγηδόνι τοὺς ὅρκους γοῦν αὐτὸν ὀμνύναι προυκαλοῦντο. καὶ ὃς παραυτίκα τούς τε Ἀβαρικοὺς ὤμνυεν

ὅποι δὴ καὶ τῆς ἐφόδου τὴν ἔννοιαν ἔχοιεν, κα ταύτην δήλην ποιήσειν τῷ Χαγάνῳ. ταῦτα οὐκ ἔλαθ τὸν τῶν Ἀβάρων πρεσβευτὴν ἐξεπίτηδες πρὸς το βασιλέως συμπεπλασμένα, καὶ ὡς τὸν ἀπὸ Τούρκω αὐτοῖς προβαλλόμενος φόβον ἐφέξειν ἤλπιζε τῆς ἐπι νοίας αὐτούς. ἔδοξε δ' οὖν πείθεσθαι, καὶ συνετί θετο πάντως ἐπισχήσειν τὸν Χαγάνον. ἦν δὲ οὗτο ὁ μάλιστα ἐνάγων αὐτὸν ἀεὶ καὶ παροτρύνων ἐς τὸν κατὰ Ῥωμαίων πόλεμον. καὶ οὗτος μὲν δῶρα, ἐφ' οἷς ὑπέσχετο, πολλὰ κομισάμενος ἐξώρμησε τῆς βα- σιλίδος· καὶ συνέβη κατὰ τὴν Ἰλλυριῶν αὐτὸν ὁδο- δεύοντα μετὰ τῶν προπεμπόντων ὀλίγων Ῥωμαίων πρὸς τῶν κατατρεχόντων τὴν χώραν Σκλαβηνῶν ἀναιρεθῆναι. οὐ πολλαὶ δὲ διέδραμον ἡμέραι καὶ παραυτίκα ἕτερος ἧκεν ἐκ τοῦ Χαγάνου σταλεὶς ἐς τὴν βασιλίδα πρεσβευτής, Σόλαχος τοὔνομα, ὃς εἰσόδου πρὸς βασιλέα τυχὼν φανερώτατα ἤδη καὶ μετὰ γυμνῆς τῆς ἀναιδείας ἔφη ὧδε· "ὡς ὁ Σάος μὲν ἤδη διαπέφρακται ποταμὸς γεφυρωθεὶς ἠλίθιόν τι νομίζω διαβεβαιοῦσθαι· τὸ γὰρ προδηλότατον ἐν εἰδόσι λέγειν ψόγος τῷ λέγοντι, καὶ οὐδεμία μηχανὴ Ῥωμαίους ἐπαρκέσαι Σιρμίῳ τῇ πόλει, μήτε τροφῆς μήτε μὴν ἑτέρας τινὸς βοηθείας διὰ τοῦ ποταμοῦ τὸ λοιπὸν ἐς αὐτὴν ἐσπλευσομένης, πλὴν εἰ μὴ τοσαύτη Ῥωμαίων ἀφίκοιτο πληθὺς ὡς δυνάμει καὶ βίᾳ τήν τε τῶν Ἀβάρων ἀπελάσαι στρατιὰν καὶ διαλῦσαι τὴν γέφυραν." χρῆναι γοῦν τὸν αὐτοκράτορα μηδαμῶς ἐκπολεμῶσαι μιᾶς ἕνεκα πόλεως εὐτελοῦς, μᾶλλον δὲ χύτρας, ταύτῃ γὰρ αὐτῇ δήπουθεν ἐχρήσατο τῇ λέξει, Ἀβάρους τε καὶ τὸν τῶν Ἀβάρων Χαγάνον, ἀλλ' ἐξαγαγόντα σῴους ἅπαντας τοὺς ἐν αὐτῇ στρα- τιώτας τε καὶ οἰκήτορας, οὐ μὴν ἀλλὰ καὶ ὅσα ἐστὶν

ς τῶν φέρεσθαι δυναμένων κτημάτων, παρα-
ιαι τῷ Χαγάνῳ τῆς πόλεως, γυμνῆς τε καὶ
υ τὸ λοιπὸν καθεστώσης. δεδοικέναι γὰρ αὐ-
ὴ νῦν μὲν ταῖς τῆς εἰρήνης ἐμμένειν προσ-
ιτο Ῥωμαῖοι συνθήκαις, μέχρι τὸν κατὰ Περσῶν
ἰντο πόλεμον, διαθέμενοι δὲ μετέπειτα παν-
ιᾷ κατὰ Ἀβάρων χωρήσοιεν, ἑτοιμότατον ἐπι-
μα ταύτην γε δήπου τὴν πόλιν ἔχοντες κατ'
ι, καὶ οὔτε ποταμῷ μεταξὺ μεγίστῳ οὔτε μὴν
τινὶ δυσχωρίᾳ παντελῶς διειργόμενοι. σαφές
ναι καὶ φανερώτατον ὡς οὐκ ἐπὶ καλῷ τῷ
ων, εἰρήνης τῷ αὐτοκράτορι πρὸς αὐτοὺς στα-
συνεστώσης, τηλικαῦτα περὶ τὴν πόλιν τὸ
ον ᾠκοδομήσατο τείχη. χαίρειν μὲν γὰρ ἔφασκε
αγάνου καὶ ἐπὶ τοῖς καθ' ἕκαστον ἔτος στελ-
οις αὐτῷ παρὰ βασιλέως δώροις· καλὸν γὰρ
ιειν κτῆμα καὶ χρυσὸν καὶ ἄργυρον καὶ μὲν
σθῆτα σηρικήν· ἁπάντων δ' οὖν ἀξιοκτητότε-
ἶναι τούτων καὶ τιμιώτερον τὴν ψυχήν, περὶ
ιβούμενον αὐτὸν καὶ ἀναλογιζόμενον ὡς τὰ
τῶν εἰς τὸν φθάσαντα χρόνον κατ' ἐκείνην
τὴν χώραν ἐπελθόντων ἐθνῶν τοιούτοις δώ-
Ῥωμαῖοι προκαλέσαντες, τέλος ἐς καιρὸν ἐπι-
οι πανωλεθρίᾳ διέφθειραν, οὐκ ἀποστήσεσθαι
ιχειρήσεως, οὐ δώροις, οὐκ ἐπαγγελίαις, οὐχ
τινὶ τῶν πάντων, πρὶν ἂν τὴν πόλιν τὸ Σίρ-
χειρωσάμενος τὴν Σιρμιανὴν ἅπασαν οἰκειώ-
νῆσον, ἣν δικαιότατα καὶ προσήκειν αὐτῷ
ἰδων πρότερον κτῆμα γενομένην, αὐτῶν δὲ ὑπὸ
ων πολεμηθέντων (καταπ. Nieb.), ὡς ἐντεῦθεν
ὰ κτήματα κατὰ τὸ εἰκὸς αὐτῷ μᾶλλον καὶ οὐ
ίοις ἁρμόζειν. ταῦτα ἐτάραξε μέν, καὶ τὴν διά-

νοιαν δεινῶς ὑπό τε ὀργῆς καὶ λύπης συνέχεε τοῦ αὐτοκράτορος· τοῖς εἰκόσι δέ, ὡς ἐνῆν, λόγοις καὶ αὐτὸς χρησάμενος ἀντέλεξεν ὧδε· "ὡς οὔτε δυνάμει καὶ ἀνδρείᾳ χειρὸς οὔτε σοφίᾳ περιῆλθεν ἡμᾶς ὁ Χαγάνος, ἀλλὰ εἰρήνας τε καὶ συνθήκας καὶ θεὸν τὸν ὁμοθέντα καθυβρίσας, παντί που δῆλον. πλέον δὲ ὅμως οὐδὲ αὐτῷ τὴν ἀπιστίαν οἶμαι παρέξειν· θᾶττον γὰρ ἂν αὐτῷ μίαν τῶν θυγατέρων κατεγγυήσω, δυοῖν ὑπαρχουσῶν, ἢ τὸ Σίρμιον τὴν πόλιν ἑκὼν παραδώσω. εἰ δέ γε δυνάμει καὶ βίᾳ ταύτην ἐξέλοι, καὶ οὕτω τὸν ὑβρισμένον παρ' αὐτοῦ θεὸν ἔκδικον ἀναμένων αὐτὸς ἥκιστά τι καταπροέσθαι τῆς Ῥωμαίων πολιτείας ἐννοηθείην ποτέ." ἐπὶ τούτοις τὸν πρεσβευτὴν ἀποπεμψάμενος, παρεσκευάζετο ἐκ τῶν ἐνόντων τῇ πόλει ἀμύνειν, στρατιὰν μέν, ὡς ἔφθην εἰρηκώς, οὐδὲ βραχεῖάν τινα ἔχων, στρατηγοὺς δὲ καὶ ἡγεμόνας καὶ λοχαγοὺς στέλλων, τοὺς μὲν διὰ τῆς Ἰλλυριῶν, τοὺς δὲ διὰ Δαλματίας, ὡς ἂν τὴν πόλιν διὰ φρουρᾶς ἔχοιεν. [Exc. de legat. p. 129—131 Par., 336—340 Niebuhr.]

65 Ὅτι Θέογνις ἐπεὶ ἐν Κασίᾳ καὶ Καρβωναρίᾳ ταῖς νήσοις ἐγένετο, λόγων αὐτῷ κινηθέντων περὶ σπονδῶν, προσεδέξατο. παραγενομένου τε τοῦ Βαϊανοῦ καὶ τοῦ ἵππου ἀποβεβηκότος, τεθείσης οἱ καθέδρας χρυσῆς ἐνιζάνει αὐτοῦ, ἐκ διαλίθων ὑφασμάτων σκευασθείσης αὐτῷ ὥσπερ καλύβης τινός. ἀλλὰ γὰρ καὶ ὥσπερ ἀντ' ἐρύματος πρὸ τῶν στέρνων αὐτῷ καὶ τοῦ προσώπου προυβάλλλοντο θυρεούς, διὰ τὸ μὴ ἐκτοξεῦσαι Ῥωμαίους τυχὸν οὕτω δὴ ἀθρόον ἐς αὐτόν. ἀτὰρ οἵ γε ἀμφὶ Θέογνιν παραγενόμενοι, βραχύ τε ἀφεστῶτες τοῦ χωρίου, ἵνα ὁ Βαϊανὸς ἐφεζόμενος ἦν, διελέγοντο ἑρμηνέων Οὔννων

τὰς πίστεις διασαφηνιζόντων περὶ σπονδῶν. καὶ ὁ μὲν Βαϊανὸς ἔφασκε δεῖν ὑπείκειν οἱ Ῥωμαίους ἀμαχητὶ τοῦ Σιρμίου, οἷα δὴ τὸ λοιπὸν μηδεμιᾶς ὑπολελειμμένης μηχανῆς ἐς τὸ μὴ ἁλῶναι τὸ ἄστυ. πρὸς τῷ καὶ χήτει τῶν ἀναγκαίων θᾶττον ὑποβληθήσεσθαι, τοῦτο μὲν ἐξ ἀμφοῖν τοῖν μεροῖν κεκωλυμένης αὐτῇ τῆς σιτοπομπίας, τοῦτο δὲ καὶ τῆς τῶν Ἀβάρων δυνάμεως τῷ πολέμῳ μὴ ὑποχαλώσης, ἄχρι οὗ ὑποχείριον ποιήσοιντο τὴν πόλιν. προυβάλλετο δὲ καί τινα εὐπρόσωπον αἰτίαν τοῦ ἱμείρειν δεσπόσαι τοῦ ἄστεως, διὰ τὸ μὴ αὐτομόλους ἐκ τῆς Ἀβαρικῆς στρατιᾶς, ἀγχιθύρου οὔσης τῆς πόλεως, ἑαυτοὺς ἐνδιδόναι Ῥωμαίοις. τούτων οἱ διαλεγομένων ἀντεῖπε Θέογνις ὡς πρῶτον μὲν οὐδὲ αὐτὸς ἐνδώσει τῷ πολέμῳ πρότερον ἢ τὸ Ἀβαρικὸν ἐνδοῦναι, ἄλλως τε μὴ ἐλπίζειν τὸν Βαϊανὸν τοιούτους εὑρήσειν Ῥωμαίους ὁποίους καὶ βούλεται. ταῦτα αὐτῶν καὶ τὰ τοιαῦτα ἀποφηναμένων, καὶ ξυμφωνησάντων οὐδαμῶς πρὸς εἰρήνην, διαρρήδην Θέογνις ἀπειρηκὼς τῶν σπονδῶν ἔφη ὡς τὸν Βαϊανὸν ἀναχωρεῖν τε αὐτὸν καὶ πρὸς πολέμου παράταξιν ἐξοπλίζεσθαι, ἅτε αὔριον καὶ οὐκ ἐς ἀναβολὴν ἀναρρήξοντος αὐτοῦ τὴν μάχην. ἐπὶ τούτοις ἀπηλλάγησαν. [Exc. de legat. p. 131—132 Par., 341—342 Niebuhr.]

Ὅτι ἐπὶ τρεῖς ἡμέρας (ἐνιαυτοὺς Nieb.) πόλεμος 66
Ῥωμαίοις καὶ Ἀβάροις συνεκροτήθη, μηδεμιᾶς δυνά- a. 581
μεως Ῥωμαϊκῆς κατὰ τὴν πρὸς Δαλματίᾳ γέφυραν ἐπιφανείσης, καίτοι σαθρότατα ἔχουσαν. ἀλλὰ γὰρ καὶ ὁ Ἀψὶχ καὶ τὸ κατ' αὐτὸν Ἀβαρικὸν αὐτοῦ ἐφεδρεύοντες πρότερον τοσαύτην καταφρόνησιν ἐπεδείξαντο κατὰ Ῥωμαίων ὥστε μετενεχθῆναι σφᾶς κατὰ δὴ τὴν ἑτέραν γέφυραν, ἄλλην τε δύναμιν προστε-

θῆναι τῇ δυνάμει Βαϊανοῦ. πιεζομένων τοιγαρ τῶν ἐν τῷ Σιρμίῳ λιμῷ μεγίστῳ, ἤδη τε ἀπτο νων ἀθεμίτων τροφῶν τῷ ἐστερῆσθαι τῶν ἀναγκαι καὶ γεγεφυρῶσθαι τὴν διάβασιν τοῦ Σαοῦ, Σολομῶνος τοῦ τηνικαῦτα προεστῶτος τοῦ Σιρμ ἐκμελέστατά πως διατελοῦντος καὶ μηδὲν ὅτι στρατηγίας ἐχόμενον ἐπιδεικνυμένου, πρός γε τῶν τῆς πόλεως ἀπειρηκότων τοῖς χαλεποῖς ὀ φυρομένων τε καὶ ἐς τὰς ἐσχάτας ἐλπίδας ἐξωλισ κότων, καταμεμφομένων τε τοῖς Ῥωμαίων ἡγεμ Θεόγνιδός τε αὐτοῦ ὀλιγοχειρίαν νοσοῦντος· ται [ἐπεὶ] Τιβέριος ὁ βασιλεὺς κατέμαθεν, αἱρετώτε ἡγησάμενος μὴ συναιχμαλωτισθῆναι τῇ πόλει οἰκητόρων τὸν ὅμιλον, ἐν γράμμασι κελεύει Θεόγ καταλῦσαι τὸν πόλεμον ἐπὶ σπονδαῖς ὥστε ὑπεξελθ παμπληθεὶ τοὺς τῇδε οἰκοῦντας, μηδὲν ἐπιφερο νους τῶν οἰκείων ἢ μόνον τὸ ζῆν καὶ παρασχὸν οἱ περιβόλαιον ἕν. καὶ δὴ συνέβησαν ἐπὶ ταῖς τοιαῖ ξυνθήκαις, καὶ τὰ τοῦ πολέμου ἐλώφησεν, ἐφ' παραχωρῆσαι μὲν Ῥωμαίους Ἀβάροις τῆς πόλε Ἀβάρους δὲ Ῥωμαίοις τοῦ ἐν τῇ πόλει πλήθ ἄνευ τῶν ὅσα ἑκάστῳ ἐν περιουσίᾳ ὑπῆρχεν. ἐ ζήτει δὲ ὁ Χαγάνος καὶ τριῶν ἐτῶν παρῳχημέ χρυσίον, ὧν οὐκ εἰλήφει τι κατὰ τὸ σύνηθες, παρεχομένων αὐτῷ ὑπὲρ τοῦ μὴ χρῆσθαι ὅπλ ἦσαν δὲ τὰ εἰρηναῖα χρήματα ἑκάστῳ ἔτει ἀ χιλιάδας ὀγδοήκοντα χρυσίου νομισμάτων. ἔτι μὴν καὶ ἕνα τινὰ τῶν ὑπ' αὐτῷ ταττομένων, προσεχώρησε τῇ Ῥωμαίων πολιτείᾳ, καθὰ λέγε τῇ γυναικὶ τοῦ Βαϊανοῦ ἐς ἀφροδίσια συνελθ ταύτῃ τοι κατάδηλον ἐποίησε Θεόγνιδι ἐκδοθῆναι τὸν αὐτόμολον· ἢ γὰρ ἂν ἄλλως μὴ ἀνέξεσθαι ἰδ

σπονδάς. ὁ δέ γε ἀντεσήμηνεν ὡς ἡ γῆ τοῦ 'ωμαίων βασιλέως μεγίστη τέ ἐστι καὶ ἄπλετος, καὶ ς δυσεύρετόν τι φυγὰς ἀνὴρ ἐν αὐτῇ ἀλώμενος, υχὸν δὲ ὅτι καὶ ὀλέθρῳ ἥλω. πρὸς ταῦτα ἀντέλεξεν Βαϊανὸς ὀμνύναι τοὺς Ῥωμαίων ἡγεμόνας ὡς ναμαστεύσουσι, καὶ εἴ τι εὕροιεν τὸν φυγάδα, ἀπο-ρύψοιντο οὐδαμῶς, ἀλλ' ἐκ παντὸς τρόπου ἐγχει-μεῖν αὐτὸν τῷ τῶν Ἀβάρων μονάρχῳ· εἰ δέ γε ετελευτηκὼς εἴη, καὶ οὕτω σημῆναι. [Exc. de legat.). 174—175 Par., 424—425 Niebuhr.]

Ὅτι Θέογνις ****. [Exc. de sentent. (cod. p. 322) p. 364 Mai, qui addit: „Theognis dux erat Romanus contra Abaros apud Sirmium urbem; idque adfirmatur in fine eclogarum Menandri editarum; unde cognoscimus excerpta quoque Vaticana prope abesse a fine."]

Theophyl. Simocatta Hist. I, 3: Τὸ δ' ὅπως Σίρμιον ἥλω Μενάνδρῳ τῷ περιφανεῖ σαφῶς διη-γόρευται· περὶ ὧν οὔ μοι σχολὴ ἐπεργαστικώτερον τοῖς μακροῖς ἐκείνοις λόγοις ἐπεξελθεῖν, αὖθις δ' ἀριζήλως εἰρημένα μυθολογεύειν.

Margo cod. Paris. Strabonis n. 1393 apud Tzschuckium vol. 6, p. 226: Ἀκριβέστερον τὰ Περσικὰ ἔθη Μέ-νανδρος ὁ Πρακτίκωρ (sic) ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ παρέθετο.

Praeterea apud Suidam nonnulla ad res a Menandro narratas spectantia fragmenta ei tribuenda coniiciuntur, quae Bernhardy collegit in indice, quorum unum ego memoravi p. 45, 26, et alterum p. 104, 3, et tertium p. 111, 10.

ἡδύσματα τῶν τῆς ποιητικῆς κομψευμάτων. καὶ τοίνυν πεποίηταί μοι ἐν ἑξαμέτροις βραχέα ἄττα ποιήματα, ἃ δὴ Δαφνιακὰ ἐπωνόμασται, μύθοις τισὶ πεποικιλμένα ἐρωτικοῖς καὶ τῶν τοιούτων ἀνάπλεα
D γοητευμάτων. ἔδοξε δέ μοι πρότερον κἀκεῖνο ἀξιέπαινόν τι εἶναι καὶ οὐκ ἄχαρι, εἴ γε τῶν ἐπιγραμμάτων τὰ ἀρτιγενῆ καὶ νεώτερα, διαλανθάνοντα ἔτι καὶ χύδην οὑτωσὶ παρ' ἐνίοις ὑποψιθυριζόμενα, ἀγείραιμί τε ὡς οἷόν τε ἐς ταὐτὸν καὶ ἀναγράψαιμι ἕκαστα ἐν κόσμῳ ἀποκεκριμένα. καὶ οὖν δὴ καὶ τόδε μοι ἐκτετέλεσται ἕτερά τε πολλὰ ἀγωνίσματα, τοῦ μὲν ἀναγκαίου χάριν οὐ μάλα πεποιημένα, ἄλλως δὲ
P. 4 ἴσως προσαγωγὰ καὶ θελκτήρια. καὶ γὰρ δῆτα ἡ ποίησις ἱερόν τι χρῆμα καὶ θεσπέσιον· ἐνθουσιῶσι γοῦν ἐν αὐτῇ αἱ ψυχαί, εἴποι ἂν ὁ σοφὸς ὁ Ἀρίστωνος, καὶ λίαν ὠδίνουσιν ἐπαφρόδιτα, ὅσαι δὴ ὡς ἀληθῶς μουσόληπτοι γίγνονται καὶ τῇδε κάτοχοι τῇ βακχείᾳ. ἐμοὶ μὲν οὖν τοῖσδε θαμίζειν ἐδόκει καὶ οὐ μήποτε ἑκόντι εἶναι τὰ νεανικὰ ταῦτα καὶ ἐπιτερπῆ σπουδά-
B σματα μεθιέναι, ἀλλ' ἕπεσθαι τοῖς Δελφικοῖς ἐκείνοις προγράμμασι καὶ τὰ οἰκεῖα γιγνώσκειν. ἐπεὶ δὲ ἐν τῷ κατ' ἐμὲ χρόνῳ ξυνέβη μεγάλους μὲν πολέμους πολλαχοῦ τῆς οἰκουμένης ἀπροσδόκητα ξυρραγῆναι ἐθνῶν τε πολλῶν βαρβαρικῶν μεταναστάσεις γενέσθαι καὶ πράξεων ἀδήλων τε καὶ ἀπίστων παραλό-
C γους ἀποβάσεις καὶ τύχης ἀτάκτους ἀντιρροπίας γενῶν τε καταλύσεις καὶ πόλεων ἀνδραποδισμοὺς καὶ μεταβολὰς οἰκητόρων καὶ οἷον ἅπαντα τὰ ἀνθρώπεια κεκινῆσθαι, ἐπειδὴ οὖν ταῦτα καὶ τὰ τοιάδε ξυνέβη, δεδιέναι μοί πως ἐπῆλθε μήτι ἄρα οὐχ ὅσιον εἴη ἔργα οὕτω μέγιστά τε καὶ θαύματος ἄξια καὶ τοῖς μετὰ ταῦτα χρήσιμα ἐσόμενα καὶ ὀνησιφόρα

ιπεῖν ἄμνηστα τὸ μέρος καὶ σεσιγημένα. τοι-
ι ἔδοξέ μοι οὐκ ἀπὸ τρόπου εἶναι καὶ τοῦ D
ϳάφειν ἀμωσγέπως ἀποπειρᾶσθαι, ὡς ἄν μοι μὴ
ὁ βίος ἐν μυθολογίᾳ τε καὶ περιττῷ πόνῳ ἀνα-
ίη, ἀλλά τι φέροιτο καὶ ἀναγκαῖον. πολλοὶ δέ
ι τῶν ἐπιτηδείων ἐπείγοντες καὶ ἐγκελευόμενοι
θισαν τὴν ὁρμὴν καὶ ἐπέρρωσαν, ἐν τοῖς
χιανὸς ὁ νέος· ἀρχηγός τε ἦν τῆς παραινέσεως
τὰ πρῶτα τελῶν ἐν τοῖς τῶν βασιλέων ὑπογρα- P. 5
καὶ τὰ ἄλλα ἀγαθὸς καὶ ἀγχινούστατος,
ίας δὲ ἀποχρώντως ἔχων καὶ τοῦ τῶν Φλωρι-
γένους ἄριστον ἐγκαλλώπισμα γεγενημένον.
δὴ οὖν ὁ ἀνήρ, περὶ πλείστου γὰρ τἀμὰ ἐποι-
ιαὶ ὡς ἄν μοι ἄμεινόν τι ἔσται εὐκλείας τε πέρι
ῆς ἄλλης ὠφελείας σφόδρα οἱ ἐπεφρόντιστο,
νίει ἐπείγων καὶ χρηστὰς ἐμφαίνων τὰς ἐλπίδας.
γὰρ οὐκ ἔφασκεν οὕτω χαλεπὸν ἡγεῖσθαί μοι B
νήνυτον τὸ ἐγχείρημα, οὐδὲ τῷ μήπω ἐς πεῖραν
ν, ὥσπερ ναυτιλίαν οἱ ἀθαλάττωτοι, κατα-
ῆχθαι· οἴεσθαι δὲ μᾶλλον οὐ πόρρω τετάχθαι
ίαν ποιητικῆς, ἀλλὰ ἄμφω ταῦτα εἶναι ἀδελφὰ V. 7
μόφυλα καὶ μόνῳ ἴσως τῷ μέτρῳ ἀλλήλων
κριμένα. ὡς δὴ οὖν οἴκοθεν οἴκαδε οὔσης τῆς
τάσεως θαρροῦντά τε ἰέναι ἐκέλευεν καὶ σθένει C
ἔχεσθαι ἔργου. ἀλλὰ γὰρ τοιαῦτα ἐπᾴδων ἤδη
ιὶ αὐτῷ βουλομένῳ κατεκήλησέ γε ῥᾳδίως καὶ
ς. καὶ τοίνυν ἐς τάδε ἀφῖγμαι. ἀλλά μοι εἴη
τι δρᾶσαι τῆς προθυμίας καὶ τοῦ μεγέθους
ἔργων ὡς ἐγγυτάτω ἱκέσθαι. δηλωτέον δὲ
ρον ὅστις τέ εἰμι καὶ ὅθεν, τοῦτο δὴ τὸ τοῖς
ιαφεῦσιν εἰθισμένον. ἐμοὶ Ἀγαθίας μὲν ὄνομα,
να δὲ πατρίς, Μεμνόνιος δὲ πατήρ, τέχνη δέ D

τὰ Ῥωμαίων νόμιμα καὶ οἱ τῶν δικαστηρίων ἀγῶν
Μύριναν δέ φημι οὐ τὸ Θράκιον πόλισμα, οὐδὲ
τις ἑτέρα κατὰ τὴν Εὐρώπην τυχὸν ἢ Λιβύην τ
κέκληται τῷ ὀνόματι, ἀλλὰ τὴν ἐν τῇ Ἀσίᾳ πά
ὑπὸ Αἰολέων ἀπῳκισμένην ἀμφὶ τὰς ἐκβολὰς τ
Πυθικοῦ ποταμοῦ, ὃς δὴ ῥέων ἐκ Λυδίας τῆς χώ
ἐς τὸν ἔσχατον αὐλῶνα τοῦ κόλπου τοῦ Ἐλαΐ
P. 6 ἐμβάλλει. γένοιτο μὲν οὖν ἔμοιγε τελεώτατα τ
τροφεῖα ὡς οἷόν τε ἀποτῖσαι καὶ ἅπαντα τὰ κλε
καὶ πάτρια ἔργα ἐς τὸ ἀκριβὲς ἀναγράψαι, νῦν
ἡ μὲν εὐμενὴς καὶ ἵλαος καὶ τῆς προθυμίας ἡμ
ἀποδεχέσθω, ἐμοὶ δὲ ἐπὶ τὰ κοινὰ καὶ μέγιστα τ
πραγμάτων ἰτέον. ποιήσομαι δὲ τὴν ξυγγραφ
οὐχ ᾗπερ καὶ ἑτέροις ἐν τῷ παρόντι πεποίηται. ἰ
B γάρ που καὶ ἄλλοι τὰ νῦν ἐς τόδε πόνου ἀφίκον
ἀληθείας μὲν ὡς τὰ πολλὰ ἥκιστα μέλον αὐτοῖς
τοῦ τὰ γεγενημένα ὡς ἔχουσι τύχης διεξιέναι, οἱ
δὲ διαφανῶς κολακεύειν πολλοὺς τῶν δυνατῶν
ὑποθωπεύειν ἑλόμενοι ὡς εἴ ποτε ἄρα καὶ ἀλ
φήσαιεν, ἀπιστεῖσθαι. καίτοι ἐγκωμίῳ μόνῳ προ
C κειν οἱ ταῦτα δεινοί φασι τὰ προσόντα ὁτῳοῦν ἀγ
κατὰ τὸ μᾶλλον ἐξαίρειν· ἱστορία δὲ ἐπαινεῖν
καὶ ἥδε τοὺς εὖ τι δράσαντας οὐ πάμπαν ἀναίνε
οὐ μὴν τοῦτό γε σκοπόν, οἶμαι, καὶ γνώρισμα ἔ
ἐθέλει· ἀλλ᾽ εἴ που ἡ τῶν πράξεων ἀπεργασία ἔπ
νον ἢ ψόγον ἐπάγοι, οὐ βιάζεσθαι αὐτὴν θέμις ο
καταποικίλλειν τὰ γεγενημένα. οἱ δὲ ἱστορίαν
D ποιεῖσθαι ὁμολογοῦσι, καὶ τὸ τῆς ἐπιγραφῆς ἐπ
γελμα τοῦτο αὐτοῖς ὑποφαίνει, πεφώρανται δὲ ὅ
τῇ πείρᾳ κομψευόμενοι τὴν ἐπωνυμίαν. τοὺς
γὰρ ἔτι περιόντας, εἴτε βασιλεῖς εἶεν εἴτε καὶ ἄλ
ἐπίσημοι, οὐ μόνον τῇ ἀφηγήσει τῶν ἐξειργασμέ

άξουσιν, ἢ γὰρ ἂν ὀλίγα ἡμάρτανον, ἐν-
ὲ ἅπασι γίγνονται ὅτι δὴ αὐτοῖς οὐδέν τι ἄλλο P. 7
ὁδασται ἢ μόνον ἐπαινεῖν τε καὶ ἄγασθαι καὶ
οῦ ἀναγκαίου· τοὺς δὲ ἤδη τεθνηκότας, ὁποῖοί
ιαὶ ἐτύγχανον ὄντες, ἢ κακίστους ἀποκα-
:αὶ τὰ κοινὰ λυμηναμένους ἢ τὸ γοῦν ἔλαττον
κατολιγωροῦσιν αὐτῶν, ὡς μηδὲ μνήμης
ιεταδιδόναι. ταύτῃ τε οἴονται τὰ παρόντα εὖ
καὶ τὸ ἀεὶ κρατοῦν ἐκθεραπεύοντες ὠφέλειαν B
τορίζεσθαι, κακῶς ἐπιστάμενοι ὡς καὶ αὐτοὺς
τοὺς πρὸς αὐτῶν ἐπαινουμένους οὐ μάλα τὰ
ἀρέσκει, λογιζομένους ὡς οὐχ ἱκανὸν ἔσται
κολακείας ἀρίδηλον τὴν περὶ αὐτῶν δόξαν
σαι. οὗτοι μὲν οὖν ξυγγραφόντων ὥς πῃ
αὐτοῖς καὶ εἰθισμένον, ἐμοὶ δὲ τὸ ἀληθίζεσθαι
λείστου ἑκτέον, ἐς ὅ τι χωρήσει. μεμνήσομαι C
' ὅσα παρά τε Ῥωμαίοις καὶ τῶν βαρβάρων
λείστοις ἐς τόδε τοῦ καιροῦ ἐπράχθη ἀξιαφή-
οὐ μόνον ὑπὸ ἀνδρῶν ἔτι βιούντων τυχόν,
' μὲν οὖν καὶ τῶν ἤδη ἀποιχομένων, καὶ
ὅ τι παρήσω τῶν λόγου ἀξίων. τοιγάρτοι εἰ
πρότερον ἐς τὸ ξυγγράφειν προῆγμαι ἢ μόνον
ὁ Ἰουστῖνος ὁ νέος τὴν αὐτοκράτορα μετῆλθεν D
, Ἰουστινιανοῦ τεθνηκότος, ἀλλ' ἔγωγε καὶ
ὶς ἀνωτέρω χρόνους ἀναδραμοῦμαι, καὶ ὁπόσα
ἑτέρῳ τῳ ἐκπεπόνηται, ταῦτα δὲ οἰκεῖον ποιή-
ἔργον. τὰ μὲν γὰρ πλεῖστα τῶν κατὰ τοὺς
νιανοῦ χρόνους γεγενημένων ἐπειδὴ Προκο-
ῳ ῥήτορι τῷ Καισαρείαθεν ἐς τὸ ἀκριβὲς ἀνα-
ιται, παριτέον ἐκεῖνα ἔμοιγε, ἅτε δὴ ἀπο-
ως εἰρημένα· τὰ δὲ μετ' ἐκεῖνον ὡς οἷόν τε P. 8
ον. προοίμια μὲν γὰρ αὐτῷ τῆς ἱστορίας V. 8

Ἀρκάδιος ἀποβιοὺς ἐποιήθη καὶ τῷ ἐκείνου Θεοδοσίῳ Ἰσδιγέρδης ὁ Περσῶν βασιλεὺς κη γεγενημένος, τά τε Οὐαραράνῃ καὶ Περόζῃ ξι χθέντα, καὶ ὅπως Καβάδης βασιλεὺς και ἀφῄρηται τὴν ἀρχὴν καὶ εἶτα θᾶττον αὐτὴν ἀ
B μίσατο, ὅπως τε Ἄμιδα ἥλω πρὸς αὐτοῦ, Ἀν σίου Ῥωμαίων βασιλεύοντος, καὶ ὅσους αὖθι ἐκεῖνον Ἰουστῖνος ὁ πρεσβύτης ἐν τῷδε τῷ διεδέξατο πόνους. ἑξῆς δὲ τοὺς Περσικοὺς πολ ὁπόσοι δὴ πρός τε Καβάδην καὶ Χοσρόην Συρίαν καὶ Ἀρμενίαν, καὶ μὲν δὴ καὶ τὰ ὅρια Ἰουστινιανῷ τῷ Ῥωμαίων αὐτοκράτορι ἐ πολέμηνται, τούτους δὲ ἅπαντας ἐκ τῶν Προκ
C λόγων ἄριστα ἂν διαγνοίης, Γελίμερά τε τὸν δίλον, καὶ Καρχηδόνα τὴν πόλιν καὶ τὴν ξύμ χώραν τῶν Ἄφρων ἀπὸ Βονιφατίου τε καὶ Γεζ καὶ τῆς ἐν τῷ τότε ἀποστάσεως πολλοῖς ὕ χρόνοις Ἰουστινιανῷ δουλωθεῖσαν καὶ πάλι Ῥωμαίων ἐπικρατείας μέρος γεγενημένην. με τὴν τῶν Βανδίλων κατάλυσιν καὶ ὅσα οἱ Μα σιοι τὸ ἔθνος ἔδρασάν τε καὶ πεπόνθασι πολ
D τῆς Λιβύης κατὰ Ῥωμαίων παρατατόμενοι, Στότζας καὶ Γόνθαρις Ῥωμαίων μὲν ἤστην, τυ δὲ καταστάντε μεγίστων ξυμφορῶν τε καὶ στ αἰτιωτάτω τῇ Λιβύῃ γεγόνατον, καὶ ὡς οὐ πρ ἐλώφησε τὰ δεινά, πρὶν ἐκείνω τὼ ἄνδρε δι ρῆναι· ἀλλὰ καὶ τάδε ἀμέλει ἅπαντα εὕροις ἐν ἐκείνοις· ὅπως τε ἡ στάσις ἡ ἐμφύλιος ἐν Β τίῳ κατὰ τοῦ βασιλέως ἀρθεῖσα καὶ ἐπὶ μέγα ἀφιγμένη τὰ κοινὰ ἐδηλήσατο· τάς τε τῶν Ο
P. 9 ἐπιδρομάς, ὡς δὴ ἐν τῷ τότε τὸν Ἴστρον πο περαιωθέντες μέγιστα οἷα τὴν Ῥωμαίων ἀρχὴ

ιήναντο, Ἰλλυριούς τε καὶ Θετταλοὺς καὶ τὰ πλεῖστα
τῆς Εὐρώπης ληισάμενοι, μέρος δέ τι καὶ τῆς Ἀσίας,
τὸν Ἑλλήσποντον διαβάντες. Συρῶν δὲ ἡ πόλις ἡ
ἐν Συρίᾳ καὶ Βέρροια καὶ Ἀντιόχεια ἡ πρὸς Ὀρόντῃ
ποταμῷ ὅπως οἰκτρότατα ὑπὸ Χοσρόου πεπόρθηνται,
τήν τε Ἐδέσσης πολιορκίαν, καὶ ὅπως ἐνθένδε ἀπο- B
κρουσθεὶς ἔπειτα ἀπιὼν ᾤχετο, πάρεστι καὶ ταῦτα
ἐν τοῖσδε θεάσασθαι· τάς τε τῶν Αἰθιόπων καὶ
Ὁμηριτῶν παρατάξεις, καὶ ὅτου δὴ χάριν ἄμφω
ἐκείνω τὼ φύλω ἐς τόδε δυσμενείας ἠλθέτην. εἴρη-
ται δὲ αὐτῷ πολλὰ καὶ τοῦ μεγίστου λοιμοῦ πέρι,
ὅπως τε τὴν ἀρχὴν κατ' ἐκεῖνο τοῦ καιροῦ ἐς τὸ
ἀνθρώπειον γένος ἐσήρρησε καὶ ὁποῖα ἄττα παρά-
λογα ἐν αὐτῷ ξυνηνέχθη. ἀλλὰ γὰρ καὶ ὁπόσα
ὕστερον τῷ Ῥωμαίων στρατῷ ἀνὰ τὰ Λαζῶν πολίσ- C
ματα καὶ Πέτρας τὸ φρούριον, πρός τε Χοριάνην
καὶ Μερμερόην καὶ τὰ Περσικὰ ἐξείργασται πλήθη,
καὶ ταῦτα ἐκεῖθεν ἀναλεκτέον· μεταβάντι δέ οἱ ἐπὶ
τῆς Ἑσπέρας ὅπως τε Θευδέριχος ὁ τῶν Γότθων
βασιλεὺς ἀπεβίω καὶ Ἀμαλασοῦνθα ἡ τοῦδε παῖς
ὑπὸ Θευδάτου ἀνῄρηται, καὶ ἅπαντα ὧν δὴ ἕνεκα
ὁ Γοτθικὸς πόλεμος ἀνερράγη, οὐδὲ ταῦτα ἐκείνῳ D
παρεῖται, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ὅπως Οὐίττιγις ὁ
μετὰ Θεύδατον τοῦ Γοτθικοῦ γένους κρατήσας ὑπὸ
Βελισαρίου τοῦ στρατηγοῦ μετά γε πλείστους ὅσους
ἀγῶνας δοριάλωτος ἐς τὸ Βυζάντιον ἧκται· οὐδέ γε
ὅπως Σικελία τε καὶ Ῥώμη καὶ Ἰταλία τοὺς ἐπήλυ-
δας ἀποβαλοῦσα βαρβάρους πάλιν ἤθεσι πατρίοις
μετεκοσμεῖτο. λάβοι δὲ ἄν τις ἐνθένδε καὶ ὅτι
Ναρσῆς ὁ τομίας ἐς Ἰταλίαν ἐστάλη, στρατηγὸς
αὐτοκράτωρ πρὸς τοῦ βασιλέως γεγενημένος, τούς P. 10
τε κλεινοὺς ἐκείνους πολέμους, οἳ δὴ αὐτῷ πρὸς

14, 2—15,

Τωτίλαν ἄριστα διαπεπόνηνται· ὅτι τε αὖθις μ ἐκεῖνον Τεΐας ὁ Φρεδιγέρνου τὴν Γοτθικὴν ἡγε νίαν διαδεξάμενος οὐκ ἐς μακρὰν καὶ αὐτὸς ἀ ρέθη. ταῦτα δὲ πάντα ἐς ἕκτον τε καὶ εἰκοστὸν ἔ τῆς Ἰουστινιανοῦ βασιλείας γεγένηνται, καὶ Προ
B πίῳ μὲν τῷ ῥήτορι ἐν τοῖσδε, οἶμαι, αὐτῷ τὰ ξυγγραφῆς διήνυσται καὶ ξυνετελέσθη· ἐγὼ δὲ ἐς ἐχόμενα τούτων, ἐφ' ἅπερ καὶ τὴν ἀρχὴν ὡρμή ἰέναι, καὶ δὴ ἐπὶ ταῦτα εἶμι. καὶ δὴ ἔχομαι πραγμάτων.

P. 11 1. Ἐπειδὴ Τεΐας ὁ μετὰ Τωτίλαν τῶν Γότ
V. 9 ἡγεμὼν καταστὰς ἀνακαλεσάμενος τὰς δυνάμεις
A. C. 552 Iustiniani 26 πόλεμον πανσυδὶ πρός τε Ναρσῆν καὶ Ῥωμαι παραταξάμενος ἡττήθη τε κατὰ κράτος καὶ αὐ πολεμῶν διεφθάρη, οἵ τε περισωθέντες τῶν Γότθ ἐγκειμένων σφίσι Ῥωμαίων καὶ οὐκ ἀνιέντων, ζόμενοι ταῖς τε ἐπιδρομαῖς καὶ ὅτι ἐν χώρῳ ἀνύ ἐτύγχανον ξυνειλεγμένοι, σπονδὰς τίθενται π Ναρσῆν, ἐφ' ᾧ τὴν μὲν οἰκείαν ἀδεῶς νέμο χώραν, βασιλεῖ δὲ τῶν Ῥωμαίων κατήκοοι τὸ λοι ὄντες διατελοῖεν· ἐπειδὴ ταῦτα τῇδε ἐχώρει, ἐδ μὲν ἅπασι πέρας ἔχειν τὰ τῶν ἐν Ἰταλίᾳ πολέμ
B τὰ δὲ ἦν ἄρα προοίμια. οἶμαι γὰρ οὐδὲ ἐπιλείι ποτὲ τὸν αἰῶνα ἡμῶν τὰ τοιάδε, μένειν δὲ ἐς καὶ ἀκμάζειν, ἔστ' ἂν ἡ αὐτὴ φύσις ἀνθρώπω ἐπεὶ καὶ ἄνωθεν ἡμῖν, ὡς ἔπος εἰπεῖν, ξυνεσ τῷ βίῳ. καὶ οὖν μεστὴ μὲν ἡ ποίησις, πλήρη ξύμπασα ἱστορία πολέμων τε καὶ παρατάξεων,
P. 21 οὐκ ἂν ἄλλο τι εὕροις ἐν τῇδε κατὰ τὸ μᾶλλον ε γεγραμμένον. αἴτιον δὲ οἶμαι τούτων οὐχ, ὅπε πολλοί φασιν, ἀστέρων τε πορείας καὶ τὸ μεμοι νον καί τινας παραλόγους ἀνάγκας· εἰ γὰρ τὰ

επρωμένης ἐν πᾶσι νικῴη, ἀφαιρεθείη δὲ τῶν ἀν- a. C. 552 Iustiniani 26
ρώπων τὸ προαιρετὸν καὶ ἑκούσιον, παραινέσεις ἐν ἁπάσας καὶ τέχνας καὶ διδασκαλίας κενὰ καὶ χρηστα νομιοῦμεν, οἰχήσονται δὲ φροῦδοι καὶ καρποι αἱ τῶν ἄριστα βιούντων ἐλπίδες. οὐ μέντοι λλ᾽ οὐδὲ τὸ θεῖον αἴτιον, ὥς γε ἐμὲ γιγνώσκειν, ιόνων τε καὶ ξυμπλοκῶν ἡγεῖσθαι προσήκει. τὸ
ὰρ ἀγαθὸν ἐκεῖνο καὶ ἀλεξίκακον φόνιόν τε καὶ B
ιλοπόλεμον οὔτ᾽ ἂν ἔγωγε φήσαιμι οὔτε εἰπόντι
ιστεύσαιμι. ἐς δὲ πλεονεξίαν τε καὶ ἀδικίαν αἱ τῶν V. 10
ἀνθρώπων ψυχαὶ αὐθαίρετα κατολισθαίνουσαι πολέμων τε καὶ ταραχῶν ἅπαντα ἐμφοροῦσιν, ἐνθένδε τε ὄλεθροι ξυμβαίνουσι πολλοὶ καὶ γένη ἀνθρώπων ἀνάρπαστα γίγνεται καὶ μυρίαι ἄλλαι ὠδίνονται κῆρες. οὕτω γὰρ δὴ καὶ τότε οἱ Γότθοι, ἐπειδὴ τὰς σπονδὰς θέμενοι καὶ διακριθέντες οἱ μὲν αὐτῶν εἴσω τοῦ Πάδου πρότερον διαιτώμενοι ποταμοῦ ἔς τε Τουσκίαν καὶ Λιγουρίαν, καὶ ὅθι ἑκάστῳ θυμῆρές τε ἦν καὶ εἰθισμένον, ἐχώρουν, οἱ δὲ ἐκτὸς διαβάντες ἀμφὶ Βενετίαν καὶ τὰ τῇδε φρούρια καὶ
τὰ πολίσματα, ᾗπερ καὶ ἐν τῷ πρὸ τοῦ, ἐσκεδάν- C
νυντο· ἐπειδὴ οὖν ἐν τοῖσδε ἐτύγχανον ὄντες, προσῆκον αὐτοὺς τὰ μὲν ὀμωμοσμένα τοῖς ἔργοις αὐτοῖς ἐμπεδῶσαι, τὰ δὲ σφέτερα ἐν τῷ ἀσφαλεῖ κατέχοντας κινδύνων ἀπηλλάχθαι χρονίων καὶ μόλις γοῦν τῶν δεινῶν ἀναπνεῦσαι, οἱ δὲ ἐλάχιστον ἀνισχόντες νεωτέρων αὖθις ἐφίεντο πραγμάτων, καὶ ἐς ἀρχὴν ἑτέρου πολέμου καθίσταντο. ἐπεί τε αὐτοὶ κατὰ σφᾶς οὐκέτι πρὸς Ῥωμαίους ἀξιόμαχοι ᾤοντο εἶναι, αὐτίκα παρὰ τοὺς Φράγγους ἐτράποντο, ἄμεινον σφίσιν αὐτοῖς τὰ παρόντα ἔσεσθαι κρίνοντες καὶ τὴν ὠφέλειαν ἐς ὅ τι μάλιστα διαρκεστάτην,

a. C. 553 Iustiniani 26 εἴ γε ἐξ ὁμόρων τε καὶ ἀστυγειτόνων ξυμμαχίαν ἐ γόμενοι εἶτα θᾶττον ἀναμαχέσοιντο.

D 2. Πρόσοικοί τε γάρ εἰσι τῇ Ἰταλίᾳ καὶ ἀγχιτέρμο τὸ γένος τῶν Φράγγων. εἶεν δ' ἂν οὗτοι οἱ πά ὀνομαζόμενοι Γερμανοί. δῆλον δέ· ἀμφὶ Ῥῆνον ποταμὸν οἰκοῦσι καὶ τὴν ταύτῃ ἤπειρον, ἔχουσι καὶ Γαλλιῶν τὰ πλεῖστα, οὐ πρότερον πρὸς αὐτ κατεχόμενα, ἀλλ' ὕστερον ἐπικτηθέντα, καὶ Μασσαλίαν πόλιν, τοὺς Ἰώνων ἀποίκους. ταύ γὰρ δὴ πάλαι Φωκαεῖς ἐξ Ἀσίας ὑπὸ Μήδων ἀ στάντες κατῴκισαν, Δαρείου τοῦ Ὑστάσπεω Περ βασιλεύοντος, καὶ νῦν ἐξ Ἑλληνίδος ἐστὶ βαρβαρι τὴν γὰρ πάτριον ἀποβεβληκυῖα πολιτείαν τοῖς κρατούντων χρῆται νομίμοις. φαίνεται δὲ καὶ οὐ μάλα τῆς ἀξίας τῶν παλαιῶν οἰκητόρων κα

P. 13 δεεστέρα. εἰσὶ γὰρ οἱ Φράγγοι οὐ νομάδες, ὥσ ἀμέλει ἔνιοι τῶν βαρβάρων, ἀλλὰ καὶ πολιτείᾳ τὰ πολλὰ χρῶνται Ῥωμαϊκῇ καὶ νόμοις τοῖς αὐτ καὶ τὰ ἄλλα ὁμοίως ἀμφί τε τὰ συμβόλαια γάμους καὶ τὴν τοῦ θείου θεραπείαν νομίζου Χριστιανοὶ γὰρ ἅπαντες τυγχάνουσιν ὄντες καὶ ὀρθοτάτῃ χρώμενοι δόξῃ· ἔχουσι δὲ καὶ ἄρχοντα ταῖς πόλεσι καὶ ἱερεῖς, καὶ τὰς ἑορτὰς ὁμοίως ἐπιτελοῦσι, καὶ ὡς ἐν βαρβάρῳ γένει ἔμοιγε δοκ σφόδρα εἶναι κόσμιοί τε καὶ ἀστειότατοι καὶ οὐ τι ἔχειν τὸ διαλλάττον ἢ μόνον τὸ βαρβαρικὸν στολῆς καὶ τὸ τῆς φωνῆς ἰδιάζον. ἄγαμαι γὰρ αὐτ ἐς τὰ μάλιστα ἔγωγε τῶν τε ἄλλων ὧν ἔχουσιν ἀ

B θῶν καὶ τῆς ἐς ἀλλήλους δικαιοσύνης τε καὶ ὁμονο πολλάκις γὰρ ἤδη καὶ πρότερον, καὶ μὲν δὴ καὶ κατ' ἐμὲ χρόνῳ, τυχὸν μὲν ἐς τρεῖς, τυχὸν δὲ ἐς πλείους ἡγεμόνας τῆς ἀρχῆς αὐτοῖς μεμερισμέ

ὑπώποτε πόλεμον ἤραντο κατ' ἀλλήλων οὐδὲ αἵματι a. C. 552 Iustiniani 26
ιφυλίῳ τὴν πατρίδα ἔγνωσαν μιαίνειν. καίτοι ἔνθα
ν μεγάλαι δυνάμεις ἰσόρροποί τε καὶ ἀμφήριστοι
ναφανεῖεν, ἐνταῦθα ἀνάγκη φρονήματα φύεσθαι
κληρὰ καὶ ὀγκώδη, φιλοτιμίαι τε, ὥσπερ εἰκός,
ιδίνονται καὶ φιλοπρωτίαι καὶ ἄλλα ἄττα μυρία
αραχῶν τε καὶ στάσεων γονιμώτατα πάθη. ὅμως
ταρ' ἐκείνοις, εἰ καὶ ἐς πλείστας ὅσας ἀρχὰς τύχοιεν
ιῃρημένοι, οὐδὲν ὅ τι τοιόνδε ξυμφέρεται. ἀλλ'
εἴπερ ἄρα καί τινα ἔριν τοῖς βασιλεῦσιν ἐγγενέσθαι
ξυνενεχθείη, παρατάττονται μὲν ἅπαντες ὡς πολε- C
μήσοντες καὶ τοῖς ὅπλοις διακριθησόμενοι, καὶ εἶτα
ὁμόσε χωροῦσιν· ἰδόντες δὲ ἀλλήλους ἑκατέρωθεν
ἡ πληθὺς αὐτίκα τὸ χαλεπαῖνον ἀποβαλόντες ἐς
ὁμοφροσύνην μεταχωροῦσι καὶ τοὺς ἡγεμόνας κελεύ-
ουσι δίκῃ μᾶλλον τὰ ἀμφίβολα διευκρινήσασθαι· εἰ
δὲ μή, μόνους ἐκείνους ἀγωνίζεσθαι καὶ ἐν σφίσιν
αὐτοῖς διακινδυνεύειν, ὡς οὐχ ὅσιον ὂν οὐδὲ πάτριον
ἰδίας αὐτῶν ἕνεκα δυσμενείας τὰ κοινὰ πημαίνεσθαι
καὶ ἀνατετράφθαι· εὐθὺς δὴ οὖν τάς τε φάλαγγας
διαλύουσι καὶ τὰ ὅπλα τίθενται, καὶ τὸ λοιπὸν
εἰρήνη αὖθις καὶ ἡμερότης φοιτήσεις τε παρ' ἀλλή-
λους ἀφύλακτοι καὶ ἐπιμιξίαι, καὶ φροῦδα οἴχεται τὰ
δεινά. οὕτως ἄρα αὐτοῖς τὸ μὲν ὑπήκοον δίκαιον D
ιαὶ φιλόπατρι, τὸ δέ γε ἄρχον εὐμενὲς ἐν δέοντι V. 11
ιαὶ πειθήνιον· ταῦτά τοι καὶ διατελοῦσι δύναμιν
ιεβαίαν ἔχοντες καὶ νόμοις χρώμενοι τοῖς αὐτοῖς,
αὶ τῶν μὲν οἰκείων οὐδὲν ὅ τι ἀποβεβληκότες,
λεῖστα δὲ ὅσα ἐπικτησάμενοι. δικαιοσύνη γὰρ καὶ
ιλότης οἷς ἂν ἐντραφείη, εὐδαίμονα τίθησι πολι-
ίαν καὶ μόνιμον καὶ ἥκιστα πολεμίοις ἁλώσιμον.

3. Οὕτω μὲν οὖν οἱ Φράγγοι ἄριστα βιοῦντες σφῶν

C.552 τε αὐτῶν καὶ τῶν προσοίκων κρατοῦσι, παῖδες ἐκ
usti- ani 26 πατέρων τὴν βασιλείαν διαδεχόμενοι. ἀλλὰ γὰρ καὶ
ἐς ἐκεῖνο τοῦ καιροῦ, ὅτε δὴ οἱ Γότθοι ὡς αὐτοὺς
ἐπρεσβεύοντο, τρεῖς αὐτοῖς ἡγεμόνες ἐτύγχανον
. 14 ὄντες. οὐκ ἀπὸ τρόπου δέ μοι εἶναι δοκεῖ βραχύ τι
ἄνωθεν ἀρξαμένῳ τοῦ γένους καὶ τῶν ξυνενεχθέν-
των τῷ πρὸ τοῦ ἐλάχιστα διεξελθόντι ἔπειτα ἐς
ἐκείνους, οἳ δὴ ἐν τῷ τότε ἐκράτουν, τὴν ἐκδρομὴν
καταπαῦσαι τοῦ λόγου. Χιλδίβερτος μὲν γὰρ καὶ
Χλωθάριος, ἔτι δὲ Θευδέριχος καὶ Χλωθομῆρος
ἀδελφοὶ ἐγεγένηντο. οὗτοι δὲ ἐπειδὴ αὐτοῖς Χλω-
θοαῖος ὁ πατὴρ ἐτεθνήκει, διενείμαντο τέτραχα τὴν
βασιλείαν κατά τε πόλεις καὶ ἔθνη, ἐς ὅσον, οἶμαι,
τῶν ἴσων ἑκάστῳ μετεῖναι. οὐ πολλῷ δὲ ὕστερον
Χλωθομῆρος κατὰ Βουργουζιώνων ἐπιστρατεύσας,
γένος δὲ τοῦτο Γοτθικὸν αὐτουργόν τε περιφανῶς
τὰ πολέμια, ἐν αὐτῷ δὴ τῷ πολέμῳ ἀκοντίῳ τὰ
στέρνα τυπεὶς ἀνῃρέθη. πεσόντος δὲ αὐτοῦ, ἐπειδὴ
B τὴν κόμην οἱ Βουργουζίωνες καθειμένην καὶ ἄφετον
ἐθεάσαντο καὶ μέχρι τοῦ μεταφρένου κεχαλασμένην,
αὐτίκα ἔγνωσαν τὸν ἡγεμόνα τῶν πολεμίων ἀποκτα-
νόντες. θεμιτὸν γὰρ τοῖς βασιλεῦσι τῶν Φράγγων
οὐπώποτε κείρεσθαι, ἀλλ' ἀκειρεκόμαι τέ εἰσιν ἐκ
παίδων ἀεὶ καὶ παρῃώρηνται αὐτοῖς ἅπαντες εὖ
μάλα ἐπὶ τῶν ὤμων οἱ πλόκαμοι, ἐπεὶ καὶ οἱ
ἐμπρόσθιοι ἐκ τοῦ μετώπου σχιζόμενοι ἐφ' ἑκάτερα
φέρονται. οὐ μὴν ὥσπερ οἱ τῶν Τούρκων τε καὶ
Ἀβάρων ἀπέκτητοι καὶ αὐχμηροὶ καὶ ῥυπῶντες καὶ
ἐνέρσει ἀπρεπῶς ἀναπεπλεγμένοι, ἀλλὰ ῥύμματα
γὰρ ἐπιβάλλουσιν αὐτοῖς ποικίλα καὶ ἐς τὸ ἀκριβὲς
διαξαίνουσι. τοῦτο δὲ ὥσπερ τι γνώρισμα καὶ γέρας
C ἐξαίρετον τῷ βασιλείῳ γένει ἀνεῖσθαι νενόμισται·

ἐπεὶ τό γε ὑπήκοον περίτροχα κείρονται καὶ κομᾶν a. C. 552
αὐτοῖς περαιτέρω οὐ μάλα ἐφεῖται. τότε δὴ οὖν τοῦ Iustiniani 26
Χλωθομήρου τὴν κεφαλὴν οἱ Βουργουζίωνες ἀποτεμόντες, καὶ τοῖς ἀμφ' αὐτὸν στρατεύμασιν ἀναδείξαντες, ψοφοδεεῖς αὐτίκα πεποίηνται ἅπαντας καὶ δυσέλπιδας, καὶ κατεάγη αὐτοῖς ἀγεννῶς τὰ φρονήματα, κατεπτηχότες τε ἦσαν καὶ οἷοι οὐκέτι ἐθέλειν ἀναμαχέσασθαι. καὶ δὴ τοῖς μὲν νενικηκόσιν, ᾗπερ ἄριστα αὐτοῖς ἔχειν ἐδόκει καὶ ἐφ' αἷς ᾤοντο χρῆναι ξυνθήκαις ὁ πόλεμος διελέλυτο, τοῦ δὲ Φραγγικοῦ ὁμίλου ὅ τι ἐσέσωστο, ἄσμενοι ἐς τὰ σφέτερα ἐπανῄεσαν. οὕτω δὲ τοῦ Χλωθομήρου διαφθαρέντος αὐτίκα ἐς τοὺς ἀδελφούς, οὐ γὰρ δὴ παῖς αὐτῷ ἐγεγόνει, ἡ ἐκείνου ἀρχὴ ἐμερίζετο. οὐκ ἐς μακρὰν D
δὲ καὶ Θευδέριχος νόσῳ ἁλοὺς ἀπεβίω, καταλιπὼν Θευδιβέρτῳ τῷ υἱῷ τά τε ἄλλα ἀγαθὰ καὶ μὲν δὴ καὶ τὸ τῆς ἡγεμονίας ἀξίωμα.

4. Παραλαβὼν δὲ τὴν πατρῴαν ἀρχὴν ὁ Θευδίβερτος τούς τε Ἀλαμανοὺς κατεστρέψατο καὶ ἄλλα ἄττα πρόσοικα ἔθνη. τολμητίας τε γὰρ ἦν ἐς τὰ μάλιστα καὶ ταραχώδης καὶ πέρα τοῦ ἀναγκαίου τὸ φιλοκίνδυνον κεκτημένος. ἡνίκα γοῦν τοῖς Ῥωμαίοις ὁ πρὸς Τωτίλαν τὸν ἡγεμόνα τῶν Γότθων ὠδίνετο πόλεμος, τούτῳ δὴ τότε τῷ Θευδιβέρτῳ ἐβεβούλευτό οἱ καὶ διεσπούδαστο, ἕως ἐν Ἰταλίᾳ Ναρσῆς τε καὶ τὰ στρατεύματα ἐμόχθει καὶ ἐνησχόλητο, αὐτὸς πλήθη P. 15
ἀγείρας ἄλκιμά τε καὶ μαχιμώτατα ἐς τὰ ἐπὶ Θρᾴκης ἀφικέσθαι χωρία, ἅπαντά τε τὰ τῇδε καταστρεψάμενος ἀμφὶ τὸ Βυζάντιον τὴν πόλιν τὴν βασιλίδα τὸν πόλεμον μεταστῆσαι. οὕτω δὲ ἐνεργὸν τὸ βούλευμα ἐποιεῖτο καὶ τὴν παρασκευὴν ἐμβριθεστάτην ὡς καὶ πρεσβεύεσθαι πρός τε Γήπαιδας καὶ Λογγι-

21, 15–
a. C. 552 Iustiniani 26 βάρδους καὶ ἄλλα ἄττα πρόσοικα ἔθνη, ἐφ'
οἵδε ξυλλάβοιντο τοῦ πολέμου. οὐ γὰρ ᾤετο ι
εἶναι ὅτι δὴ βασιλεὺς Ἰουστινιανὸς ἐν τοῖς
γράμμασι τοῖς βασιλείοις Φραγγικός τε καὶ Ἀ
νικός, ἔτι δὲ Γηπαιδικός τε καὶ Λογγιβαρδικό
ἑτέροις τοιοῖσδε ὀνόμασιν ἀνεκηρύττετο, ὡς δ
B των αὐτῷ τῶν ἐθνῶν ἁπάντων δεδουλωμένων.
V. 12 τε δὴ οὖν χαλεπῶς ἔφερε τὴν ὕβριν καὶ τοὺς ι
ξυγχαλεπαίνειν ἠξίου, ἅτε δὴ καὶ ξυνυβρισμ
οἶμαι μὲν οὖν, εἰ καὶ τήνδε τὴν ἐκστρατείαν
σατο, ἀπώνατο ἂν οὐκ ἐν καλῷ τῆς προπετείας
τυχὸν μὲν ἐν Θρᾴκῃ, τυχὸν δὲ ἐν Ἰλλυριοῖς τι
περιπεσὼν Ῥωμαϊκοῖς ἀκλεῶς ἂν διεφθάρη.
μὴν ἐς ἔννοιαν ταῦτα βαλέσθαι, καὶ εἶτα ἐθελή
καὶ ἐφίεσθαι, καὶ τό γ' ἐκείνου μέρος ἅπαν
πεπρᾶχθαι, κράτιστον ἂν εἴη τὸν ἄνδρα τεκμ
σαι ὡς δεινός τε ἦν καὶ αὐθάδης καὶ οἷος τὸ μ
δες καὶ ἔμπληκτον ἀνδρείαν ἡγεῖσθαι. εἰ γ
ἔφθασεν ἡ τοῦ βίου τελευτὴ τὸ ἐγχείρημα, ἴσ
καὶ ἐνήρξατο τῆς πορείας· νῦν δὲ ἐπὶ θήρα
C ταῦρος αὐτῷ ὑπαντιάζει μέγας τε καὶ ὑψίκερ
τῶν τιθασῶν δήπου τούτων καὶ ἀροτήρων
ὑλονόμος καὶ ὄρειος καὶ τοῖς κέρασι τὸ ἀντ
διαφθείρων· βουβάλους, οἶμαι, τόδε τὸ γένος κα
πλεῖστοι δὲ ἀνὰ τὴν ἐκείνῃ ἤπειρον νέμονται·
ρεφεῖς τε γὰρ αἱ νάπαι καὶ τὰ ὄρη λάσι
δυσχείμερα τὰ χωρία, ἅπασι δὲ τούτοις τὸ
ἥδεσθαι πέφυκε. τοῦτον δὴ οὖν ὁ Θευδίβερ
τινος νάπης ἰδὼν ἀναθορόντα καὶ ἐπερχ
εἱστήκει εὖ διαβάς, ὡς τῷ δόρατι ὑπαντιάσω
ἐπειδὴ ἀγχοῦ ἐγεγόνει, τῇ ῥοπῇ τοῦ δρόμου
μενος ἐς δένδρον τι τῶν οὐ λίαν μεγάλ

ρ κορύττεται, καὶ τὸ μὲν διεσείσθη τε ἅπαν a. C. 552 Iustiniani 26
ὶ θάτερα κατεκλίθη, ξυμβέβηκε δὲ ἀθρόον
ι μέγιστον τῶν ἐνθένδε κεχαλασμένων βιαιό- D
τροσραχθέντα τὴν κεφαλὴν τοῦ Θευδιβέρτου
ι· ὁ δέ, καιρία γὰρ ἦν ἡ πληγὴ καὶ ἀνύ-
;, αὐτίκα ὕπτιος ἐπεπτώκει, καὶ μόλις φορά-
τὰ οἰκεῖα ἡγμένος αὐθημερὸν ἀπεβίω. δια-
δὲ τὴν ἀρχὴν Θευδίβαλδος ὁ παῖς, ὃς δή, εἰ
ος ἦν κομιδῇ καὶ ἔτι ὑπὸ παιδοκόμῳ τιθη-
ος, ἀλλ' ἐκάλει γε αὐτὸν ἐς τὴν ἡγεμονίαν ὁ
ς νόμος.

Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, ἐν ᾧ Τεΐας
εθνήκει, τοῖς δὲ τῶν Γότθων πράγμασιν P. 16
ς τὸ λοιπὸν ἔδει ἐπικουρίας, τότε δὲ βασιλεῖς
Φράγγοις Θευδίβαλδός τε ἦν τὸ μειράκιον καὶ
Χιλδίβερτός τε καὶ Χλωθάριος οἱ τοῦ παιδὸς
ι θεῖοι, ὡς ἂν οἱ Ῥωμαίων εἴποιεν νόμοι.
πὶ τούτους μέν, πορρωτάτω γὰρ ἐτύγχανον
μένοι, οὐ χρῆναι ᾤοντο οἱ Γότθοι ἰέναι, πρὸς
δίβαλδον ἀναφανδὸν ἐπρεσβεύοντο. οὐ μὴν
ε τὸ ἔθνος, μόνοι δὲ οἱ ἐκτὸς Πάδου ποταμοῦ
νοι· οἱ γὰρ δὴ ἄλλοι ἥδοντο μὲν καὶ οἱ τῷ
ισμῷ καὶ τῇ τῶν καθεστώτων κινήσει, ἐτεθή-
δὲ ὅμως ἀμφιγνοοῦντες τὰ ἐσόμενα, καὶ τὸ
ιητον δεδιότες τῆς τύχης μετεώρους τε καὶ
λους εἶχον τὰς γνώμας, καραδοκοῦντες μὲν B
πυνθανόμενοι τὰ ποιούμενα, βουλευόμενοι δὲ
ατούντων γενέσθαι. οἱ δὲ τῶν ἑτέρων πρέσβεις
ενοι ἐς ὄψιν τε τῷ ἡγεμόνι καταστάντες καὶ
τοῖς ἐν τέλει ἐδέοντο μὴ σφᾶς περιιδεῖν ὑπὸ
ων πιεζομένους, ξυλλαβέσθαι δὲ μᾶλλον τοῦ
; καὶ ἀνακαλέσασθαι γένος πρόσοικόν τε καὶ

A.C.552 Insti- iani 26 φίλιον καὶ ἄρδην οἰχήσεσθαι κινδυνεῦον. ἐδίδασκον
δὲ ὡς καὶ αὐτοῖς ἐς τὰ μάλιστα ξυνοίσει μὴ ἐφιέναι
Ῥωμαίοις ἐπὶ μέγα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ
σθένει τὴν αὔξην κολούειν· “εἰ γὰρ ἅπαν τὸ Γοτθι-
κὸν γένος ἐκποδὼν ποιήσονται, οὐκ ἐς μακρὰν”
ἔφασαν οἱ πρέσβεις “καὶ καθ᾽ ὑμῶν αὐτῶν ἥξουσι
C καὶ ἀνανεώσονται τοὺς προτέρους πολέμους. ἐπι-
λείψει γὰρ αὐτοὺς οὐδ᾽ ὁπωστιοῦν εὐπρόσωπος αἰτία
ἐς προκάλυμμα τῆς πλεονεξίας, ἀλλὰ σὺν δίκῃ γε
ὑμᾶς δόξουσι μετιέναι, Μαρίους τινὰς καὶ Καμίλλους
καὶ τῶν Καισάρων τοὺς πλείστους ἀπαριθμούμενοι,
ὡς δὴ πάλαι ποτὲ τοῖς ἄνω Γερμανοῖς πολεμήσαντας
καὶ τὰ ὑπὲρ Ῥῆνον ἅπαντα κατασχόντας· ταύτῃ τε
οὐ βιάζεσθαι δόξουσιν, ἀλλ᾽ ὁσίως ἐπιστρατεύειν,
ὡς οὐδέν τι ὀθνεῖον μαστεύσαντες, ἀλλὰ κτήματα
τῶν σφετέρων προγόνων ἀνακομιούμενοι. τοιοῦτο
γὰρ δή τι καὶ ἡμῖν ἐπαγαγόντες ἐπίκλημα, ὡς δὴ
Θευδερίχου πάλαι τοῦ ἡμετέρου ἡγεμόνος καὶ οἰκι-
V. 13 στοῦ οὐ προσηκόντως τῆς Ἰταλίας ἐπιλαβομένου,
ἀφῄρηνται μὲν ἡμᾶς τὰ οἰκεῖα, τὸ δὲ πλεῖστον
D ἀπεκτόνασι τοῦ γένους, γύναια δὲ καὶ παῖδας τῶν
παρ᾽ ἡμῖν εὐδαιμόνων ἀνδρῶν ἀφειδῶς ἠνδραποδί-
σαντο. καίτοι Θευδέριχος οὐ βίᾳ ἑλών, ἀλλὰ Ζήνω-
νος πρότερον τοῦ σφῶν βασιλέως ἐπιτρέψαντος τὴν
Ἰταλίαν προσηγάγετο, οὐδὲν Ῥωμαίους ἀφελόμενος,
ἤδη γὰρ αὐτῆς ἀπεστέρηντο, ἀλλ᾽ Ὀδόακρον καθε-
λὼν τὸν ἐπηλύτην, τὸν τύραννον, τἀκείνου ἅπαντα
κατέσχε τῷ τοῦ πολέμου θεσμῷ. οἱ δέ, ἐπειδὴ
βιάζεσθαι αὐτοῖς μᾶλλον ἐξῆν, οὐδὲν ἐνδίκως πεπρά-
χασιν, ἀλλὰ Θευδάτῳ πρότερον Ἀμαλασούνθης δῆθεν
P. 17 ἕκατι χαλεπήναντες, καὶ ταύτην ἀρχήν τε καὶ πρό-
φασιν τῷ πολέμῳ θέμενοι, εἶτα μέχρι νῦν οὐ μεθιᾶ-

λὰ φέρουσι βιαίως ἅπαντα οὗτοι δὴ οἱ σοφοί a.C.552 Iusti- niani 26
δεισιδαίμονες καὶ μόνοι ξὺν δικαιοσύνῃ
εσθαι βρενθυόμενοι. ἵνα δὴ οὖν μὴ ταὐτὰ
ιν ὑμῖν μεταμελήσῃ τῆς ῥᾳθυμίας ὕστερον
δέοντι, προτερητέον ἐν τῷδε τοὺς πολεμίους,
διαμαρτητέον τοῦ παρόντος καιροῦ, ἀλλὰ
ιμά τε στέλλειν ἐπ' αὐτοὺς ἀξιόμαχον καὶ
ιὸν ἐξ ὑμῶν αὐτῶν ἀγαθὸν τὰ πολέμια, ὃς
πρὸς Ῥωμαίους πόλεμον ἄριστα διανύσας
ει τε αὐτοὺς ἐνθένδε ὡς τάχιστα καὶ τὴν
ἡμῖν ἀνασώσει. οὕτω γὰρ ποιοῦντες τῷ τε
ῷ γένει ἐς τὰ μάλιστα χαριεῖσθε, σωτῆρες B
έντες καὶ ἀλεξίκακοι, τά τε ὑμέτερα αὐτῶν
σφαλεῖ θήσεσθε, εἴ γε μηδὲν ὑμῖν ἔτι πολέ-
γειτόνων παρείη· πρός δέ γε καὶ χρήματα
ονται μυρία, οὐ μόνον τὰ Ῥωμαίων λῃσα-
ἀλλὰ γὰρ δὴ καὶ αὐτοὶ ἕτερα καταθήσομεν."
Ταῦτα ἐπειδὴ ἔφασαν οἱ πρέσβεις, Θευδίβαλδος
' γὰρ μειράκιον ἀγεννὲς καὶ ἀπόλεμον, ἤδη
ίδης κομιδῇ ἐγεγόνει καὶ τὸ σῶμά οἱ πονή-
έκειτο, τούτων δὴ οὖν ἕκατι οὐ μάλα ὅγε
έσβεων ἦν, οὐδὲ ᾤετο χρῆναι ὀθνείων ἕνεκα
ῶν οἰκείους καρπώσασθαι πόνους. Λεύθαρις
Βουτιλῖνος, εἰ καὶ τὸν βασιλέα σφῶν ἥκιστα
', ἀλλ' αὐτοὶ ἀνεδέχοντο τὴν ξυμμαχίαν. C
δὲ τὼ ἄνδρε ἤστην μὲν ἀδελφὼ καὶ τὸ γένος
ὼ, δύναμιν δὲ παρὰ Φράγγοις μεγίστην
, ὡς καὶ τοῦ σφετέρου ἔθνους ἡγεῖσθαι,
ρτου πρότερον παρασχόντος. οἱ δὲ Ἀλαμα-
γε χρὴ Ἀσιννίῳ Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ
ῃ καὶ τὰ Γερμανικὰ ἐς τὸ ἀκριβὲς ἀναγε-
νῳ, ξυνήλυδές εἰσιν ἄνθρωποι καὶ μιγάδες,

C. 552 Iustiniani 26 καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. τούτους δὲ
πρότερον Θευδέριχος ὁ τῶν Γότθων βασιλεύς, ἡνίκα
καὶ τῆς ξυμπάσης Ἰταλίας ἐκράτει, ἐς φόρου ἀπα-
γωγὴν παραστησάμενος κατήκοον εἶχε τὸ φῦλον.
D ὡς δὲ ὁ μὲν ἀπεβίω, ὁ δὲ μέγιστος Ἰουστινιανῷ τε
τῷ Ῥωμαίων αὐτοκράτορι καὶ τοῖς Γότθοις πόλεμος
ξυνερράγη, τότε δὴ οἱ Γότθοι ὑποθωπεύοντες τοὺς
Φράγγους, καὶ ὅπως ἂν αὐτοῖς φίλοι τε ἐς τὰ
μάλιστα καὶ εὖνοι γένοιντο μηχανώμενοι, ἑτέρων τε
πολλῶν ἐξίστανται χωρίων καὶ μὲν δὴ καὶ τὸ Ἀλα-
μανικὸν γένος ἀφίεσαν. ἀγείρειν τε γὰρ ἐν τῷ τότε
πανταχόθεν τὰς σφετέρας ᾤοντο χρῆναι δυνάμει[ς]
καὶ τῆς ὑπηκόου ὁπόσα περιττὰ καὶ οὐ λίαν ἐπίκαιρ[α]
μεθιέναι, ὡς οὐκέτι ἀρχῆς τε πέρι καὶ δόξης ἀγω-
νιούμενοι, ἀλλ' ἤδη τὸν ὑπὲρ αὐτῆς τῆς Ἰταλία[ς]
καὶ τοῦ μὴ πάμπαν ἀπολωλέναι ἀναρρίψοντες κίν-
P. 18 δυνον. καὶ τοίνυν τὸ τοῦ μέλλοντος σφαλερὸν τ[ῷ]
αὐθαιρέτῳ δῆθεν τῆς γνώμης προκαταλαβόντ[ες]
ἑκουσίαν πεποίηνται τὴν ἀνάγκην. οὕτω δὴ ο[ὖν]
καὶ τὸ τῶν Ἀλαμανῶν ἔθνος ὑπὸ Γότθων ἀφειμένο[ν]
Θευδίβερτος αὐτὸς ἐχειρώσατο· ἐκείνου τε διαφθα-
ρέντος, ᾗπέρ μοι ἤδη ἐρρήθη, ἐπὶ τὸν παῖδα Θευδε-
βαλδον τῇ λοιπῇ ἅμα ὑπηκόῳ καὶ οἵδε ἐχώρουν.

7. Νόμιμα δὲ αὐτοῖς εἰσὶ μέν που καὶ πάτρια, τ[ὰ]
δέ γε ἐν κοινῷ ἐπικρατοῦν τε καὶ ἄρχον τῇ Φραγγικ[ῇ]
ἕπονται πολιτείᾳ, μόνα δέ γε τὰ ἐς θεὸν αὐτοῖς ο[ὐ]
ταὐτὰ ξυνδοκεῖ. δένδρα τε γάρ τινα ἱλάσκοντα[ι]
καὶ ῥεῖθρα ποταμῶν καὶ λόφους καὶ φάραγγας, κα[ὶ]
τούτοις, ὥσπερ ὅσια δρῶντες, ἵππους τε καὶ βόα[ς]
V. 14 καὶ ἄλλα ἄττα μυρία καρατομοῦντες ἐπιθειάζουσι[ν].
B ἀλλὰ γὰρ ἡ τῶν Φράγγων αὐτοὺς ἐπιμιξία, ε[ὖ]
ποιοῦσα, καὶ ἐς τόδε μετακοσμεῖ καὶ ἤδη ἐφέλκετ[αι]

τοὺς ἐμφρονεστέρους, οὐ πολλοῦ δέ, οἶμαι, χρόνου a. C. 552 Iustiniani 26
καὶ ἅπασιν ἐκνικήσει. τὸ γὰρ τῆς δόξης παράλογόν τε καὶ ἔκπληκτον καὶ αὐτοῖς, οἶμαι, τοῖς χρωμένοις, εἰ μὴ πάμπαν εἶεν ἠλίθιοι, γνώριμόν τέ ἐστι καὶ εὐφώρατον καὶ οἷον ἀποσβῆναι ῥᾳδίως. ἐλεεῖσθαι μὲν οὖν μᾶλλον ἢ χαλεπαίνεσθαι δίκαιοι ἂν εἶεν καὶ πλείστης μεταλαγχάνειν συγγνώμης ἅπαντες ὅσοι δὴ τοῦ ἀληθοῦς ἁμαρτάνουσιν. οὐ γὰρ δήπου ἑκόντες εἶναι ἀλῶνται καὶ ὀλισθαίνουσιν, ἀλλὰ τοῦ ἀγαθοῦ ἐφιέμενοι, ἔπειτα σφαλέντες τῇ κρίσει τὸ λοιπὸν ἔχονται τῶν δοκηθέντων ἀπρίξ, ὁποῖα ἄττα καὶ τύχοιεν ὄντα. τήν γε μὴν τῶν θυσιῶν ὠμότητα καὶ C
κακοδαιμονίαν οὐκ οἶδα εἰ οἷόν τε λόγῳ ἀκέσασθαι, εἴτε ἄλσεσιν ἐπιτελοῖντο ὥσπερ ἀμέλει παρὰ βαρβάροις εἴτε τοῖς πάλαι νενομισμένοις θεοῖς, ὁποῖα αἱ τῶν Ἑλλήνων ἐθέλουσιν ἀγιστεῖαι. ἐγὼ μὲν γὰρ ἡγοῦμαι μηδέν τι εἶναι τὸ ἡδόμενον βωμοῖς αἵματι φοινιμένοις καὶ ζῴων ὀλέθρῳ βιαιοτάτῳ· εἰ δέ γε εἴη καὶ ὁτιοῦν τὰ τοιάδε προσίεσθαι πέφυκεν, ἀγαθὸν μὲν οὐκ ἂν εἴη οὐδὲ ἥμερον, ἄγριον δέ τι ἴσως καὶ μανιῶδες, ὁποῖον τὸν Δεῖμον ἀναπλάττουσι …ετην οἱ ποιηταὶ καὶ τὸν Φόβον, Ἐνυώ τέ τινα καὶ …την καὶ Ἔριν, ὡς ἂν αὐτοὶ φαῖεν, τὴν ἀμαιμάκετον· προστίθει δὲ τούτοις, εἰ βούλει, καὶ τὸν παρὰ Πέρσαις καλούμενον Ἀρειμάνην καὶ τῶν ἄλλων D
…ονίων φασμάτων ὁπόσα κακοῦργα καὶ μιαιφόνα. ταῦτα μὲν οὖν εἰ καὶ ἴσως ἂν τῳ δοκοῖεν οὐ μάλα …ἐπαγγελίᾳ προσήκειν, εἶναι δὲ περιττὰ καὶ ἀλλότρια τῶν ἐφ' ἃ ἰέναι ἡμῖν διεσπούδασται, ἀλλ' ἔμοιγε καὶ λίαν ἀρέσκει ἅπαντα ἐς μέσον ἄγειν τὰ …ωσμένα, καὶ τὰ μὲν χρηστὰ τῶν πραγμάτων ἐν ἐκείνῳ ποιεῖσθαι, τῶν δὲ οὐχὶ τοιῶνδε κατηγορεῖν

52 26 ἀναφανδὸν καὶ τὸ ἀξύμφορον διελέγχειν. εἰ μὴ τοῦτο ἔχοιεν αἱ ἱστορίαι, ὡς ταύτῃ γε καὶ μᾶ χρήσιμοί τε εἶναι καὶ βιωφελέσταται, μόνη δὲ ι γησις εἶεν τῶν γεγενημένων ἁπλῆ τε καὶ ἀνεξέται κινδυνεύσαιεν ἴσως ἂν παρ' ἐνίοις, εἰ μὴ λίαν νὸν εἰπεῖν, οὐ πολλῷ εἶναι ἀμείνους τῶν ἐν γυ κωνίτιδι παρὰ τὴν ταλασίαν ᾀδομένων μυθολογι των. τούτων μὲν οὖν πέρι ὥς πῃ ἑκάστῳ φίλον, οιέσθω, ἐμοὶ δὲ ᾗπερ ὁ πρότερος ἐφέρετο λό ταύτῃ ἰτέα. Λεύθαρις γὰρ καὶ Βουτιλῖνος ἐπ τὴν ἀρχὴν κατὰ Ῥωμαίων ἐπιστρατεύειν ὡρμηθή ἐπηρμένω γε ἤστην ἄμφω ταῖς ἐλπίσι καὶ οἵω ι ἔτι ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν. Ναρσῆν γὰρ τὸν στρατηγὸν οὐδὲ τὴν προσβολὴν ὑποι σεσθαι ᾤοντο, ἅπασαν δὲ τὴν Ἰταλίαν οἰκεῖον αὐ ἔσεσθαι κτῆμα, καὶ πρός γε Σικελίαν καθέ θαυμάζειν δὲ ἔφασαν τῶν Γότθων, εἰ μάλα ο πεφρίκασιν ἀνδράριόν τι θαλαμηπόλον σκιατρι τε καὶ ἁβροδίαιτον καὶ πόρρω τοῦ ἀρρενα τεταγμένον. οἱ μὲν δή, βρενθυόμενοι τῇ τοια δόξῃ καὶ ἀγέρωχον ποιούμενοι τὴν παράταξιν τε Ἀλαμανῶν καὶ Φράγγων στράτευμα ἐς πέντε ἑβδομήκοντα χιλιάδας ἀλκίμων ἀνδρῶν ἀγείρα παρεσκευάζοντο τὰ πολέμια, ὡς αὐτίκα μάλα ἐς Ἰταλίαν καὶ δὴ ἐμβαλοῦντες.

8. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγός, εἰ τάδε ἐς τὸ ἀκριβὲς οὔπω ἐπέπυστο, ἀλλὰ προμη γε πλείστῃ χρώμενος καὶ φθάνειν ἀεὶ τὰς τῶν π μίων ἐθέλων ὁρμάς, αὐτίκα τὰ ἐς Τουσκίαν π σματα, ὑπὸ τῶν Γότθων ἔτι κατεχόμενα, ἔγι βιαιότατα παραστήσασθαι. οὔτε γὰρ τῇ νίκῃ ι τοῦ μετρίου φρυαττόμενος ἐς ἀπειροκαλίαν ἐπὶ

τε, ὅπερ ἕτερος ἂν ἐπεπόνθει, ἐς ῥᾳστώνην τε καὶ a. C. 552
υπάθειαν μετὰ τοὺς πόνους ἐξέκλινεν, ἀλλ' εὐθὺς Iustiniani 26
ως εἶχεν ὁρμῆς κινήσας τὸν στρατὸν ἐπὶ τὴν
ύμην ἐχώρει· πόλισμα δὲ Ἰταλικὸν ἡ Κύμη ἐχυ-
ὑτατον καὶ οἷον οὐ ῥᾷστα πολεμίοις ἁλῶναι. ἵδρυ-
ι μὲν γὰρ ἐπὶ λόφῳ τινὶ δυσπροσόδῳ τε καὶ
άντει· ἔστι δὲ καὶ ἐν περιωπῇ τοῦ πελάγους τοῦ
υρσηνικοῦ. ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος ἀνέχει, ὡς
αὶ ἀμφ' αὐτὸν δήπου τὸν πρόποδα ῥοχθεῖν τε καὶ
εριkλᾶσθαι τὸ ῥόθιον, ἄνω δὲ ἔρυμα περιβέβληται
ύργοις τε καὶ ἐπάλξεσι καρτερώτατα ἐξειργασμένον. V. 15
ωτίλᾳ τε οὖν καὶ Τεΐᾳ τοῖς βασιλεῦσι πρότερον τῶν D
ότθων γεγενημένοις, ὁπόσα ἐπίτιμά τε ἦν καὶ
ξιάγαστα τῶν κτημάτων, ἐν τῷδε τῷ φρουρίῳ, ὡς
έβαιον ὄν, ἐφυλάττετο. ἐνταῦθα δὲ οὖν ὁ Ναρσῆς
φικόμενος περὶ πλείστου ἐποιεῖτο ἑλεῖν τε ὡς τά-
ιστα τὸ χωρίον καὶ τῶν χρημάτων κρατῆσαι, ὡς
ήτε οἱ Γότθοι ὁρμητήριον ἀσφαλὲς ἔχοιεν αὐτῷ τε
ὶ τῆς νίκης τελεώτατα ἐς ὅ τι μάλιστα ἐξεργασθείη.
λίγερνος γὰρ ὁ Τεΐα νεώτατος ἀδελφὸς τοῦ ἡγε-
όνος τῶν Γότθων γεγενημένου, ἔνδον γε ἦν τοῦ
εριβόλου καὶ στράτευμα ὁπόσον οἷόν τε ἦν ἀμφ'
ὐτὸν ἀγείρας οὐδέν τι εἰρηναῖον ἐβουλεύετο· καὶ
ι μὲν Τεΐας ἐν τῷ πολέμῳ ἀνῄρητο καὶ τὰ τῶν
ότθων πράγματα ἐκεκμήκει τε καὶ διελέλυτο ἤδη
ου ἐς τὸ ἀκριβὲς ἠκηκόει, ὁ δὲ οὐδ' ὣς ἀνίει οὐδὲ P. 20
ὴν ξυνενεχθεῖσαν ἐδείμαινε τύχην, ἀλλὰ τῷ τε
ύρῳ πίσυνος καὶ τῇ τῶν ἀναγκαίων εὐπορίᾳ
ρασύς τε ἦν ἔτι καὶ ὑψαύχην καὶ οἷος ἀμύνεσθαι,
ν τις ἐπίοι.

9. Εὐθὺς δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος
οσῆγε τὸν στρατόν. οἱ δὲ ξὺν πολλῷ πόνῳ ἐς τὸ

.552 ἄνωθεν τῷ τείχει ὁ τῶν Ῥωμαίων στρατὸς
ti-
i 26 ζοντες καὶ ἐπικροτοῦντες· θόρυβός τε ἦν πε
ἀναγκαίου πολὺς καὶ ταραχώδης ἡ πολιορκία
δὲ ἅπαν ἤδη τὸ τεῖχος ὁπόσον τῷ ἄντρῳ παρ
ἐκκρεμές τε ἦν καὶ μετέωρον καὶ μόνοις ἐπε
C τοῖς ξύλοις, ἃ δὴ ὀρθοστάδην ἐτύγχανον ἐρηρει
τότε δὴ φυλλάδα νήσαντες καὶ ὅ τι τῆς ὕλης
δαές τε καὶ αὗον, καὶ εἶτα ὑποθέντες πῦρ τε
σαντες ἐκτὸς ἀπεχώρουν. οὐκ ἐς μακρὰν
φλογὸς ἀρθείσης, τὰ μὲν στηρίγματα εὐθὺς
κούμενα κατεθραύετο καὶ πρὸς τὴν ἀντίθεσι
δίδου· τοῦ δὲ ἐρύματος ὁπόσον ἐπ' αὐτοῖς ἠ
ὑφίζανεν ἀθρόον καὶ κατωλίσθαινεν τῇ κε
πύργοι τε οἱ ἐνθένδε καὶ προμαχεῶνες ἐξαπ
ἀπορραγέντες τῶν ἄλλων ἐς τὸ πρανὲς ἐξεκυ
D σαν· ἥ τε πύλη ἡ τῷδε τῷ μέρει προσαραρυῖα
κέκλειτο μὲν εὖ μάλα βεβαιότατα, ὡς δὴ πο
παρόντων, καὶ τὰ κλεῖθρα ὑπὸ τῶν φυλάκων
χετο, ἡ δὲ αὐτοῖς μοχλοῖς τε καὶ βαλανάγραι
ναχθεῖσα ἐς τὴν ᾐόνα καὶ τὰς σπιλάδας ἠρ
ἅμα τε ἅπαντα τὰ ξυμπεπηγότα ἔτι ἐκλύζετο, σ
καὶ γεῖσον καὶ ὑπερθύριον καὶ οἱ θαιροὶ τῷ
ἐνηρμοσμένοι· τούτων δὲ γεγενημένων, τοῖς Ῥα
ῥᾳδίως τὸ λοιπὸν ἐσιτητέα εἶναι ἐδόκει ἀνὰ
λισμα καὶ περιοπτέα τῶν πολεμίων, ἡμάρτα
καὶ ὧς τῆς ἐλπίδος. σήραγγές τε γάρ τιν
ἀπορρῶγες τοῦ τε λόφου καὶ τῶν ἔνδοθεν π
λισμάτων ἐπὶ μέγα ἐκτεινόμεναι κρημνῶδες ἀ
22 καὶ δυσέμβολον οὐχ ἧττον ἀπεδείκνυσαν τὸ χ
καὶ Ναρσῆς μὲν θαρραλεώτερον τῷ φρουρίῳ
προσέβαλλεν, ὡς καὶ αὐτοβοεὶ ἅπαν ἀναρπασό
τῶν δὲ Γότθων ἐνταῦθα ξυνειλεγμένων καὶ

ένει ἀμυνομένων ἀπεκρούετο καὶ οὐδέν τι μᾶλλον a. C. 552 Iustiniani 26
χεν ἀνύτειν.

11. Ἐπεὶ δὲ πολέμῳ τε καὶ ἐπιδρομαῖς ἑλεῖν δήπου χωρίον ἀδύνατα ἦν, ἔγνω μὴ ἀπάσῃ τῇ στρατιᾷ τοῖσδε διαπονεῖσθαι, ἀλλ' ἐς Φλωρεντίαν καὶ εντουκέλλας καὶ ἄλλα ἄττα πολίσματα τῆς Τουσκίας ώρας εὐθὺς ἀφικέσθαι, ἅπαντά τε τὰ τῇδε κατατησάμενος προτερῆσαι τὴν ἐπήλυσιν τῶν πολεμίων. δη γὰρ αὐτῷ Λεύθαρις καὶ Βουτιλῖνος καὶ τὰ ράγγων δὲ καὶ Ἀλαμανῶν στρατεύματα εἴσω τοῦ Πάδου ποταμοῦ ἠγγέλλοντο παρεῖναι· ὧν δὴ ἕνεκα B ινήσας ὡς τάχιστα τὸ πλεῖστον τοῦ στρατοῦ ἐπὶ αύτην ἐχώρει. ἐπεὶ δὲ Φιλίμουθ ὁ τῶν ξυνεπομέων Ἐρούλων στρατηγὸς οὐ πολλαῖς πρότερον ἡμέαις νόσῳ ἁλοὺς ἐτεθνήκει, ἔδει δὲ ἄρα αὐτοὺς ἰδίῳ ινὶ τάττεσθαι ἡγεμόνι, αὐτίκα ὅ γε Φούλκαριν ύτοῖς τὸν ὁμόφυλον ἐπιστήσας, τὸν Φανιθέου δελφιδοῦν, ἐκέλευσεν ἅμα Ἰωάννῃ τῷ Βιταλιανοῦ, αὶ πρός γε Βαλεριανῷ καὶ Ἀρταβάνῃ, καὶ μὲν δὴ αὶ ἄλλοις στρατηγοῖς καὶ ταξιάρχοις, ξὺν τῷ πλείονι αὶ ἀλκιμωτάτῳ στρατῷ τὰς Ἄλπεις τὸ ὄρος περιελόντας, ὃ δὴ ἐν μέσῳ Τουσκίας τε τῆς χώρας καὶ Ἱμιλίας ἀνέχει, ἀμφὶ τὸν Πάδον ἱκέσθαι ποταμόν, ὐτοῦ τε στρατοπεδευσαμένους καὶ τὰ ἐρυμνὰ τῶν C ρίων προκαταλαβόντας ἀποκρούεσθαι καὶ ἀναέλλειν τὰς τῶν πολεμίων ἐφόδους, καὶ εἰ μὲν ώσασθαι αὐτοὺς τελεώτατα δυνηθεῖεν, χάριν δέναι τῇ τύχῃ, εἰ δέ γε βιαζόμενοι τῷ πλήθει οἷοί οὐκ εἶεν, ἀλλὰ σχολαιτέραν αὐτοῖς ποιήσασθαι ν πορείαν καὶ οὐ μάλα θαρραλέους ἀνὰ τὰ πρόσω ιτᾶν μεθιέναι, δεδίττεσθαι δὲ αὐτοὺς ἐς τὰ μάλιστα ὶ εἴργειν ὡς πορρωτάτω, ἕως αὐτὸς τὰ ἐν ποσὶν

A.C. 552 Iustiniani 26 V. 17 ἅπαντα ᾗ βούλοιτο διαθείη. οἱ μὲν οὖν κατὰ ταῦτα ἐχώρουν, κατέλιπεν δὲ καὶ ἐν Κύμῃ δύναμιν ἀξιόχρεων, ὅπως δὴ προσκαθεδούμενοι καὶ ἔνδον τοὺς δυσμενεῖς ἐγκατείργοντες χρονίᾳ γοῦν αὐτοὺς παρα-
D στήσοιντο πολιορκίᾳ. καὶ οἱ μὲν χαράκωμα περιεβάλλοντό τε καὶ τὰς ἐξόδους ἐφύλαττον, εἴ πού τινα ἕλοιεν ἐπὶ χιλὸν ἰόντα. ᾤοντο γὰρ αὐτοῖς ἤδη που ἐς ἐνιαυτὸν πολιορκουμένοις ἅπαντα ἐξαναλῶσθαι τὰ ἐπιτήδεια. Ναρσῆς δὲ ταῖς πόλεσι προσβαλὼν ἀκονιτὶ τὰς πλείστας προσηγάγετο. Φλωρέντιοι μὲν γὰρ ὑπαντιάσαντες καὶ τὰ πιστὰ κομισάμενοι ὡς οὐδὲν ἄχαρι πείσονται, σφᾶς τε αὐτοὺς ἐθελονταὶ καὶ τὰ οἰκεῖα παρέδοσαν. Κεντουκελλαῖοι δὲ ὅμοια ἔπραττον. Βολατερραῖοι δὲ οὐκ ἄλλως, οὕτω δὲ καὶ Λουναῖοι, καὶ μὲν δὴ καὶ Πισαῖοι. ὧδέ πως ἄρα αὐτῷ ἐξ οὐρίας ἅπαντα ἔθει καὶ ὁδῷ ἰὼν τὰ ἐν ποσὶν ἐχειροῦτο.

P. 23 12. Μόνοι δὲ οἱ ἐν Λούκᾳ τῇ πόλει διαμέλλειν ἐπειρῶντο καὶ ἥκιστα ἐφιέναι, καίτοι πρότερον ἐτύγχανον οἵδε ξυνθήκας θέμενοι πρὸς Ναρσῆν, ὁμήρους τε παρασχόντες καὶ ἐπομοσάμενοι ὡς εἴ γε τριάκοντα παραδράμοιεν ἡμέραι καὶ μή τις αὐτοῖς μεταξὺ παραγένοιτο ξυμμαχία, ὁπόση οἵα τε εἶναι ἀμύνασθαι καὶ ἐς πόλεμον ἐμφανῆ, οὐκ ἐκ πύργων τε καὶ περιβόλων ἀλλὰ ξυστάδην παρατάξασθαι· εἰ μὴ ταῦτα οὕτω ξυνενεχθεῖεν, ἦ μὴν αὐτίκα τὴν πόλιν ἐγχειριεῖν καὶ παραδώσειν. ᾤοντο γὰρ οὐκ ἐς μακρὰν παρέσεσθαι τοὺς Φράγγους καὶ ἐπαρήξειν. τούτοις δὲ πίσυνοι τὰς τοιάσδε ἐπεποίηντο ξυνθήκας. ἀλλὰ τότε ἡ μὲν κυρία παρῳχήκει, οἱ δὲ οὔπω παρῆσαν, τοῖς δὲ καὶ ὣς βουλομένοις ἦν περιορᾶν ἀμέλει καὶ ἀναίνεσθαι
B τὰ ξυγκείμενα. Ναρσῆς μὲν οὖν ἐξαπατηθείς, ὥσπερ

, ἐχαλέπαινε καὶ ἐς τειχομαχίαν παρεσκευάζετο. a. C. 552 Iustiniani 26
' δὲ τῶν ἀμφ' αὐτὸν καὶ χρῆναι ἐδόκει τοὺς
ους ἅπαντας διαφθαρῆναι, ὡς ἂν οἱ ἐν τῷ ἄστει
εῖεν καὶ ταύτῃ ποινὰς ὑφέξοιεν τῆς ἀπιστίας.
στρατηγός, γνώμῃ γὰρ ἅπαντα ἔπραττεν καὶ
αν τῇ ὀργῇ ξυνεχώρει, οὐκ ἐς τόδε ὠμότητος
ς ἀποκτεῖναι τοὺς μηδὲν ὅ τι ἠδικηκότας ἀνθ'
ἐροι ἐπλημμέλουν, δόλον δὲ ὅμως τοιόνδε τινὰ
νήσατο. παρῆγε γὰρ ἐς μέσον αὐτοὺς ἐναλ-
ν μὲν τὼ χεῖρε ὑπὸ τὴν ἰξὺν περιεσφιγμένους,
δὲ τὸ κάρα ἐπινενευκότας, ἐπεδείκνυέν τε τοῖς
λοις οὕτω πως οἰκτρότατα διακειμένους, καὶ
ει θᾶττον αὐτοὺς ἀναιρήσειν, εἰ μὴ τάχιστα
αιεν ἐκεῖνοι διαπραξάμενοι τὰ ὁπόσα ἐτύγχανον C
γηκότες. ξύλα δὲ αὐτοῖς βραχέα ἐκ τοῦ μετα-
υ ἐπὶ τοὺς τένοντας ὑπεβέβληντο, ῥάκεσί πως
υμμένα, ὡς μὴ διορῷεν καὶ πόρρωθεν οἱ πολέ-
ἐπεὶ δὲ οὐκ ἐπείθοντο, αὐτίκα ἐκέλευε δῆθεν
ηδὸν ἅπαντας καρατομεῖσθαι, καὶ οἱ δορυφόροι
χμενοι τὰ ξίφη βιαιότατα ἔπαιόν τε καὶ ἐπεφέ-
, ὡς δὴ τοὺς αὐχένας ἀποτεμοῦντες· ἡ δὲ πληγὴ
ξύλοις ἐγχρίπτουσα οὐδέν τι αὐτοὺς μᾶλλον
ο, κατέπιπτον δὲ ὅμως πρηνεῖς ἐκεῖνοι, προσ-
μένον αὐτοῖς, ἤσπαιρόν τε ἐθελούσιοι καὶ
ῶντο, ὑποκρινόμενοι τὸ διολωλέναι. ἰδόντες
ἐν τῷ ἄστει, καὶ τῷ διεστάναι ὡς πλεῖστον οὐ
ηθῆ διασκοποῦντες ἀλλ' ἢ τὰ φαινόμενα, ὠλο- D
ντό τε ἀθρόον καὶ ξυμφορὰν ἐποιοῦντο τὰ γεγε-
α. ἦσαν γὰρ οἱ ἄνδρες οἱ ὁμηρεύοντες οὐ τῶν
ν τε καὶ ἀγεννῶν, ἀλλ' ἐπίσημοι ἐν τοῖς
τα καὶ εὐπατρίδαι. ὡς δὴ οὖν τοιούτων αὐτοὺς
ερεῖσθαι οἰομένους κωκυτὸς ἐπεῖχε μυρίος,

a.C. 552 Iustiniani 26 οἰμωγαί τε ἠκούοντο θαμιναὶ καὶ φθέγμα θρηνῶδες καὶ δωλύγιον, γύναια δὲ πολλὰ διαπληκτιζόμενα καὶ τὰς ἐφεστρίδας περιρρηγνύντα ἀνὰ τοὺς προμαχεῶνας ἐφοίτων, τυχὸν μὲν μητέρες οὖσαι τῶν ἀπολωλέναι δοκούντων, τυχὸν δὲ ἐπίκληροι, τυχὸν δὲ ἄλλως
P. 24 ὁτῳοῦν τρόπῳ μέλον αὐταῖς. καὶ δὴ τῷ Ναρσῇ ἅπαντες ἀναφανδὸν ἐλοιδοροῦντο, ἀλαζόνα τε ἀποκαλοῦντες καὶ ἀτάσθαλον, καὶ ἔργῳ μὲν αὐτὸν εἶναι λέγοντες βίαιόν τε καὶ μιαιφόνον, τὴν δὲ τοῦ εὐσεβεῖν ἀεὶ καὶ τὸ θεῖον θεραπεύειν δόξαν ἄλλως αὐτῷ κεκομψεῦσθαι.

13. Ταῦτα δὲ αὐτῶν ἐπιβοώντων, "ἆρα οὖν οὐχ ὑμεῖς" ἔφη ὁ Ναρσῆς "τοῖσδέ τε αἴτιοι ὀλέθρου γεγένησθε περιφρονήσαντές γε αὐτοὺς καὶ καταπροέμενοι, ὑμῖν τε αὐτοῖς οὐ τὰ χρηστὰ βουλευσάμενοι φανεῖσθε ὅρκον ἐπίορκον ὀμωμοκότες καὶ ἀνέδην παρασπονδήσαντες; ἀλλ' εἴ γε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ ξυνοῖσον καὶ ἔργῳ τὰ
V. 18 ξυγκείμενα διανύσασθαι, οὐδέν τι ἔλαττον ἕξετε· οὗτοί τε γὰρ αὖθις ἀναβιώσονται καὶ τὴν πόλιν
B ὑμῶν ἥκιστα πημανοῦμεν. εἰ δὲ μή, οὐ τῶνδε πέρι ὑμῖν τὸ λοιπὸν ἀλγητέον, ἀλλ' ἤδη φράζεσθε ὅπως μὴ καὶ αὐτοὶ ἅπαντες ὅμοια πείσεσθε." ταῦτα δὲ ἐπεὶ ἤκουον οἱ Λουκανοί, ἐξαπατᾶν γε αὐτὸν ἡγοῦντο καὶ φενακίζειν ἐπὶ τῇ τῶν κειμένων ἀναζωγρήσει. καὶ ἦσαν γὰρ ὡς ἀληθῶς ἀπάτη οἱ λόγοι, οὐ μέντοι γε ᾗπερ ἐκεῖνοι ᾤοντο, προθυμότατα δὲ αὖθις ἀνωμολόγουν ὅμως καὶ ἐπώμνυντο σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν αὐτίκα παρέξειν αὐτῷ ἐς ὅ τι βούλοιτο χρῆσθαι, εἴ γε τοὺς ὁμήρους ἴδοιεν περιόντας· ἅτε δὴ γὰρ αὐτοῖς ἀδύνατον εἶναι δοκοῦν τοὺς τεθνεῶτας ἀναβιῶναι, εὐπρεπέστατα ἡγοῦντο ταύτῃ γοῦν ἀπο-

σείσασθαι τὸ ἐπίκλημα καὶ ἐπὶ σφᾶς αὐτοὺς τὰ δίκαια a. C. 553
μεταθεῖναι. τότε δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος Iustiniani 26
ἀνίστησί τε αὐτοὺς ἀθρόον καὶ ἐπεδείκνυντο τοῖς C
ὁμοφύλοις σῷοί τε καὶ ἀδήλητοι. οἱ δὲ ἐσιδόντες αὐτοὺς κατεπλήττοντο μέν, ὥσπερ εἰκός, τῷ παραλόγῳ τῆς θέας, οὐ μὴν οὐδὲ ὣς ἅπαντες ἐκτελεῖν τὰ ὁμωμοσμένα ᾤοντο χρῆναι, ἀλλ' ἦσαν οἳ καὶ ἀνήνοντο. ἐπειδὴ γὰρ αὐτοῖς περιῆσαν οἱ ἄνδρες, καὶ τὸ ἀλγοῦν τῆς γνώμης καὶ ἀνιώμενον ἐς τὸ εὔελπι μετεβέβλητο, πάλιν, ἅτε δὴ ὅμιλος, ἐς τὰ πρότερα ἐπανήεσαν καὶ τὰ τῆς ἀπιστίας ἐνίκα. ἐς τοῦτο δὲ αὐτῶν ἀβελτερίας ἐληλακότων, Ναρσῆς ὁ στρατηγὸς πολλῇ χρώμενος τῇ μεγαλοφροσύνῃ ἀφίησι τούτους εὐθὺς καὶ ἐς τὰ οἰκεῖα ἐκπέμπει,
οὔτε λύτρα κομισάμενος οὔτε ἄλλο τι τὴν πόλιν D
ὁμολογεῖν ἀναγκάσας. θαυμαζόντων δὲ τῶν Λουκανῶν καὶ ὅτου δὴ ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων, "οὐ ξύνηθές ἐμοιγε" ἔφη "βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι. οἶμαι γὰρ καὶ τούτων ἄνευ, εἰ μὴ ὡς τάχιστα ἑκόντες εἶναι προσχωρήσοιτε, ἀλλὰ ταῦτά γε ὑμᾶς παραστήσονται." καὶ ἅμα λέγων ἐπεδείκνυεν τὰ ξίφη. οἱ μὲν δὴ ἄνδρες ἀφειμένοι καὶ τοῖς ὁμοφύλοις ἀναμιχθέντες ἐν εὐφημίᾳ πολλῇ τὸν Ναρσῆν ἐποιοῦντο ἐπὶ τοὺς ξυλλόγους φοιτῶντες· ἐμέμνηντο δὲ τῆς κομιδῆς τε καὶ ἐπιμελείας ὁπόσης ἔτυχον πρὸς αὐτοῦ, ὅτι τε μειλίχιος καὶ εὐόμιλος καὶ τὸ μεγαλουργὸν ἔχοι τῷ δικαίῳ ἀνακεκραμένον ἑκασταχοῦ ἐψιθυρίζετο. καὶ ἤμελλον ἄρα οὐκ ἐς μακρὰν οἷδε οἱ λόγοι μείζονα
τῶν ὅπλων διαπράττεσθαι, κατακηλοῦντες τοῦ πλή- P. 25
θους ὁπόσον φίλερι καὶ παλίμβολον, καὶ ὡς πλείστους ἀναπείσειν τὰ Ῥωμαίων ἑλέσθαι.

a. C. 552 Iustiniani 26 14. Ἔτι δὲ τοῦ Ναρσοῦ τῇ πολιορκίᾳ προσκαθημένου, τὰ ἐς Αἰμιλίαν σταλέντα τῶν Ῥωμαίων στρατεύματα*, ἐταράττετο τοῖς ξυνενεχθεῖσι καὶ δυσθυμίᾳ, ὥσπερ εἰκός, πολλῇ ἑαλώκει. ἐπειδὴ γὰρ αὐτόσε ἀφίκοντο, τὰ μὲν πρῶτα ξὺν εὐβουλίᾳ τε καὶ τάξει ἅπαντα ἔπραττον, καὶ εἴ που ἢ κώμην τινὰ ἢ πόλισμα δυσμενὲς ληισόμενοι ᾔεσαν, ξυντεταγμένοι εὖ μάλα ἐχώρουν καὶ οὐ πόρρω τοῦ μετρίου τὰς ἐπελάσεις ἐποιοῦντο· αἵ τε ἀναχωρήσεις αὐτοῖς οὐ διεσπασμέναι, ἀλλ' ἐν κόσμῳ ἐγίγνοντο, τῶν μὲν ὀπισθοφυ-
B λάκων ἐν τῷ δέοντι χώρῳ μενόντων, ἐς πλαίσιον δὲ τῆς φάλαγγος ταττομένης καὶ τὴν λείαν ἐς μέσον ἀπολαμβανούσης, ὡς ἂν βεβαιότατα διασώζοιτο. οὕτω δὲ αὐτῶν τό γε κατ' ἀρχὰς τὰ πολέμια χωρία λυμαινομένων, ὀλίγαις ὕστερον ἡμέραις ἅπαντα διέρρει τὰ πραχθέντα καὶ ἀνετέτραπτο. Φούλκαρις γὰρ ὁ τῶν Ἐρούλων στρατηγὸς ἀνδρεῖος μὲν δήπου ἦν καὶ οὐδὲν ὅ τι πολέμιον ἐπεφύκει δειμαίνειν, θρασὺς δὲ καὶ ταραχώδης καὶ τὸ δραστήριον οὐ μάλα ἐν δέοντι κεκτημένος, στρατηγοῦ τε καὶ ἡγεμόνος οὐ τὸ κοσμεῖν καὶ διατάττειν τὴν φάλαγγα γνώρισμα εἶναι ἡγεῖτο, ἀλλ' εἴ που προφανεὶς ἐν μάχῃ καὶ προαλάμενος θυμῷ τε ἀθρόον ἐμβαλὼν ἐς τοὺς
C ἀντιπάλους ἔπειτα αὐτουργήσειε τὰ πολέμια, ταύτῃ γε ηὔχει καὶ ἐβρενθύετο. τότε δὴ οὖν καὶ μᾶλλον ἐς ἀπειροκαλίαν ἠρμένος ἐπιδρομὴν ἐς Πάρμαν ἐποιεῖτο τὴν πόλιν· ἐτύγχανεν δὲ ἡ Πάρμα ὑπὸ τῶν Φράγγων ἤδη κατεχομένη· προσῆκον δὲ αὐτὸν κατασκόπους πρότερον ἐκπέμψαι τοὺς γνωματεύσοντας ἐς τὸ ἀκριβὲς τὰ βουλεύματα τῶν πολεμίων, οὕτω τε ἐν τάξει ἐπὶ προεγνωσμένοις ἰέναι, ὁ δὲ προπε-
V. 19 τείᾳ μόνῃ καὶ ὁρμῇ παραλόγῳ πίσυνος ἐπαγόμενος

ͅν ἀκοσμίᾳ τὸ τῶν Ἐρούλων στράτευμα καὶ ἄλλους a. C. 552 Iustiniani 26
τόσοι ἐκ τῶν Ῥωμαϊκῶν εἵποντό οἱ ταγμάτων
ρομαῖος ἐχώρει, οὐδὲν ὅ τι ἀντίξουν ἔσεσθαι ὑπο-
πτήσας. ταῦτα δὲ προμαθὼν Βουτιλῖνος ὁ τῶν
ράγγων ἡγεμὼν ἔς ἀμφιθέατρόν τι οὐ πόρρω τῆς D
όλεως ἱδρυμένον, ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ
ος θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι,
ταῦθα δὴ οὖν ἀπολεξάμενος ἐκ τῶν οἰκείων στρα-
πέδων τοὺς εὐθαρσεῖς τε καὶ μαχιμωτάτους ἀπέ-
ρυπτε, καὶ μεγίστην ἐνέδραν καταστησάμενος
εσκόπει καὶ ἀνέμενεν τὸν τοῦ ἔργου καιρόν. ἐπεὶ
Φούλκαρίς τε καὶ οἱ Ἔρουλοι εἴσω τῶν πολεμίων
ύγχανον προελθόντες, τότε δὲ δοθέντος τοῦ ξυν-
ήματος ἐκδραμόντες οἱ Φράγγοι ἐσβάλλουσιν ἀθρόον
ς αὐτοὺς ἀτάκτως τε καὶ παρημελημένως ἰόντας,
ὐθύς τε οὐδενὶ κόσμῳ τοὺς ἐν χερσὶν ἅπαντας τοῖς
ίφεσι διεχρῶντο, καταπλαγέντας τῷ αἰφνιδίῳ καὶ P. 26
προσδοκήτῳ, μονονουχὶ σεσαγηνευμένους· μόλις δὲ
ἱ πλεῖστοι ξυναισθανόμενοι οὗπερ ἐγεγένηντο ξυμ-
ορᾶς ἀγεννῆ καὶ αἰσχίστην ἠσπάζοντο σωτηρίαν.
ραδόντες γὰρ τὰ μετάφρενα τοῖς πολεμίοις ἔφευ-
ν προτροπάδην, ἀλκῆς τε ἁπάσης ἐπιλελησμένοι
ὶ τῆς χρονίας τῶν κινδύνων μελέτης.

15. Οὕτω δὲ τοῦ στρατοῦ διαρρυέντος Φούλκαρις στρατηγὸς ἅμα τοῖς ἀμφ' αὐτὸν δορυφόροις περι-
λειμμένος χρῆναι ᾤετο μὴ ὁμοίως ἀποδιδράσκειν,
εινον δὲ δράσειν θάνατον ἑλόμενος εὐκλεᾶ ἢ τὸ
εννῶς ἐπιβιῶναι. καὶ τοίνυν εἱστήκει ὡς οἷόν τε
ἀσφαλέστατα, ἐπὶ τύμβῳ τινὶ τὰ νῶτα ἐρηρεισμέ-
ς, καὶ πολλοὺς τῶν πολεμίων διέφθειρεν, νῦν μὲν B
ρόον ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα ἐς τὰ ὀπίσω
οχαζόμενος. ἐξὸν δὲ αὐτῷ καὶ ὣς ἔτι εὐκολώτατα

52 ἀποδρᾶναι, καὶ τῶν ὀπαδῶν οὕτω ποιεῖν ἀντιβο- 26 λούντων, "καὶ πῶς ἂν ὑποσταίην τὴν γλῶτταν" ἔφη "Ναρσοῦ μεμφομένην μοι τῆς ἀβουλίας;" δεδιὼς δὴ οὖν, ὡς ἔοικε, τὴν κακηγορίαν μᾶλλον τοῦ ξίφους, ἔμενεν καὶ ἐπὶ πλεῖστον ἀντεῖχεν καὶ οὐκ ἀνίει μαχόμενος, ἕως τῷ πλήθει ξυνειλημμένος καὶ πολλοῖς ἀκοντίοις τὰ στέρνα βληθείς, ἤδη δὲ καὶ πελέκει τὴν κεφαλὴν κεχαραγμένος, μόλις δυσθανατῶν ἔπεσε πρηνὴς ἐπὶ τῆς ἀσπίδος. ἐπ' αὐτῷ δὲ καὶ οἱ ἄλλοι C χύδην ἐκτείνοντο ἅπαντες, ὅσοι δὴ ἐτύγχανον ἀμφ' αὐτὸν μεμενηκότες, τυχὸν μὲν ἐθελονταί, τυχὸν δὲ καὶ ὑπὸ τῶν πολεμίων εἰργόμενοι. Φούλκαρις μὲν οὖν στρατηγὸς αἱρεθεὶς οὐ λίαν ἀπώνατο τῆς τιμῆς, ἀλλὰ βραχύ τι εὐημερήσας, ὥσπερ ἐν ὀνείρατος εὐφροσύνῃ, ταχεῖαν ἔσχε καταστροφὴν τῆς τε ἀρχῆς καὶ τοῦ βίου. τούτου δὲ τοῦ πάθους γεγενημένου τὰ μὲν τῶν Φράγγων φρονήματα ἐπῆρτο ἐπὶ μέγα καὶ ἐπερρώννυτο, Γότθοι δὲ οἱ Αἰμιλίαν τε καὶ Λιγουρίαν καὶ τὰς ἐχομένας χώρας οἰκοῦντες, οἳ δὴ πρότερον ὕπουλον μὲν καὶ οὐκ ἐλευθέραν, εἰρήνην δὲ ὅμως καὶ ὁμαιχμίαν, τῷ δεδιότι μᾶλλον τῆς γνώμης ἢ τῷ ἡδομένῳ, ἐπεποίηντο, οὗτοι δὲ τότε D ἀναθαρρήσαντες καὶ ἀναφανδὸν παρασπονδήσαντες αὐτίκα τοῖς βαρβάροις κατὰ τὸ ὁμοδίαιτον προσεχώρουν. τὰ δὲ τῶν Ῥωμαίων στρατεύματα, ὧν δὴ Ἰωάννης τε ὁ Βιταλιανοῦ, ἧπέρ μοι ἤδη ἐρρήθη, καὶ Ἀρταβάνης ἡγοῦντο, τοῦ τε Ἐρουλικοῦ ὁμίλου ὁπόσον τῇ φυγῇ διεσέσωστο, αὐτίκα ἐς Φαβεντίαν μετανέστησαν τὴν πόλιν. ᾤοντο γὰρ οἱ στρατηγοὶ οὐ πρὸς αὐτῶν εἶναι ἀμφὶ τὴν Πάρμαν ἔτι ἱδρῦσθαι τοῦ τε πλήθους τῶν πολεμίων αὐτοῦ ἀγερθέντος καὶ ὅτι παραλόγως εὐημερήσαντες οὐκέτι ἐχρῶντ

χη μετρίως. αἵ τε γὰρ πόλεις τῶν Γότθων a. C. 552 Iustiniani 26
; ἀνεπετάννυντο καὶ δὴ φρούρια ἐχυρὰ κατα- P. 27
τες ἐπίδοξοι ἦσαν πανσυδὶ αὐτοῖς ἐπεισπε-
ιι. ταῦτα ἄρα οἱ στρατηγοὶ ὡς πλησιαίτατα
νης ἱκέσθαι διενοήθησαν, καὶ ταύτῃ τοὺς πολε-
ἀλέασθαι, ἐπεὶ μηδὲ ἀξιόμαχοι αὐτοῖς ᾤοντο
τούτων δὲ τῷ Ναρσῇ ἀπηγγελμένων, ἤσχαλλε
γε καὶ ἐδυσφόρει ἐπὶ τῇ τῶν βαρβάρων ἀλα-
καὶ τῷ Φούλκαριν ἀθρόον ἀπολωλέναι, ἄνδρα
ν ἀσήμων καὶ λανθανόντων, ἀλλ' ἀνδρειότατον
; μάλιστα καὶ ἀρίδηλον, νίκας τε πολλὰς ἀνα- V. 24
ενον καὶ οἷον οὐπώποτε ἂν πολεμίοις, οἶμαι,
ι, εἰ μετῆν ἐν μέρει καὶ εὐβουλίας τῇ ῥώμῃ.
ν μὲν οὖν ἕκατι ὑπερήλγει καὶ ὠλοφύρετο, οὐ
ὥσπερ οἱ πολλοί, κατεπέπληκτό γε καὶ ἐδεδίει, B
ιαὶ τὸ ἀμφ' αὐτὸν στράτευμα, ἐπειδὴ αὐτοὺς
τῷ παραδόξῳ κατεπτηχότας, ἔγνω παραίνεσιν
ἐν κοινῷ ποιήσασθαι, ὡς ἂν πρὸς εὐψυχίαν
; ἀνακαλέσοιτο καὶ τὸ δεδιὸς ἐκθεραπεύσοι.

6. Ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων ἐς τὰ μάλιστα καὶ
ήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι,
ιιδείας μὲν αὐτῷ οὔτι μάλα μετῆν οὐδὲ τὰ
γλωττίας ἐπεφρόντιστο, φύσεως δὲ ὅγε δεξιό-
ιέπρεπε καὶ παραστῆσαι οἷός τε ἦν λόγῳ τὰ
ευμένα, καὶ ταῦτα τομίας γε ὢν καὶ ἐν τοῖς
ίοις τρυφερώτερον ἀνατεθραμμένος. ἦν δὲ
ιὶ τὸ σῶμα βραχὺς καὶ ἐς ἰσχνότητα ἐκδεδιη- C
ς, τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν ἐς τοσοῦ-
έκτητο ἐς ὅσον ἀμέλει καὶ ἀπιστεῖσθαι. οὕτως
ῳ ἂν ἐν τῇ ψυχῇ φρόνημα ἐλευθέριόν τε καὶ
ον ἐνῇ, τούτῳ δὲ οὐδὲν ὁτιοῦν κώλυμα γίγνε-
ἢ οὐχὶ εἶναι ἀρίστῳ. τότε δὴ οὖν ὁ Ναρσῆς

παρελθὼν ἐς μέσον τῆς στρατιᾶς ἔλεξε τοιάδε· "Τοῖς μὲν εἰθισμένοις ἑκάστοτε τῶν πολεμίων κρατεῖν καὶ διὰ παντὸς αἰσίων πειρᾶσθαι τῶν ἔργων, τούτοις εἴ γέ τι καὶ πρὸς βραχὺ μὴ καθ' ὅσον οἴονται χρῆναι ξυμπέσοι, παραιρεῖται τὸ χαῖρον εὐθὺς καὶ τὰς ἐλπίδας ἀμβλύνει. ἐγὼ δὲ προσήκειν οἶμαι τοῖς ἔμφροσιν ἐν ταῖς εὐπραγίαις τῇ τύχῃ μὴ ξυνεξαίρεσθαι, ἀλλ' ὡς ῥᾴδιον ὂν μεταβολὴν γίγνεσθαι τῶν παρόντων, οὕτως ἀεὶ παρεσκευάσθαι τὰς γνώμας· τοῖς γὰρ ὧδέ πως ἔχουσιν τρόπου ἥδιστον μὲν εὐτυχία φανεῖται, οὐ σφόδρα δὲ λυπηρὸν εἴ που καὶ παρὰ γνώμην σφαλεῖεν. ὁρῶ τοίνυν ὑμᾶς, ὦ ἄνδρες, πλέον ἢ κατὰ τὸ ξυμβὰν ἀνιωμένους, καὶ δῆλον ὡς οὐχ ἑτέρωθεν τοῦτο πεπόνθατε ἢ μόνον τῷ πέρα τοῦ μετρίου μεγαλαυχεῖν τῇ τοῦ νικᾶν ξυνηθείᾳ καὶ μηδέποτε διαμαρτεῖν οἰηθῆναι, ὥστε, εἰ τήνδε τὴν δόξαν ἀφέντες μόνον καθ' ἑαυτὸν σκοπήσοιτε τὸ πραχθέν, οὐκ ἂν ὑμῖν ὀφθείη τηλικοῦτον δεινὸν ὁπόσον ἄλλως ἡγεῖσθε. εἰ γὰρ καὶ Φούλκαρις ὁ στρατηγός, ἅτε δὴ βάρβαρος καὶ τὸ προπετὲς ἐπιχωριάζων πρὸς τοσαῦτα πολεμίων πλήθη ξὺν ἀκοσμίᾳ διακινδυνεύσας μετέσχεν ἐκείνων εἰκότως ὧνπερ ἀκόλουθον ἦν, ἀλλ' ὑμῖν, ὦ ἄνδρες, οὐδ' ὣς ἀποκνητέον τὰ νῦν οὐδὲ τὰ προεγνωσμένα μεταθετέον. αἰσχρὸν γάρ, εἰ Γότθων μὲν οἱ περιόντες, καὶ ταῦτα τοῦ γένους αὐτοῖς διαρρυέντος, οἱ δὲ καὶ ξυμμαχίας ἐπάγονται καὶ μείζους ἡμῖν ἐγείρουσι πόνους καὶ οὐ παντελῶς ἀπειρήκασι πρὸς τὰς τύχας, ἡμεῖς δὲ νῦν ἡττῆσθαι μόνον ὑποτοπήσαντες τῷ μὴ σφόδρα νενικηκέναι καταπροήσομεν τῶν προϋπαρξάντων τὴν εὔκλειαν, ἀποβαλόντες τὴν προθυμίαν. καίτοι χαίρειν ἡμῖν μᾶλλον προσήκει ἐπὶ τῷ γεγενη-

ἐνῷ. ἐν τούτῳ γάρ, οἶμαι, τὸ ὑπερβάλλον τῆς εὐτυ- a. C. 552 Iustiniani 26
ίας κεκόλασται καὶ τὸ λίαν διαφθονεῖσθαι πεφεύ-
αμεν, καὶ τὸ λοιπὸν θαρρεῖν ἡμῖν πάρεστι τοὺς
γῶνας, ὡς ἐνθένδε πάλιν νικᾶν ἀρχομένοις. εἰ γὰρ
αἰ πλήθει σεμνύνεται τὸ πολέμιον, ἀλλ' εὐκοσμίᾳ
ε κατὰ τὸ μᾶλλον αὐτῶν, ἢν σωφρονῶμεν, περιε-
όμεθα, μαχούμεθά τε πρὸς ἄνδρας ἐπήλυδας καὶ
ῶν ἐπιτηδείων, ὥσπερ εἰκός, ἀπορουῦντας, εὖ τού-
ων ἡμεῖς ἔχοντες· φρούρια δὲ πολλὰ καὶ πόλεις
σφάλειαν ἡμῖν, εἴ που δεήσει, παρέξουσι, τοῖς δὲ
ῦτα οὐκ ἔσται. ξυναγωνιεῖται δὲ καὶ τὸ κρεῖττον
ῖν, ὡς σφόδρα δικαίως ὑπὲρ τῶν οἰκείων ἀμυνο-
ένοις· οἱ δὲ τὴν ἑτέρων δῃοῦσιν. οὕτω πανταχόθεν
ῖν τὸ μὴ λίαν εὐέλπιδας εἶναι παράλογον, μήτι C
δεδιέναι. οὐκοῦν Λουκανοῖς τε τούτοις μηδαμῶς
ῶμεν ἀναπνεῦσαι τῆς πολιορκίας, καὶ πρὸς τὸν
ον πόλεμον ἅπας τις ὑμῶν ἐμμελέστατα τῇ προ-
μίᾳ παρεσκευάσθω."

17. Τοιαῦτα ὁ Ναρσῆς εἰπὼν ἐθάρρυνέ τε αὐτίκα
στράτευμα καὶ μᾶλλον ἀκριβῆ τὴν πολιορκίαν
ὸς τοὺς Λουκανοὺς ἐποιεῖτο. ἐχαλέπαινε δὲ τοῖς
λοις στρατηγοῖς, ἀνθ' ὧν τὰ ἐπίκαιρα χωρία V. 28
ταλιπόντες οἱ δὲ ἐς Φαβεντίαν ἐτύγχανον ἀφιγ-
νοι καὶ ἐς τοὐναντίον αὐτῷ τὰ τῆς προμηθείας
ώρει. ὁ μὲν γὰρ ἀμφὶ Πάρμαν τὴν πόλιν ὥσπερ
προβόλου καὶ ἐρύματος μοίρᾳ τετάχθαι τὰ ξὺν
ίνοις στρατεύματα χρῆναι ἡγεῖτο, ὅπως οἱ μὲν
λυμα εἶεν τοῖς ἐναντίοις ἐς τὰ πρόσω ἰέναι, αὐτὸς D
κατὰ σχολὴν εὖ μάλα τὰ ἐς Τουσκίαν ἅπαντα
ταστησάμενος εἶτα ἐπ' αὐτοὺς διαβαίη. νῦν δὲ
ίνων πόρρω μεταναστάντων ξυνέβαινε τοὺς ἀμφὶ
Ναρσῆν προτέρους ἐκκεῖσθαι τοῖς πολεμίοις·

a.C. 552 Iustiniani 26 τότε δὴ πλέον ἔπραττον ἐς τοὺς Ῥωμαίους, καὶ ἐπ' ἐκείνοις τάχιστα ἂν ἅπασα ἡ πόλις ὑπεκ
B νῦν δὲ οἱ τῶν Φράγγων ἁρμοσταί, οἳ δὴ ἐτύγ ἔνδον ἐπὶ φρουρᾷ τοῦ ἄστεος ἐγκαταστάντες, κειντο παροτρύνοντες πολεμεῖν καὶ τοῖς ὅπλοις θεῖσθαι τὴν πολιορκίαν. αὐτίκα δὴ οὖν αἵ τε ἀνεπετάννυντο καὶ ἐπεκδρομὰς ἐξαπιναίους ἐς Ῥωμαίους ἐποιοῦντο, ταύτῃ οἰόμενοι περιέσε ἀλλ' ἤμελλον οἵγε δρᾶν μὲν ἐλάχιστα τοὺς μίους, μεγάλα δὲ ἡλίκα πημαίνεσθαι. οἱ γὰ πλεῖστοι τῶν Λουκανῶν ἤδη ἀναπεπεισμένοι τῶν ἔνδον πραττόντων ἐθελοκακοῦντες ἐμάχ ἐπεὶ δὲ αὐτοῖς θαμὰ πειρωμένοις οὐδὲν τῶν σθέντων προυχώρει, ἀλλὰ πολλοὺς τῶν σφε
C ἀποβάλλοντες αἰσχράς τε καὶ ἀγεννεῖς ἀναχωρ ἐποιοῦντο, αὖθίς τε εἴσω τοῦ περιβόλου γενό ἀκριβέστερον ἐγκατείργοντο, ὡς μηκέτι αὐτοῖς ἐξιτητέα, τότε δὴ ἅπαντες ὡς οὐχ οἷόν τε ὂν α ἄλλως σφᾶς αὐτοὺς διασώσασθαι, μετεβάλοντο ἀνάγκης ἐς τὸ εἰρηναῖον τὰς γνώμας καὶ τὸ εὖ διαθεῖναι ἠβούλοντο. καὶ οὖν αὐτίκα τὰ κομισάμενοι πρὸς Ναρσοῦ ὡς οὐδὲν αὐτοῖς προγεγενημένων ἕνεκα ὀργιεῖται, τήν τε πόλιν δοσαν καὶ ἐσεδέχοντο ἄσμενοι τὸν στρατόν, ἤδη μηνῶν ἐν τῇ πολιορκίᾳ τριβέντων, καὶ αὖθις βασιλέως τοῦ Ῥωμαίων κατήκοοι.

19. Ναρσῆς δέ, ἐπεὶ ἐξεπεπολιόρκητό οἱ ἡ Λ
D καὶ οὐδὲν ἔτι ἀντίπαλον ἦν, ἀποδιατρῖψαι μ αὐτῇ οὔτι μάλα ᾤετο χρῆναι οὐδ' ὅσον ἀναπν τῶν πόνων, καταλιπὼν δὲ αὐτοῦ Βόνον τὸν τηγὸν τὸν ἐκ Μυσίας τῆς πρὸς τῷ Ἴστρῳ πο παρατεταμένης, ἄνδρα ξυνέσεώς τε ἐς ἄκρον ἥ

ν ἀγαθὸν τά τε πολιτικὰ καὶ πολέμια, δύνα- a.C. 552 Iustiniani 26
αὐτῷ παραδοὺς ἀξιόχρεων καὶ ὅση ῥᾳδίως
ν, εἰ καί τι νεωτερίσοιεν οἱ τῇδε βάρβαροι,
σθαι καὶ καθέξειν, ταῦτα δὴ οὖν οὕτω κατα-
ενος ἠπείγετο ἰθὺ τῆς Ῥαβέννης ἰέναι, ἐφ'
ἐνταῦθα στρατεύματα ἐς τὸ διαχειμάζειν με-
ἐπειδὴ γὰρ τὸ μετόπωρον ἤδη ἐτελεύτα καὶ
ὰς χειμερίους τροπὰς ταῦτα ἐπράττετο, πολε-
μὲν οὔ οἱ ἐς ἐκεῖνο τοῦ καιροῦ εἶναι ἐδόκει. P. 31
ὰν τοῦτο ὑπὲρ τῶν Φράγγων ἤμελλεν ἔσεσθαι,
πολέμιον μὲν τὸ πνῖγος καὶ πλείστην ἐντίθησι
ιίαν, καὶ οὐκ ἄν ποτε θέρους ἑκόντες εἶναι
ἔσαιντο, σφριγῶσι δὲ ὑπὸ τοῦ κρύους ἀεὶ καὶ
ώτατοι γίγνονται καὶ ἥδιστα τότε διαπονοῦν-
ουσι γὰρ πρὸς τοῦτο οἰκείως τῷ δυσχείμερον
χ κεκτῆσθαι καὶ οἷον ξυγγενὲς αὐτοῖς εἶναι
εσθαι. τούτων δὴ οὖν ἕκατι διαμέλλειν ἐπει-
κὶ ἐς νέωτα τὸν πόλεμον μεταθέσθαι. καὶ οὖν
ἀσας τὸ στράτευμα κατὰ λοχαγοὺς καὶ ταξιάρ-
να τὰ ἐχόμενα πολίσματά τε καὶ φρούρια δια-
ιν ἐκέλευσεν, ἅμα δὲ ἦρι ἀρχομένῳ ἥκειν ἐς B
ἅπαντας καὶ ἀγείρεσθαι, ὡς ἐνθένδε πανσυδὶ
ξομένους. καὶ οἱ μὲν κατὰ ταῦτα ἐχώρουν·
ς δὲ ἐπὶ Ῥάβενναν ἰὼν μόνους ἐπήγετο τοὺς
ὐτὸν θεραπευτάς τε καὶ δορυφόρους καὶ ὅσοι
χῆς αὐτῷ ὑπηρέται ἐτύγχανον ὄντες, οἷς δὴ
ια ἐπεφρόντιστο τῆς τε ἄλλης εὐκοσμίας πέρι,
ος μὴ χύδην ἅπασι τοῖς βουλομένοις ὡς αὐτὸν
χ εἴη. τούτους δὲ ἔθος Ῥωμαίοις ἐκ τῶν
ων ἐπονομάζειν καὶ τῆς ἐν τούτοις ἐπιμε-
εἵπετο δέ οἱ καὶ Ζανδαλᾶς ὁ τῶν οἰκοτρίβων
' πρωτοστάτης καὶ ὅσον ἄλλο οἰκετικὸν καὶ C

a. C. 552 Iustiniani 26 ὅσοι τομίαι κατευναστῆρες. ἄγων δὴ οὖν τοὺς
παντας ἄνδρας ἐς τετρακοσίους ἐπὶ Ῥάβενναν

20. Ἐν τούτῳ δὲ Ἀλίγερνος ὁ Φρεδιγέρνου μὲν
ἀδελφὸς δὲ Τεΐα γεγενημένος, οὗ δὴ καὶ πρότ
ἐπεμνήσθην ἐν τῇ τῆς Κύμης πολιορκίᾳ, οὗτο
ὁ Ἀλίγερνος, ἐπειδὴ οἱ Φράγγοι ἐς τὴν Ἰτα
παρῆσαν καὶ ἐς αὐτοὺς ἤδη τὰ τῶν Γότθων π
ματα μετεχώρει, μόνος γε πέφηνεν τότε ξυνεὶ
ξυνοῖσον καὶ στοχαζόμενος τῶν μελλόντων. βουλ
μένῳ γὰρ αὐτῷ περὶ τῶν παρόντων προσῆ
V. 27 ἐννοεῖν ὡς ἄρ' οἱ Φράγγοι σκῆψιν μέν τινα
D προκάλυμμα εὐπρεπὲς τὸ τῆς ξυμμαχίας ὅ
ποιοῦνται, ὡς δὴ μετάκλητοι ἀφιγμένοι, τὸ δὲ
λόμενον αὐτῶν τῆς γνώμης ἕτερόν τι φανεῖται
γὰρ ἐθελήσουσιν, εἰ καὶ τῶν Ῥωμαίων περιέσο
παραχωρῆσαι τοῖς Γότθοις τῆς Ἰταλίας, ἀλλ'
προτέρους ἐκείνους καταδουλώσονται, οἷς τῷ
ἥκουσιν ἐπαμυνοῦντες, ἄρχοντάς τε αὐτοῖς ἐπι
σουσι Φράγγους καὶ ἀφαιρήσονται τῶν πατ
νομίμων αὐτούς. ταῦτα δὴ οὖν ἐν ἑαυτῷ
λογιζόμενος καὶ ἀνελίττων, ἅμα δὲ καὶ τῇ πολι
πιεζόμενος, ἄμεινόν οἱ κατεφάνη, τήν τε πόλι
τὰ χρήματα τῷ Ναρσῇ παραδοῦναι καὶ τὸ λο
Ῥωμαϊκῆς μεταλαχεῖν πολιτείας, κινδύνων τε
γενέσθαι καὶ βαρβαρικῶν διαιτημάτων. ὅσιον
ᾤετο εἶναι, εἰ μὴ τοὺς Γότθους ἔνεστι τὴν Ἰτα
P. 32 κεκτῆσθαι, τοὺς γοῦν ἐκ παλαιοῦ οἰκήτοράς τ
ἰθαγενεῖς τὸ ἀνέκαθεν ἡγεμόνας αὐτὴν ἀνακ
σασθαι καὶ μὴ μέχρι παντὸς τῶν σφετέρων ἀπο
ρεῖσθαι. ταῦτα δὴ οὖν αὐτός τε ἐπιτελεῖν τὸ μ

ϊλας πρότερον ὡς ἐθέλοι πρὸς τὸν στρατηγὸν a. C. 552 Iustiniani 26
καὶ εἶτα ἐφειμένον αὐτῷ παραγίγνεται ἐς
ɜεις, οὗ δὴ τὸν Ναρσῆν διατρίβειν ἐπέπυστο.
κι δὲ τὸ φρούριον ἐν τῇ Ῥαβέννης περιοικίδι.
ἡ ἐς ὄψιν αὐτῷ ἀφιγμένος τάς τε κλεῖς τῆς
ς ἐνεχείρισε καὶ ἅπαντα ὑπηρετήσασθαι ὡμο-
πρὸς εὐνοίας αὐτῷ· καὶ ὃς ἀπεδέχετό τε αὐτὸν
ροσχωρήσεως καὶ μείζοσιν ἀγαθοῖς ἐπηγγέλλετο B
ωρεῖσθαι· τότε δὲ εὐθὺς ἀπόμοιραν μέν τινα
μφὶ τὴν Κύμην στρατοπεδευομένων ἐκέλευσεν
τοῦ περιβόλου γενέσθαι, αὐτήν τε τὴν πόλιν
: χρήματα παραληψομένους καὶ ἅπαντα ἐν τῷ
εῖ διαφυλάξοντας, τὸ δὲ λοιπὸν στράτευμα ἐν
ς πολίσμασί τε καὶ φρουρίοις ἀναχωρεῖν, ὡς
ι οἳ διαχειμάσοιεν. καὶ οὕτως ἅπαντα ἐπράτ-
ἐπεὶ δὲ ὁ τῶν Ἐρούλων στρατὸς οἰκείου αὖθις
νος ἐχήρευε, δύο δὲ ἄνδρε ἤστην ἐν αὐτοῖς
ιω τε καὶ ἀμφηρίστω, ἐμερίζοντο ἡ πληθὺς ἐφ'
ιον ταῖς γνώμαις. τὸ μὲν γάρ τι αὐτῶν περὶ
ου τὸν Ἀροὺθ ἐποιοῦντο, καὶ ἅπαντα σφίσιν C
ιν ᾤοντο ἔσεσθαι, εἴ γε ἐκεῖνος ἡγοῖτο· τοὺς δὲ
ιδουαλ ἤρεσκεν, ἅτε δὴ δραστήριος ἐς τὰ
ɛα καὶ εὖ τὰ πολέμια ἠσκημένος. οἷς δὴ καὶ
ῆς θέμενος τοῦτόν γε αὐτοῖς ἐφίστησι στρατη-
κὶ ἔστελλεν καὶ τοὺς ὅπῃ ἄριστα ἤμελλον δια-
ειν. τὸν δὲ Ἀλίγερνον ἐς Καίσηναν τὴν πόλιν
μπεν, εἰρημένον αὐτῷ, ἐπειδὰν αὐτόσε ἀφι-
, ἀναβάντα ἐς τὸ τεῖχος ὑπερκύπτειν ἀναφαν-
ὸς ἅπασιν ὅστις εἴη διαγνωσθῆναι. προσέταττε
ὅτα, ὅπως δὴ οἱ Φράγγοι, ἐνθένδε γὰρ διαβή-
ι ἤμελλον, θεάσαιντό τε αὐτὸν αὐτομολήσαντα
παγορεύσαιεν τῇ ἐπὶ τὴν Κύμην πορείᾳ καὶ

552 τῇ τῶν χρημάτων ἐλπίδι, ἴσως δὲ καὶ παντ
ti-
126 πολέμῳ, ὡς ἤδη ἀπάντων προκατειλημμένων·
D μὲν ἐπειδὴ παριόντας ἑώρα τοὺς Φράγγους, ἐπ
τόμει τε αὐτοὺς ἐκ τοῦ μετεώρου καὶ ἐπέσκα
ὡς μάτην τὸ λοιπὸν ἐπειγομένους καὶ κα
ἥκοντας τῶν πραγμάτων, τοῦ τε πλούτου πι
ὑπὸ Ῥωμαίων κατεχομένου καὶ αὐτῶν γε δὴ
παρασήμων τῆς Γοτθικῆς ἡγεμονίας· ὡς εἴ γ
τις τὸ λοιπὸν βασιλεὺς τῶν Γότθων ἀναδειχθεί
ἔχειν ὅτῳ ἀρίδηλος εἴη καὶ ἐπίτιμος, ἀλλ' ἀμ
νυσθαι μόνον στρατιωτικὴν ἐφεστρίδα καὶ ἰδιωτ
33 τῷ σχήματι. οἱ δὲ Φράγγοι ἀφύβριζον μὲν ἐς
καὶ ἐλοιδοροῦντο καὶ προδότην ἀπεκάλουν
γένους, καί πως ἀμφίδοξοι ἐγίγνοντο ἐπὶ
παροῦσιν, ὡς καὶ βουλεύεσθαι εἰ πολεμητέα·
δὲ ὅμως τὸ μὴ μεταμέλειν αὐτοῖς, ἀλλ' ἐ
ὥρμηντο τὴν ἀρχήν, καὶ δὴ ἐπὶ ταῦτα ἰέναι.

21. Ἐν τούτῳ δὲ ὁ Ναρσῆς τῇ Ῥαβέννῃ ἐπ
καὶ τοῖς ἐνταῦθα στρατεύμασιν ὁμιλήσας καὶ
24 ἐν δέοντι καταστησάμενος ἐς Ἀρίμινον ἐχώρε
πόλιν ξὺν τοῖς ὁπόσοι αὐτῷ καὶ πρότερον εἵπ
ἐπειδὴ γὰρ Οὐάκκαρος ὁ Οὔαρνος τὸ γένος
πρότερον ἐτεθνήκει, ἀνὴρ ἐν τοῖς μάλιστα δεινό
καὶ φιλοπόλεμος, αὐτίκα ὁ παῖς ὁ ἐκείνου Θ
βαλδος, τοῦτο γὰρ ὄνομα τῷ παιδί, ἅμα τοῖς
B μένοις Οὐάρνοις, βασιλεῖ τῷ Ῥωμαίων προσε
καὶ ἐς Ἀρίμινον παρῆν, ὡς αὐτοῦ τῷ Ναρσῇ ἐ
ξόμενος. ὧν δὴ ἕνεκα ἐνταῦθα καὶ ὅγε ἀφῖκτο
ᾧ ἅπαντας χρυσίῳ φιλοφρονησάμενος βεβαιό
ὅ τι μάλιστα ἔχοι ξυμμάχους. ἐν τούτοις δὲ
διημερεύοντος ἄνδρες τῶν Φράγγων ἐς δισχι
ἀναμὶξ πεζοὶ καὶ ἱππόται, οἳ δὴ ἐτύγχανον ἐς

ε καὶ λεηλασίας τῆς χώρας ὑπὸ τῶν σφετέρων a. C. 552
ὶνων σταλέντες, οὗτοι δὲ ἀγχοῦ τῆς πόλεως Iustiniani 26
ημένοι τούς τε ἀγροὺς ἐσίνοντο καὶ τοὺς βόας
ν τοὺς ἀροτῆρας καὶ ἅπαντα ἔφερον ἀνέδην,
ιὶ αὐτὸν δήπου τὸν Ναρσῆν ἐπιφράσασθαι τὰ
μενα. ἧστο γὰρ ἐς ὑπερῷόν τι δωμάτιον ἐν
ιπῇ τοῦ πεδίου. αὐτίκα δὴ οὖν, αἰσχρὸν γάρ τι C
γεννὲς ᾤετο εἶναι τὸ μὴ οὐχὶ ἐκ τῶν παρόντων
χσθαι, ὑπεξῄει τοῦ ἄστεος, ἵππου ἐπιβὰς εὐη-
του καὶ ἀγερώχου καὶ οἵου οὐκ ἄτακτα ἐξάλ-
ι καὶ σκιρτᾶν, ἀλλὰ τάς τε ἐπελάσεις καὶ ἀνα-
ιάς τῇ πείρᾳ πεπαιδευμένου· ἀλλὰ γὰρ καὶ τῶν
αὐτὸν τοὺς ὁπόσοι οὐ πάμπαν ἀγνῶτες τὰ
ια ἦσαν ἕπεσθαί οἱ ἐκέλευε. καὶ οἱ μὲν ἐς τοὺς
ς ἀναθορόντες, ἦσαν δὲ ἄνδρες ἐς τριακοσίους,
ἀρτουν τε καὶ ἐπήλαυνον ἰθὺ τῶν πολεμίων.
ἐσιδόντες αὐτοὺς ἐπιόντας σποράδην μὲν
ι ἡλῶντο οὐδέ, οἶμαι, τῆς λείας ἐγίγνοντο,
ζοντο δὲ ἐπὶ σφᾶς ἅπαντες, τό τε ἱππικὸν καὶ
οί, καὶ ἐς φάλαγγα ξυνετάττοντο, βαθεῖαν μὲν D
ιάλα, πῶς γὰρ οἷόν τε ἦν οὐ σφόδρα πολλῶν
ἀφιγμένων; καρτερὰν δὲ ὅμως τῷ ξυνασπισμῷ
ῷ τὰ κέρα ἐν κόσμῳ ξυννενευκέναι. οἱ δὲ
ἶοι ἐπειδὴ ἐς τόξου γε ἤδη βολὴν ἐγεγένηντο,
αι μὲν καὶ ξυρράξαι τοῖς πολεμίοις εὖ παρα-
μένοις ἥκιστα ᾤοντο χρῆναι, τοξεύμασι δὲ καὶ
ίσμασιν ἀκροβολιζόμενοι ἐπειρῶντο σφῆλαι τοὺς
ρστάτας καὶ διαρρῆξαι τὴν πύκνωσιν τοῦ με-
ν. ἀλλ' ἐκεῖνοι ταῖς ἀσπίσιν ἄριστα περιπε-
μένοι ἵσταντο ἀστεμφεῖς καὶ ἀδόνητοι, οὐδαμοῦ
νεχὲς τῆς τάξεως διασπῶντες, ἐπεὶ καὶ ὕλης
λασίας κυρήσαντες ὥσπερ ἐρύματι τοῖς δένδροις

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Β.

a.C. 553 Iustiniani 27 1. Ἤδη δὲ τοῦ ἦρος ἐπιγιγνομένου ἐνταῦθα :
τὸ προστεταγμένον ξυνεκροτοῦντο αἱ δυνάμεις
P. 35 ἅπαντα ἤθροιστο τὰ στρατεύματα. Ναρσῆς δὲ ἐξαι
V. 26 τε ἐπὶ πλέον αὐτοὺς ἐκέλευεν τὰ πολέμια καὶ ἐ
ρώννυεν τὸν θυμὸν ταῖς καθ' ἡμέραν μελέταις,
χάζειν τε ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κι
ἀναπάλλεσθαι ἔς τε πυρρίχην περιδινεῖσθαι
θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι τὸ ἐνυάλιον
χούσῃ, ὡς μὴ πάμπαν τῷ ἀνειμένως διαχειμ
B ἐπιλελησμένοι τοῦ πολέμου εἶτα ἐν αὐτῷ δι
ἀγῶνι μαλθακισθεῖεν. ἐν τούτῳ δὲ οἱ βάρι
σχολαίτερον πορευόμενοι τὰ ἐν ποσὶν ἅπαντα ἐδ
καὶ ἐλυμαίνοντο. ὑπερβάντες δὲ ὡς ἀνωτάτω Ῥι
τε τὴν πόλιν καὶ ἅπασαν τὴν περιοικίδα ἤεσαν
τὰ πρόσω, ἐν δεξιᾷ μὲν ἔχοντες τὰ Τυρσηνικὰ πε
ἐπὶ θάτερα δὲ αὐτοῖς παρετέταντο αἱ τοῦ Ἰι
κόλπου ῥηγμῖνες. ἐπεὶ δὲ ἐς Σάμνιον τὴν χ
P. 36 οὕτω καλουμένην ἀφίκοντο, ἐνταῦθα διεκρίθ
ἐφ' ἑκατέραν πορείαν. καὶ Βουτιλῖνος μὲν ἅμ
πλείονι καὶ ἀλκιμωτάτῳ στρατῷ ἀνὰ τὰς Τυρση
ἠόνας ἐχώρει· καὶ Καμπανίας τε τὰ πλεῖστα ἐλη

δὴ καὶ Λευκανίας ἐπέβη, καὶ εἶτα Βρεττίᾳ a. C. 553
:λλεν, καὶ μέχρι τοῦ πορθμοῦ προῆλθεν, ὃς Iustiniani 27
λίαν τε τὴν νῆσον καὶ τὸ τέρμα τῆς Ἰταλίας
ει. Λεύθαρις δὲ τὰ λοιπὰ στρατεύματα ἐπα-
Ἀπουλίαν ἔλαχε σίνεσθαι καὶ Καλαβρίαν.
Ὑδροῦντος τῆς πόλεως ἵκετο, ἣ δὴ ἐπὶ τῷ
ἵδρυται τῆς Ἀδριάδος θαλάττης, ὅθεν ὁ
ρχεται κόλπος. ὅσοι μὲν οὖν αὐτῶν Φράγγοι
ῖς ἐτύγχανον ὄντες, οὗτοι δὲ φειδοῖ πολλῇ ἀμφὶ
καὶ εὐλαβείᾳ ἐχρῶντο, ἅτε δὴ τὰ ὀρθὰ καὶ
ρείττονος πέρι νόμιμα προσιέμενοι, ᾗπέρ μοι B
ήθη, καὶ παραπλήσια τοῖς Ῥωμαίοις ἱερουρ-
. τὸ δὲ Ἀλαμανικὸν ἅπαν, ἕτερα γὰρ ἐκείνοις
) δοκεῖ, ἐδῄουν τοὺς νεὼς ἀφειδῶς καὶ ἀπη-
πολλὰς μὲν γὰρ κάλπεις ἱεράς, πολλὰ δὲ
ντήρια πάγχρυσα, συχνὰ δὲ κύπελλα καὶ
αι ὅσα ταῖς μυστικαῖς ἁγιστείαις ἀνεῖται,
δὲ ἀφαιρούμενοι ἅπαντα οἰκεῖα κτήματα
το. τοῖς δὲ οὐδὲ τάδε ἀπέχρη, ἀλλὰ τάς τε
τῶν ἱερῶν ἀνακτόρων κατέβαλλον καὶ τὰς
ς ἀνεκίνουν· λύθρῳ τε τὰ τεμένη περιερρεῖτο
λήια ἐμιαίνετο, πολλαχοῦ νεκρῶν ἀτάφων
ιμμένων. ἀλλ' οὐκ ἐς μακρὰν αὐτοὺς τὰ
μετῆλθεν μηνίματα. οἱ μὲν γὰρ πολέμῳ, τὸ V. 27
ὶτῶν νόσῳ διεφθάρη, καὶ οὐδεὶς ὅστις ἀπώ- C
ῆς προτέρας ἐλπίδος· ἀδικία γὰρ καὶ θεοῦ
ευσία φευκτὰ μὲν ἀεὶ καὶ ἀξύμφορα, μάλιστα
ῷ προσπολεμεῖν καὶ παρατάττεσθαι. πατρίδι
ρ ἐπαρήγειν καὶ νόμοις πατρίοις καὶ τοῖς
λυμαινομένοις ἥκιστα ἐφιέναι, ἀλλὰ παντὶ
ἀμύνεσθαι, ὅσιόν τι ἂν εἴη καὶ μάλα γενναῖον·
κέρδους ἕκατι καὶ δυσμενείας ἀλόγου μηδὲν

. 553 sti- ni 27 ἐπίκλημα ἔνδικον ἔχοντες ἔπειτα φοιτῶσιν ἀνὰ τὴν ὀθνείαν τοὺς μηδὲν ἠδικηκότας σινόμενοι, οὗτοι δὲ
D ἀλαζόνες εἰσὶ καὶ ἀτάσθαλοι, οὔτε θέμιν εἰδότες οὔτε μέλον αὐτοῖς εἰ τὸ θεῖον νεμεσᾷ τοῖς γιγνομένοις. τοιγάρτοι ποιναί γε αὐτοὺς μετίασιν ἀκριβεῖς καὶ σφίσιν ἐς ἀνηκέστους ξυμφορὰς τὰ πράγματα τελευτῶσιν, εἰ καὶ ἐπὶ βραχὺ εὐημερεῖν νομισθεῖεν. ὁποῖα καὶ τότε τοῖς ἀμφὶ Λεύθαρίν τε καὶ Βουτιλῖνον βαρβάροις ξυνέβη.

2. Ἐπειδὴ γὰρ ταῦτα ἔδρασαν καὶ πολύ τι λαφύρων περιεβάλοντο χρῆμα, ἤδη τε τὸ ἔαρ παρῳχήκει καὶ ἡ τοῦ θέρους ἤκμαζεν ὥρα, Λευθαρίῳ μὲν θατέρῳ τῶν ἡγεμόνων βουλομένῳ ἦν οἴκαδε ἀπονοστῆσαι καὶ τοῦ ὄλβου ἐμπίπλασθαι. ἔστελλεν δὲ ὡς τὸν ἀδελφὸν ἀγγελιαφόρους, παρακελευόμενος καὶ τόνδε ὡς τάχιστα ἐπανιέναι, χαίρειν εἰπόντα τῷ
37 πολέμῳ καὶ τῇ ἀδήλῳ τύχῃ τῶν ἐσομένων. Βουτιλῖνος δὲ καὶ ὅτι ὠμωμόκει τοῖς Γότθοις ἦ μὴν ξυνάρασθαι αὐτοῖς τὸν πρὸς Ῥωμαίους ἀγῶνα, καὶ ὅτι αὐτὸν ἐκεῖνοι ἐθώπευον, βασιλέα σφῶν ἀναδεῖξειν ἐπιθρυλοῦντες, ἐδόκει οἱ μενετέα εἶναι καὶ τὰ ξυγκείμενα διανυστέον. καὶ ὁ μὲν τούτων δὴ ἕνεκα ἔμενέ τε αὐτοῦ καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. Λεύθαρις δὲ ἅμα τῇ ἀμφ' αὐτὸν δυνάμει εὐθὺς ἀπεχώρει καὶ ὡς ἂν ἀσφαλέστατα τὴν λείαν διακομίσῃ ἠπείγετο, βεβουλευμένον αὐτῷ, ἐπειδὰν οἴκαδε ἵκηται, τότε δὴ εὐθὺς ὡς τὸν ἀδελφὸν στεῖλαι τὸ στράτευμα ξυλληψόμενον αὐτῷ τοῦ κινδύνου. ἀλλ' οὔτε ἐκείνῳ ἐς τέλος ἀπέβη τὰ δοκηθέντα τῷ τε ἀδελφῷ
B οὐ μάλα ἤρκεσεν ἐπαμῦναι. ἤδη γὰρ αὐτῷ ἀνὰ τὴν αὐτὴν πορείαν ἐπανερχομένῳ μέχρι μὲν Πικηνοῦ τῆς χώρας οὐδὲν ὅτι ἀντίπαλον ξυνηνέχθη· ὡς δὲ

θα ὁδῷ ἰὼν ἐγεγόνει, αὐτὸς μὲν περὶ τὴν a. C. 553 Iustiniani 27
ἐστρατοπεδεύετο τὴν πόλιν, ἔστελλε δὲ εὐθύς,
εἰώθει, προφύλακας καὶ διοπτῆρας ἄνδρας ἐς
λίους, οὐ μόνον ἐπισκεψομένους τὰ πρόσω,
γὰρ καὶ εἴ που πολέμιοι φανεῖεν ἀμυνουμέ-
Ἀρταβάνης δὲ καὶ Οὔλδαχ ὁ Οὖννος, ἐτύγχα-
ὶρ ἅμα στρατεύματι Ῥωμαϊκῷ τε καὶ Οὐννικῷ
σαυρον τὴν πόλιν ξυνειλεγμένοι καὶ ἐφε-
ντες τῇ παρόδῳ, οὗτοι δὴ οὖν, ἐπειδὴ ἐκείνους
ροπορευτὰς ἐθεάσαντο ἐν αὐτῷ δὴ τῷ αἰγιαλῷ
ονίου κόλπου καὶ τῇ κροκάλῃ πορευομένους, C
άντες τοῦ ἄστεος ἐσβάλλουσιν ἀθρόον ἐς αὐτούς,
ια παρατεταγμένοι, καὶ πολλοὺς μὲν τοῖς ξίφεσι
τες διεχρῶντο, ἔνιοι δὲ αὐτῶν ὑπὲρ τὸ κρη-
ς καὶ ἀπερρωγὸς τῆς ᾐόνος ἀναβάντες ἔπειτα
τοῦ πρανοῦς ὑποφερόμενοι, καὶ ἐς τὴν θάλατ-
κτωκάρα ἐκπίπτοντες ἀπώλλυντο, ἐμφορούμε-
ῦ ῥοθίου. ἐπῆρται γάρ πως ἐνταῦθα ἡ ἀκτὴ
σπερ γεώλοφόν τι ἀποτελεῖ, οὐ πανταχόθεν
τε καὶ εὐεπίδρομον οὐδὲ οἷον τοῖς ἐπ' ἄκρου
ιένοις εὐκόλους παρέχειν τὰς ἀναβάσεις, ἀλλ'
ηρὸν ὡς τὰ πολλὰ καὶ σηραγγῶδες καὶ ἐς τὸ
όμενον τῆς ῥηγμῖνος ἐπικεκλιμένον. οὕτω δὴ
ῶν πλείστων διαφθειρομένων, καθορῶντες οἱ
ἔφυγον οὐδενὶ κόσμῳ, βοῇ τε ξὺν πολλῇ καὶ D
ῇ ἀνὰ τὸ στρατόπεδον ἐσπεσόντες θορύβου
ραχῆς ἅπαντα ἔπλησαν, ὡς αὐτίκα μάλα τῶν
ίων ἐπελευσομένων. αὐτός τε δὴ οὖν Λεύθαρις
στατο ἐς παράταξιν, καὶ ἅπαν τὸ στράτευμα
το. καὶ τοίνυν ἀναλαβόντες τὰ ὅπλα ἐς φά-
καθίσταντο βαθεῖάν τε καὶ ἐπὶ μέγα παρα-
ένην. ἐν τούτοις δὲ αὐτῶν καταστάντων, καὶ

a. C. 553 Iustiniani 27 οὐδὲν ὁτιοῦν αὐτοῖς ἕτερον ἐν νῷ τίθεσθαι πι χοντος τοῦ καιροῦ, οἱ πλεῖστοι τῶν αἰχμαλώ ἀφύλακτοι ἀθρόον γεγενημένοι ἀπεχρῶντο ἐν δέ τῇ τῶν πολεμίων ἀσχολίᾳ· αὐτοί τε γὰρ ὡς τάχ διεδίδρασκον καὶ τῶν λαφύρων ὁπόσα οἷόν τι ἐς τὰ ἐχόμενα φρούρια διεκόμισαν.

P. 38 3. Ἐπεὶ δὲ Ἀρταβάνης τε καὶ Οὔλδαχ, ᾤ
V. 28 γὰρ οὐκ ἀξιόμαχοι εἶναι, ἥκιστα ἐπεξῆγον τὸ σ τευμα, τότε δὴ οἱ Φράγγοι, διελύετο μὲν αὐτο παράταξις, κατὰ σφᾶς δὲ γιγνόμενοι καὶ γνα τεύοντες, διεγίγνωσκον ὁπόσων ἐτύγχανον ἀφ μένοι. πρίν γε δὴ οὖν καὶ ἕτερόν τι παθεῖν, ἐδ αὐτοῖς ἐν καλῷ ἔσεσθαι, εἴ γε ὡς τάχιστα ἐκ Φ τῆς πόλεως ἀναστάντες ἴοιεν ἀνὰ τὰ πρόσω. τοίνυν αὐτίκα ἐχώρουν, ἀφέντες δὲ ἐν δεξιᾷ Ἰόνιον κόλπον καὶ ἅπασαν τὴν παράκτιόν τε ψαμαθώδη πορείαν ἀνὰ τοὺς πρόποδας τοῦ Ἀ ναίου ὄρους ἐπορεύθησαν. οὕτω τε ἰθὺ Αἰμι καὶ Ἀλπισκοτίας ἐλθόντες μόλις τὸν Πάδον ραιοῦντο. καταλαβόντες δὲ Βενετίαν τὴν χώραν
B Κένετα τὴν πόλιν κατήκοον οὖσαν σφῶν ἐν τῷ ηὐλίζοντο, αὐτοῦ τε τὸ λοιπὸν ἐν τῷ ἀσφαλεῖ τώμενοι ἤσχαλλόν τε ὅμως καὶ ἐδυσφόρουν, πολύ τι ὑπῆρχε διαφανὲς τῆς γνώμης τὸ ἀνιώμε αἴτιον δὲ ἦν, ὅτι δὴ αὐτοῖς ἐλάχιστα ἐκ τῆς ἐλείπετο, καὶ ἐδόκει ἄκαρπα καὶ ἀνόνητα διαπ νηκέναι. ἀλλ' οὐ μέχρι τοῦδε μόνον αὐτοῖς τὰ δυστυχημάτων ἐχώρει· ὀλίγῳ γὰρ ὕστερον καὶ ν τις λοιμώδης ἔφθειρε τὰ πλήθη ἐξαπιναίως ἐ πεσοῦσα. καὶ οἱ μὲν αὐτῶν μοχθηρὸν ἀποκαλ τες τὸν περικείμενον σφίσιν ἀέρα αἴτιον ἐκείνοι πάθους γεγενῆσθαι ἡγοῦντο, οἱ δὲ ὅτι πολέμοι

νοὺς καὶ ὁδοιπορίας μακρὰς διανύσαντες ἀθρόον a. C. 553 Iustiniani 27
:ὸ ἀβροδίαιτον μετεβέβληντο, τὴν τῆς διαίτης
ιλλαγὴν ᾐτιῶντο, τὴν δέ γε ὡς ἀληθῶς ἀρχήν C
αὶ ἀνάγκην τῆς ξυμφορᾶς οὐ μάλα διενοοῦντο.
ὲ ἄρα, οἶμαι, ἡ ἀδικία καὶ τὸ περιυβρίσθαι πρὸς
ὸν τά τε θεῖα ἀφειδῶς καὶ ἀνθρώπεια νόμιμα.
ς δὴ οὖν ὁ στρατηγὸς καὶ μάλα ἔνδηλος ἦν ὅτι
ιὐτὸν θεήλατοι μετῆλθον ποιναί. παραπλὴξ τε
ἐγεγόνει καὶ ἐλύττα περιφανῶς, καθάπερ οἱ
ονες καὶ μεμηνότες, κλόνος τε αὐτὸν ἐπεῖχε
ος καὶ οἰμωγὰς ἀφίει βαρείας· καὶ νῦν μὲν
ής, νῦν δὲ καὶ ἐπὶ θάτερα ἐν τῷ ἐδάφει κατέ-
εν, ἀφρῷ τε πολλῷ τὸ στόμα περιερρεῖτο καὶ
φθαλμὼ βλοσυρώ γε ἤστην καὶ παρατετραμμένω.
οῦτο δὲ ἄρα ὁ δείλαιος ἀφῖκτο μανίας ὥστε
ει καὶ τῶν οἰκείων μελῶν ἀπογεύσασθαι. ἐχό- D
ς γὰρ ὀδὰξ τῶν βραχιόνων καὶ διασπῶν τὰς
ας κατεβίβρωσκέ γε αὐτάς, ὥσπερ θηρίον δια-
ώμενος τὸν ἰχῶρα. οὕτω δὲ ἑαυτοῦ ἐμπιπλά-
ς, καὶ κατὰ σμικρὸν ὑποφθινύθων, οἰκτρότατα
ίω. ἔθνησκον δὲ χύδην καὶ οἱ ἄλλοι, οὐδὲν ὅ τι
ινιέντος τοῦ κακοῦ, ἕως ἅπαντες διεφθάρησαν.
πυρετῷ μὲν οἱ πλεῖστοι πιεζόμενοι νηφαλέοι γε
; ἀπώλλυντο. ἐνίοις δὲ καὶ ἀποπληξία ἐνέ-
:τεν ἰσχυρὰ καὶ ἑτέροις καρηβαρία καὶ παρα-
ύνη ἑτέροις. ποικίλα μὲν γὰρ αὐτοῖς ἐπεφέρετο
ι, ἅπαντα δὲ ἐς ὄλεθρον ἀπεκρίνετο. Λευθα-
μὲν οὖν καὶ τῷ οἱ ἑπομένῳ ὁμίλῳ ἐς τόδε τύχης P. 39
ῆς ἐκστρατείας ἐτελεύτα.

4. Ἐν ᾧ δὲ ταῦτα ἐν Βενετίᾳ ξυνέβαινε, Βουτι-
; ἅτερος στρατηγὸς τὰ μέχρι τοῦ πορθμοῦ τῆς
λίας πολίσματά τε καὶ φρούρια σχεδόν τι ἅπαντα

a.C. 553 Iustiniani 27 λυμηνάμενος ἐπανήει αὖθις ὡς τάχιστα ἰθὺ Καμπ
νίας τε καὶ Ῥώμης· ἠκηκόει γὰρ τὸν Ναρσῆν
τὰς βασιλέως δυνάμεις αὐτοῦ που ἠθροῖσθαι,
ἠβούλετο μὴ μέλλειν ἔτι μηδὲ ἀλᾶσθαι, ἀλλὰ πα
τῷ στρατῷ παραταξάμενος τὸν ὑπὲρ τῶν ὅλων κί
δυνον ἀναρρῖψαι, ἐπεὶ καὶ μέρος τι οὐκ ἐλάχιστ
καὶ τῆς ἀμφ' αὐτὸν στρατιᾶς νόσῳ ἑαλώκει
διεφθείρετο. ἤδη γὰρ τοῦ θέρους λήγοντος καὶ τ
φθινοπώρου ἀρχομένου, αἱ μὲν ἄμπελοι τῷ καρ
B ἐβρίθοντο, οἱ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων, ἅπαν
γὰρ τῷ Ναρσῇ ἐμφρονέστατα προδιήρπαστο, οἱ
τοὺς βότρυς ἀφαιρούμενοι καὶ ταῖς χερσὶ διαθλ
βοντες ἐνεφοροῦντο τοῦ γλεύκους, αὐτοσχεδιάζον
τὸν ἀνθοσμίαν. ἐνθένδε τε αὐτοῖς ἡ γαστὴρ
μέγα ἐφέρετο καὶ διέρρει, καὶ τὸ μέν τι αὐτ
ἔθνησκεν αὐτίκα, ἦσαν δὲ οἳ καὶ διεγίγνοντο. π
γε δὴ οὖν καὶ ἅπασιν ἐκνικῆσαι τὸ πάθος, ἐδόκει
εἶναι πολεμητέα, ἐς ὅ τι ἐκβαίη. καὶ τοίνυν ἀφι
μενος ἐς Καμπανίαν στρατοπεδεύεται οὐ πόρ
Καπύης τῆς πόλεως ἀμφὶ τὰς ὄχθας τοῦ Κασουλίν
V. 29 ποταμοῦ, ὃς δὴ ῥέων ἐκ τοῦ ὄρους τοῦ Ἀπινναί
C καὶ ἀνὰ τὰ ἐκείνῃ πεδία περιελιττόμενος ἐς τ
Τυρσηνικὴν φέρεται θάλατταν. ἐνταῦθα δὴ ο
ἱδρύσας τὸν στρατὸν χαράκωμά τε περιεβάλετο κα
τερὸν καὶ ἐπεποίθει τῷ χώρῳ· ὁ γὰρ ποταμὸς αὐ
ἐν δεξιᾷ ὑπορρέων ἀντ' ἐρύματος εἶναι ἐδόκει τ
μή τινα ἐπιέναι, καὶ τοὺς τῶν ἁμαξῶν τροχούς,
δὴ ὡς πλείστας ἐπήγετο, στοιχηδὸν ἐς ἀλλήλ
ἁρμόσας ἐνέπηξε τὰ ἐπίσσωτρα τῷ ἐδάφει, ἄχρι
ἐς τὰς πλήμνας περιχώσας, ὡς μόνα τὰ ἡμικύκ
ὑπερανέχειν καὶ προβεβλῆσθαι. τούτοις δὴ οὖν
ἑτέροις ξύλοις πολλοῖς ἅπαν τὸ στράτευμα ἐρυμνώ

ὁδόν τινα οὐ μάλα εὐρεῖαν καταλέλοιπεν κενὴν a. C. 553 Iustiniani 27
ῶν περιφραγμάτων, ὡς ἐκ τῆσδε αὐτοῖς ἐξείη ῥᾳδίως ᾗ βούλοιντο κατὰ τῶν πολεμίων ἐφόδους τε D
καὶ ἐπανόδους ποιεῖσθαι. ὅπως δὲ ἂν αὐτῷ μηδὲ τὰ τῆς γεφύρας τοῦ ποταμοῦ ἀφύλακτα εἴη μηδέ γε ἐνθένδε πημαίνοιτο, προκαταλαμβάνει τε αὐτὴν καὶ πύργον τινὰ ξύλινον ἐνταῦθα τεκτηνάμενος ἐφίστησιν ἐν αὐτῷ ἄνδρας ὁπόσους οἷόν τε ἦν μαχίμους τε καὶ ἄριστα ὡπλισμένους, ἐφ᾽ ᾧ ἐκ τοῦ ἀσφαλοῦς ἀμύνεσθαι καὶ ἀπερύκειν τοὺς Ῥωμαίους διαβησείοντας. οὕτω δὲ ἕκαστα διαθεὶς ᾤετό οἱ τὰ παρόντα ἐν δέοντι παρεσκευάσθαι, ὡς καὶ ἐν αὐτῷ δήπου κεισόμενον πολέμου κατάρχεσθαι καὶ οὐ πρότερον μάχης ἐσομένης, πρὶν ἂν ἐκείνῳ εἴη βουλομένῳ. καὶ τὰ μὲν ἀμφὶ τῷ ἀδελφῷ ἐν Βενετίᾳ ξυμβαίνοντα οὔπω ἐπέπυστο, ἐθαύμαζεν δὲ ὅτι δὴ P. 40
αὐτῷ κατὰ τὸ ξυγκείμενον τὸ στράτευμα οὐκ ἐπεπόμφει· καὶ ὑπετόπαζεν ὡς οὐκ ἂν ἐς τοσοῦτον ἐμέλλησεν, εἰ μή τι αὐτοῖς ξυνηνέχθη δεινὸν καὶ ἀντίξουν· πλὴν ἀλλὰ καὶ ἐκείνων ἄνευ περιέσεσθαι τῶν πολεμίων ἡγεῖτο, ἅτε δὴ τῷ πλήθει καὶ ὡς ὑπερβάλλων. ἐς τρεῖς γὰρ αὐτῷ μάλιστα μυριάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη στρατιὰ ξυνετάττετο· ἡ δὲ τῶν Ῥωμαίων δύναμις μόλις ἐν ὀκτωκαίδεκα χιλιάσιν ἐτύγχανεν οὖσα.

5. Αὐτός τε δὴ οὖν ὧδέ πως ἄριστα εἶχε προθυμίας, καὶ ἅπαντι τῷ στρατῷ παρεκελεύετο γιγνώσκειν ὡς ὁ παρὼν ἀγὼν οὐκ ἐπὶ σμικρῷ τινι χωρήσει, B
ἀλλ᾽ ἢ καθέξομεν" ἔφη "τὴν Ἰταλίαν, οὗ δὴ καὶ χάριν ἀφικόμεθα, ἢ λελείψεται ἡμῖν ἅπασιν ἀκλεῶς ἐνθάδε τεθνάναι. οὐκοῦν τόδε ἡμᾶς, ὦ γενναῖοι, μετ᾽ ἐκείνου ἑλέσθαι προσήκει, ἐξὸν ἄνδρας ἀγαθοὺς

553 ἐν τῷ πολέμῳ γιγνομένους ἀπόνασθαι ὧν ἐφιέμεθα." Βουτιλῖνος μὲν οὖν ταῦτά τε καὶ τὰ τοιάδε παραινῶν τοῖς πλήθεσιν οὐκ ἀνίει. οἱ δὲ ἐπερρώννυντο ταῖς ἐλπίσι καὶ τὰ ὅπλα ὥς πῃ ἑκάστῳ φίλον παρεσκευάζοντο. ὡδὶ μὲν γὰρ πελέκεις ἐθήγοντο πολλοί, ὡδὶ δὲ τὰ ἐπιχώρια δόρατα, οἱ ἄγγωνες, ἑτέρωθι δὲ τῶν ἀσπίδων αἱ διερρωγυῖαι πρὸς τὸ ἐνεργὸν μετεποιοῦντο, καὶ ῥᾳδίως αὐτοῖς ἅπαντα παρεσκεύαστο.
C λιτὴ γὰρ τοῦδε τοῦ ἔθνους ἡ ὅπλισις καὶ οἵα οὐ τεχνιτῶν δεῖσθαι ποικίλων ἢ μόνον ὑπ' αὐτῶν, οἶμαι, τῶν χρωμένων διακοσμεῖσθαι, εἰ καί τι διαφθαρείη. θωράκων μὲν γὰρ καὶ κνημίδων ἀγνῶτες τυγχάνουσιν ὄντες, τὰς δὲ κεφαλὰς οἱ μὲν πλεῖστοι ἀσκεπεῖς ἔχουσιν, ὀλίγοι δὲ καὶ κράνη ἀναδούμενοι μάχονται· γυμνοὶ δὲ τὰ στέρνα εἰσὶ καὶ τὰ νῶτα μέχρι τῆς ὀσφύος, ἐνταῦθα δὲ ἀναξυρίδας, οἱ μὲν λινᾶς, οἱ δὲ καὶ σκυτίνας διαζωννύμενοι τοῖς σκέλεσι περιαμπίσχονται. ἵπποις δὲ ἥκιστα χρῶνται, πλὴν σφόδρα ὀλίγων, ἅτε δὴ αὐτοῖς τὸ πεζομαχεῖν ξύντροφόν τε ὂν καὶ πάτριον καὶ ἄριστα μεμελετημένον. ξίφος δὲ τῷ μηρῷ καὶ ἀσπὶς τῇ λαιᾷ πλευρᾷ
D παρῃώρηται, καὶ τοίνυν τόξα ἢ σφενδόνας ἢ ἄλλα ἄττα ἑκηβόλα ὅπλα οὐκ ἐπιφέρονται, ἀλλὰ πελέκεις γὰρ ἀμφιστόμους καὶ τοὺς ἄγγωνας, οἷς δὴ καὶ τὰ πλεῖστα κατεργάζονται· εἰσὶ δὲ οἱ ἄγγωνες δόρατα οὐ λίαν σμικρά, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ἄγαν μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαί τε, εἴ που δεήσοι, καὶ ἐς τὰς ἀγχεμάχους παρατάξεις πρὸς τὰς ἐμβολὰς ἐφικνεῖσθαι. τούτων δὲ τὸ πλεῖστον μέρος σιδήρῳ πάντοθεν περιέχεται, ὡς ἐλάχιστόν τι διαφαίνεσθαι τοῦ ξύλου καὶ μόλις ὅλον τὸν σαυρωτῆρα· ἄνω δὲ ἀμφὶ τὸ ἄκρον τῆς αἰχμῆς καμπύλαι τινὲς ἀκίδες ἐξέχουσιν

κατέρωθεν ἐξ αὐτῆς δήπου τῆς ἐπιδορατίδος, ὥσπερ a.C. 553 Iustiniani 27 ἀγκιστρα ὑπογναμπτόμενα, καὶ ἐς τὰ κάτω νενεύκασι. καὶ οὖν ἀφίησι τυχὸν ἐν ξυμπλοκῇ τοῦτον δὴ τὸν P. 41 ἄγγωνα Φράγγος ἀνήρ. καὶ εἰ μὲν σώματί που ἐγχρίψειεν, ἐσδύεται μὲν εἴσω, ὥσπερ εἰκός, ἡ αἰχμή, οὔτε δὲ αὐτὸν τὸν βληθέντα οὔτε ἄλλον τινὰ ἐρύσαι ῥαδίως ἔνεστι τὸ δόρυ. εἴργουσι γὰρ αἱ ἀκίδες ἔνδον ἐνεχόμεναι τῇ σαρκὶ καὶ πικροτέρας ἐπάγουσαι τὰς ὀδύνας, ὥστε εἰ καὶ μὴ καιρίαν τὸν πολέμιον τρωθῆναι ξυνενεχθείη, ἀλλὰ ταύτῃ γε διαφθαρῆναι. εἰ δέ γε ἐς ἀσπίδα παγείη, ἀποκρέμαται μὲν αὐτίκα ἐξ αὐτῆς καὶ ξυμπεριάγεται, συρομένου ἐν τῷ ἐδάφει τοῦ ἀπολήγοντος· ὁ δὲ βληθεὶς οὔτε ἐξελκύσαι τοῦτο δὴ δύναται τὸ δόρυ διὰ τὴν ἔσδυσιν τῶν ἀκίδων οὔτε ξίφει διατεμεῖν τῷ μὴ B ἐφικνεῖσθαι τοῦ ξύλου, ἀλλὰ τὸν σίδηρον παρατετάσθαι. ἐπειδὰν δὲ τοῦτο ἐσίδοι ὁ Φράγγος, ὁ δὲ ἀθρόον ἐπιβὰς τῷ ποδὶ καὶ ἐμπατήσας τὸν σαυρωτῆρα καταβρίθει τὴν ἀσπίδα καὶ κατάγει, ὡς ὑποχαλάσαι τὴν τοῦ φέροντος χεῖρα καὶ γυμνωθῆναι τὴν κεφαλὴν καὶ τὸ στέρνον. τότε δὴ οὖν αὐτὸν ἄφρακτον ἐκεῖνος ἑλὼν ῥαδίως ἀπόλλυσιν, ἢ τὸ μέτωπον πελέκει πατάξας ἢ δόρατι ἑτέρῳ τὴν φάρυγα διελάσας. τοιαύτη μὲν τοῖς Φράγγοις ἡ ὅπλισις καὶ ἐν τοῖσδε τὰ ἐς τὸν πόλεμον παρεσκευάζοντο.

6. Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπειδὴ ταῦτα ἐγνώκει, αὐτίκα ὅγε ἅπαντι τῷ στρατῷ ἄρας C ἐκ τῆς Ῥώμης στρατοπεδεύεται οὐ πόρρω τῶν πολεμίων, ἀλλ' ὅσον πατάγου τε ἀκούειν καὶ διορᾶν τὸ χαράκωμα· οὕτω δὲ τῶν στρατευμάτων ἀλλήλοις ἀναφανέντων, πολλὴ μὲν ἑκατέρωθεν ὑπῆρχεν παράταξις, πολλαὶ δὲ φρουραὶ καὶ ἀγρυπνίαι καὶ τῶν

a. C. 553 Iustiniani 27 νόντων, ἀλλ' εὐπατρίδης ἐν τοῖς μάλιστα καὶ δηλος, ἕνα τῶν οἰκείων θεραπόντων ἀπεκτονα οἰκτρότατα ἐφ' ὁτῳοῦν καὶ σφαλέντα. αὐτίκ οὖν ἐπίσχὼν τῷ ῥυτῆρι τὸν ἵππον παράγει ἐς τὸν ἀνδροφόνον, ὡς οὐχ ὅσιον ὂν ἐπὶ τὸν πό ἰέναι πρὶν ἀπολυμήνασθαι καὶ ἀφαγνίσαι τὸ μί ἐπεὶ δὲ αὐτῷ πυνθανομένῳ τὸ πραχθὲν ἀνωμ ὁ βάρβαρος καὶ οὐκ ἀνήνετο, τοὐναντίον μὲ
P. 43 καὶ ἐφετὸν εἶναι ἔφασκε τοῖς κεκτημένοις σφετέρους δούλους ᾗ βούλονται μετιέναι, ὅτι οἱ ἕτεροι, εἰ μὴ σωφρονοῖεν, ἀλλὰ γὰρ καὶ παραπλήσια πείσονται· ἐπειδὴ οὖν, ὥσπερ οὐ μέλον αὐτῷ τῆς παροινίας, θρασύς γε ἦν ἐ ὑψαγόρας καὶ λίαν φονῶντι ἐῴκει, παρακελεύ Ναρσῆς τοῖς δορυφόροις ἀποκτεῖναι τὸν ἄνδρα ὁ μὲν ξίφει τὴν λαπάραν διατορηθεὶς ἐτεθνήκ δὲ τῶν Ἐρούλων ὅμιλος, οἷα δὴ βάρβαροι, ἠν καὶ ἐχαλέπαινον, καὶ ἀπόμαχοι ἔσεσθαι διενοο ὁ δὲ Ναρσῆς οὕτω πως τὸ τῆς μιαιφονίας ἄγος διοπομπησάμενος, καὶ τῶν Ἐρούλων ὀλίγα φρ σας, ἐχώρει ἀνὰ τὴν παράταξιν, ἀνειπὼν ἐν
B καὶ ἀναβοήσας ὡς ὅ γε βουλόμενος τῆς νίκης λαχεῖν ξυνεπέσθω. οὕτω δή τι ἄρα διαφανῶς ποίθει τῇ τοῦ κρείττονος ἐπικουρίᾳ καὶ ὡς ἐπὶ διεγνωσμένοις ἐφοίτα. Σίνδουαλ δὲ ὁ τῶν Ἐρο ἡγεμὼν αἰσχρόν τι εἶναι ἡγεῖτο καὶ ἀγεννές, πολέμου τοσούτου ξυνεστηκότος αὐτός τε καὶ ὁ αὐτὸν στρατὸς λιποταξίου ἁλοῖεν, δόξοιέν τε τ ἔργῳ δεδιέναι τοὺς πολεμίους, σκῆψιν δέ τιν προκάλυμμα τῆς δειλίας τὴν περὶ τὸν τεθ εὔνοιαν πεποιῆσθαι. οὔκουν ἠρεμεῖν ἀνασχό ἐσήμαινε τῷ Ναρσῇ ἀναμένειν, ὡς καὶ αὐτῶν

πω παρεσομένων· ὁ δὲ μενετέα μὲν οὐκ ἔφη, λήσειν δὲ ὅμως αὐτῷ ὅπως ἂν ἐν δέοντι καὶ οἵδε τάξοιντο, εἰ καὶ ὀλίγῳ ὕστερον τύχοιεν ἀφιγμένοι· μὲν οὖν Ἔρουλοι εὖ μάλα ἐξωπλισμένοι ἐπορεύοντο :δην ἐν κόσμῳ. a. C. 553 Iustiniani 27 C

8. Ναρσῆς δὲ ἐπεὶ ἐν τῷ χώρῳ ἐγεγόνει, οὗ δὴ μπλέκεσθαι ἤμελλεν, αὐτίκα ἐς φάλαγγα καθίστη ν στρατὸν καὶ διέταττεν. οἱ μὲν οὖν ἱππεῖς ἑκαρωθεν ἐπὶ τῶν ἄκρων ἐτετάχατο δοράτια φέροντες ιὶ πέλτας, τόξα τε καὶ ξίφη παρηωρημένα· ἦσαν οἳ καὶ σαρίσας ἐκράτουν. αὐτὸς δὲ ἐπὶ τοῦ ξιοῦ κέρως εἱστήκει. Ζανδαλᾶς τε ὁ τῶν ὀπαδῶν ιστάτης τοῦ τε θητικοῦ καὶ οἰκετικοῦ ὁπόσον οὐκ πόλεμον ἦν, ἀλλὰ καὶ οἵδε παρῆσαν. ἐπὶ θάτερα ὲ οἱ ἀμφὶ Βαλεριανόν τε καὶ Ἀρταβάνην, προστε- D αγμένον αὐτοῖς ὑποκρύπτεσθαι πρὸς βραχὺ ἀνὰ τὰ άσια τῆς νάπης, καὶ ἐπειδὰν ἐσβάλλοιεν οἱ πολέιοι, τότε δὴ ἀθρόον αὐτοῖς ἐκ τοῦ ἀφανοῦς ἐπιέναι αὶ ἀμφιβόλους ποιεῖσθαι. ἅπασαν δὲ τὴν μεταξὺ ώραν ὁ πεζὸς εἶχεν. ἔμπροσθεν μὲν γὰρ ἐπὶ τοῦ V. 32 ετώπου οἱ πρωτοστάται θώρακας ποδήρεις ἐνειμένοι αὶ κράνη. καρτερώτατα τὸν ξυνασπισμὸν ἐπεποίηντο· ξῆς δὲ οἱ ἄλλοι ἐς βάθος ἀλλήλοις ἐνέκειντο, ἕως τοὺς οὐραγοὺς ὁ ξυλλοχισμὸς ἐτελεύτα· τὸ δὲ ιλὸν ἅπαν καὶ ἑκηβόλον ὄπισθεν περιέθει καὶ ἀνέενεν τὸν καιρόν, ἡνίκα δέοι ἀκροβολίζεσθαι. ἀπεέκριτο δὲ τόπος τοῖς Ἐρούλοις τῆς φάλαγγος τὸ σαίτατον, καὶ ἦν ἔτι κενός· οὐ γάρ πω ἐκεῖνοι P. 44 ιρῆσαν. ἐν τούτῳ δὲ ἄνδρες δύο τῶν Ἐρούλων, ύγχανον γὰρ ἤδη ηὐτομοληκότες παρὰ τοὺς πολεους ὀλίγῳ ἔμπροσθεν, ὡς καὶ ἀγνοεῖν δήπου τὰ τερον τῷ Σίνδουαλ βεβουλευμένα, ἐξωτρυνέτην

83, 11—

a. C. 553 Iusti- niani 27 νῶτα, οὐκ εἶχον διαγιγνώσκειν· οὗπερ ἐτύ
ὄντες κακοῦ. τοῖς δὲ πλείστοις οὐδὲ τοῦ δια
καὶ ἀμφιγνοῆσαι τὰ ποιούμενα χώρα ἐγίγνετ
τῇ πληγῇ τῆς τελευτῆς ἐπιφοιτώσης. πιπτόντ
ἀεὶ τῶν ἐκτὸς εὐθὺς οἱ ἔνδοθεν ἀνεφαίνοντ
C τούτου θαμὰ γιγνομένου διέρρει αὐτοῖς τὰ
ὡς τάχιστα καὶ ἠφανίζετο καὶ ἐς ὀλιγότητα
χώρει. ἐν τούτῳ δὲ Σινδουάλ τε καὶ οἱ Ἔ
πελάσαντες τῇ μάχῃ ὑπαντιάζουσι τῶν πο
τοῖς διαπεραιωθεῖσι τὴν παράταξιν καὶ προ
νοις. αὐτίκα δὴ οὖν αὐτοῖς ἐς χεῖρας ἐλθόντες
εἴχοντο· οἱ δὲ τῷ ἀπροσδοκήτῳ καταπλαγέντ
μᾶλλον ἐνέδραν εἶναι τὸ χρῆμα ὑποτοπή
εὐθὺς ἐς φυγὴν ἐτράποντο, καταιτιώμενο
αὐτομολήσαντας, ὡς δὴ ὑπ' ἐκείνων ἐξηπατ
οἱ δὲ ἀμφὶ Σίνδουαλ οὐκ ἀνίεσαν, ἀλλ' ἐνέ
ἕως τοὺς μὲν κατεστόρεσαν, οἱ δὲ ἐς τὰς τοῦ
D μοῦ ἐξέπεσον δίνας. οὕτω τε τῶν Ἐρούλ
σφετέρῳ χώρῳ ἐγκαταστάντων, τό τε κένωμα
ροῦτο καὶ ἡ φάλαγξ ξυνεκέκλειτο, καὶ τὸ
οἱ Φράγγοι, καθάπερ ἐς ἄρκυς ξυνειλη
ἐκτείνοντο πάντοθεν. ἥ τε γὰρ τάξις αὐτοῖς
τατα διελέλυτο καὶ χύδην ἐπὶ σφᾶς ὑπειλί
οὐκ ἔχοντες ὅ τι καὶ γένοιντο. οἱ δὲ Ῥωμ
μόνον τοῖς τόξοις αὐτοὺς διεχρῶντο, ἀλλὰ
ὁπλιτικὸν καὶ οἱ ψιλοὶ ἐπῄεσαν δοράτιά τε
ζοντες καὶ τοῖς κόντοις διωθούμενοι καὶ ταῖς
ραις κατατέμνοντες, οἵ τε ἱππεῖς ὑπερκ
ποιούμενοι ὑπεδέχοντο αὐτοὺς εἴσω καὶ ἀπελά
εἰ δέ τι αὐτῶν καὶ διέφυγε τὰ ξίφη, οἱ δὲ τῇ
P. 46 ἐκβιαζόμενοι ἐς τὸν ποταμὸν κατεφέροντο, κ
βρύχιοι γιγνόμενοι ἔθνησκον· οἰμωγή τε

ἁπανταχοῦ τῶν βαρβάρων οἰκτρότατα διολλυμένων· a. C. 553 αὐτός τε δὴ οὖν Βουτιλῖνος ὁ στρατηγὸς καὶ ὅλον Iustiniani 27 τὸ στράτευμα πανωλεθρίᾳ ἠφάνιστο, ἐν τοῖς καὶ οἱ τῶν Ἐρούλων πρὸ τῆσδε τῆς ξυμπλοκῆς μεταβάντες, καὶ οὐδεὶς ὅστις τῶν Γερμανῶν ἐς τὰ πάτρια ἐνόστησεν ἤδη, ὅτι μὴ πέντε ἄνδρες ὅτῳ δὴ οὖν τρόπῳ διαδεδρακότες. πῶς δὲ οὐκ ἂν εἴη ἀρίδηλον ὡς ποινὰς ὑπέσχον τῶν ἀδικημάτων καὶ ὑπερτέρα τις αὐτοὺς μετῆλθεν ἀνάγκη; ὁ μὲν γὰρ μυρίος ἐκεῖνος ὅμιλος τῶν Φράγγων τε καὶ Ἀλαμανῶν καὶ τῶν ὅσοι δὴ αὐτοῖς τυχὸν ἕτεροι τὸν πόλεμον ξυνδιήνεγκαν ἄρδην ἀνήρπαστο, μόνοι δὲ ὀγδοήκοντα τῶν Ῥωμαίων ἄνδρες ἀπέθανον, οἳ δὴ ἐτύγχανον ὑποδεξάμενοι B τὴν πρώτην ἐμβολὴν τῶν πολεμίων. ἠρίστευσαν δὲ ἐν τῷδε τῷ ἔργῳ τῶν μὲν Ῥωμαϊκῶν ταγμάτων σχεδόν τι ἅπαντες, βαρβάρων δὲ τῶν ξυστρατευομένων Ἀλίγερνος ὁ Γότθος, παρῆν γὰρ καὶ ὃς ἐν τῇ μάχῃ, Σινδουάλ τε ὁ τῶν Ἐρούλων στρατηγός, καὶ οὐδέν τι ἔλαττον ἔσχε τῶν ἄλλων. ἅπαντες δὲ τὸν Ναρσῆν ἐν ἐπαίνῳ ἐποιοῦντο καὶ ἀπεθαύμαζον, ὡς τῇ ἐκείνου προμηθείᾳ ἐπὶ μέγα δόξης χωρήσαντες.

10. Νίκη γὰρ οὕτω λαμπρὰ καὶ διαφανὴς καὶ ἐς τόδε ὑπερβολῆς προελθοῦσα οὐ ῥᾳδίως, οἶμαι, ἀνὰ τὸν ἔμπροσθεν χρόνον ἑτέρῳ τῳ ξυνηνέχθη. εἰ δέ που ἄρα καὶ ἕτεροι πρότερον παραπλήσια τοῖς C Φράγγοις πεπόνθασιν, ἀλλ' εὕροις γε ἂν καὶ ἐκείνους ἀδικίας ἕκατι διαφθαρέντας. Δᾶτις μὲν γὰρ πάλαι ὁ Δαρείου σατράπης ἅμα στρατεύματι Περσικῷ Μαραθῶνάδε ἀφιγμένος καταστρέψασθαι τὴν Ἀττικὴν ᾤετο χρῆναι, καὶ μὲν δὴ καὶ ἅπασαν τὴν Ἑλλάδα. αἰτία δὲ ἦν τῆς ἐφόδου ὅσιον μὲν οὐδὲν

a.C. 553 Iustiniani 27 καὶ ταῦτα μὲν τὸ πλῆθος διενοεῖτο, οἷα οὐ τῶν
ἀκριβῶν στοχάζεσθαι πεφυκότες, ἀλλ' ἐς ῥᾳστώνην
ἐκβεβλημένοι καὶ πρὸς τὸ ἡδόμενον τῆς γνώμης
ἅπαντα κρίνοντες. τῷ δὲ Ναρσῇ ὀρθῶς ἕκαστα
P. 48 διασκοποῦντι ἀκολασία ἐδόκει τὸ χρῆμα καὶ παρα-
φροσύνη, εἴ γε ᾤοντο μηκέτι ἕξειν ἀνάγκην ἑτέρους
ὑποδύεσθαι πόνους, ἀλλὰ χρῆναι μᾶλλον ἐς τὸ
τρυφερώτερον τῆς διαίτης ἐς ἀεὶ μεταβεβλῆσθαι.
ἐλείπετο γάρ, οἶμαι, αὐτοῖς ὑπὸ ἀβελτερίας τὰς
ἀσπίδας τυχὸν καὶ τὰ κράνη ἀμφορέως οἴνου ἢ καὶ
βαρβίτου ἀποδόσθαι· οὕτω περιττὰ τὸ λοιπὸν καὶ
ἀνόνητα ἡγοῦντο τὰ ὅπλα. ὁ δὲ στρατηγὸς τὰ εἰκότα
διεγίγνωσκεν ὡς ἄρα καὶ αὖθις πόλεμοι ἔσονται
Φραγγικοί, καὶ ἐδεδίει μήποτε οἱ Ῥωμαῖοι ἐς τὸ
ἁβροδίαιτον τραπέντες τὰ φρονήματα διαφθαρεῖεν,
εἶτα εἰ παρατάξεως ἐπέλθοι καιρός, οἱ δὲ ὄκνῳ
εἴκοντες ἀπαγορεύσαιεν τοῖς κινδύνοις. καὶ ἴσως
B ἂν οὐ πολλῷ ὕστερον καὶ τόδε ξυνέβη, εἰ μὴ θᾶττον
δεῖν ᾠήθη ξυγκαλεσάμενος τὰ στρατεύματα καὶ
V. 35 παραίνεσιν προσάγων ἀρίστην ἐς τὸ σῶφρόν τε καὶ
ἀνδρεῖον τὰς γνώμας μετάγειν καὶ ὑποτέμνεσθαι
τὸ ὑπερβάλλον τῆς μεγαλαυχίας. οὕτω δὴ οὖν
ἁπάντων ξυνηθροισμένων παρελθὼν ἐς μέσον ἔλεξεν
τοιάδε.

12. "Τοὺς μὲν ἀθρόον καὶ οὐ πάλαι ξυμβὰν
εὐτυχίας τινὸς μετασχόντας οὐκ ἀπεικός, οἶμαι,
πρὸς ἀπειροκαλίαν ἐκκλῖναι καὶ τῷ ἀξυνήθει κατα-
πεπλῆχθαι, μάλιστα ἡνίκα τῷ ἀπροσδοκήτῳ καὶ τὸ
παρ' ἀξίαν προσῇ. ὑμεῖς δέ, ὦ ἄνδρες, ποίαν ἂν
καὶ προβάλοισθε σκῆψιν, ἥν τις ὑμᾶς τῆς μεταβο-
λῆς αἰτιῷτο; πότερον ὡς νῦν ἐγεύσασθε νίκης, οὐ
C πρότερον εἰωθότες; ἀλλ' ὑμεῖς οἱ Τωτίλαν τε καὶ

ι καὶ ἅπαν τὸ Γοτθικὸν ἔθνος ἐκποδὼν ποιησά- a. C. 553 Iustiniani 27
. ἀλλ' ὡς μείζονος ἢ καθ' ὑμᾶς αὐτοὺς πει-
ε τῆς τύχης; καὶ ποῖον ἂν μέγεθος εὐδαιμονίας
ὸν Ῥωμαίων δόξῃ ξυμμετρηθείη; ξυγγενὲς γὰρ
καὶ πάτριον κρατεῖν ἀεὶ τῶν πολεμίων. καὶ
ν κρατεῖτε, καὶ οὔτε μειόνων ἢ καθ' ὅσον
ε ἄξιοι καθεστήκατε οὔτε τοῦ προσήκοντος
ἱεεστέραν παρέχεσθε τὴν πεῖραν. μέτεστι δὲ
ον ὑμῖν οὐκ ἐκ ῥαστώνης τε καὶ ἡδυπαθείας,
ἐκ πόνων συχνῶν καὶ ἱδρώτων καὶ τῆς τῶν
νων μελέτης. οὐκοῦν χρεὼν ὑμᾶς καὶ νῦν
ιειν τοῖς προεγνωσμένοις, καὶ μὴ μόνον ἥδεσθαι
παροῦσιν, ἀλλὰ καὶ τοῦ μέλλοντος πέρι ὅπως D
ν ἔσται σκοπεῖν. τοῖς γὰρ μὴ ταῦτα λογιζο-
ς οὐ μόνιμα τὰ τῆς εὐπραγίας, ἀλλὰ πρὸς
ιντίον ὡς τὰ πολλὰ μεταχωροῦσιν αἱ τύχαι.
εκμήριον ἔστω σαφὲς τόδε τὸ τῶν Φράγγων
ς, ἐφ' ᾧ νῦν ὑμεῖς δικαίως αὐχεῖτε. εὖ γὰρ
ς τέως τῶν πραγμάτων ἐχόντων, οἱ δὲ πρὸς
ινείαν τραπέντες πόλεμον ἤραντο καθ' ἡμῶν,
ροορώμενοι τὸ σφαλερὸν τῆς ἐλπίδος. ἀπολώ-
τοιγαροῦν ἅπαντες τῇ σφῶν αὐτῶν ἀβουλίᾳ
ον ἢ τοῖς ἡμῶν ὅπλοις. αἰσχρὸν τοίνυν ὑμᾶς, P. 49
ιδρες Ῥωμαῖοι, ταὐτὸ παθεῖν τοῖς βαρβάροις,
μὴ τοσοῦτον ταῖς γνώμαις αὐτῶν περιεῖναι
ον τῇ ῥώμῃ· μηδὲ γὰρ οἰέσθω τις ὑμῶν ὡς
ι ἔτι πολέμιον ἔσται, ἁπάντων δῆθεν τῶν
ενῶν διαφθαρέντων. καίτοι εἰ καὶ τοῦτο βε-
ς προσῆν, ἀλλ' οὐδ' ὣς ὑμῖν μεταθετέον τοὺς
ους οὐδὲ τοῦ πρέποντος ἀφεκτέον. οὐ μὴν
ξυμβαίνουσαν εὕροι τις ἂν τὴν τῶν πραγμάτων
ν ταῖς ὑμετέραις ἐννοίαις. οἱ γὰρ Φράγγοι,

a. C. 554 Iustiniani 28 ξυνηλθέτην τε ἄμφω ἐς ταὐτὸ καὶ πολλὰ ἄττα διελεγέσθην. ἰδὼν δὲ ὁ Ναρσῆς τὸν Ῥάγναριν ἐς ἀλαζονείαν ἠρμένον καὶ πλείστῃ χρώμενον μεγαληγορίᾳ, ὡς μειζόνων τε ἢ κατ' αὐτὸν ἐφίεσθαι κἀκ τοῦ
C ὑπερτέρου ἐπικομπάζειν, διέλυσεν αὐτίκα τὴν ξυνουσίαν καὶ ἀπηγόρευσεν τῇ ξυμβάσει, καὶ ἀπέπεμπέ γε αὐτὸν αὖθις ἐς τοὐπίσω ἄπρακτον ἐπὶ τοῖς προτέροις μενοῦντα. ὁ δὲ ἐπειδὴ ἐν τῷ λόφῳ ἐγεγόνει, καὶ ἤδη οὐ πόρρω τοῦ τείχους ἀφῖκτο, χαλεπαίνων ὅτι δὴ αὐτῷ οὐδὲν ὁτιοῦν τῶν ἐλπισθέντων ἀπέβη, ἐντείνει ἠρέμα λαθραίως τὸ τόξον, καὶ εἶτα ἀθρόον μεταστραφεὶς ἀφίησι βέλος ἰθὺ τοῦ Ναρσοῦ, διήμαρτε δὲ τοῦ σκοποῦ. ἑτέρωθι γάρ που ἀπέπτη ὁ ἄτρακτος καὶ κατέπεσεν οὐδένα σινάμενος. μετῆλθε δὲ ὅμως ἡ δίκη εὐθὺς τὴν τοῦ βαρβάρου παρανο-
D μίαν. οἱ γὰρ ἀμφὶ τὸν Ναρσῆν δορυφόροι ἐν ὀργῇ τὸ ἐκείνου ποιησάμενοι θράσος ἐπιτοξάζονται ἐς αὐτόν, καὶ πλήττεται καιρίαν ὁ δείλαιος. πῶς γὰρ οὐκ ἤμελλεν, ἄδικόν τι καὶ ἀγεννὲς ἐγχείρημα δράσας; καὶ μόλις μὲν αὐτὸν οἱ ὀπαδοὶ φοράδην εἴσω τοῦ περιβόλου διακομίζουσιν, ἡμέρας δὲ δύο ἀρκέσας ἀκλεῶς ἀπεβίω, καὶ τὰ τῆς ἀπιστίας αὐτῷ καὶ παροινίας ἐς τόδε κακοῦ ἐτελεύτα. ἐκείνου δὲ διαφθαρέντος αὐτίκα οἱ Γότθοι, οὐ γὰρ ἀντέχειν ἔτι τῇ πολιορκίᾳ οἷοί τε εἶναι ἡγοῦντο, ἐδέοντο τοῦ Ναρσοῦ τὰ πιστὰ σφίσι παρασχέσθαι, ὡς τοῦ ζῆν αὐτοὺς οὐκ ἀφαιρήσει. ὃ δὴ καὶ τάχιστα ὁμωμοσμένον, σφᾶς τε αὐτοὺς ἐκεῖνοι καὶ τὸ φρούριον
P. 51 παρέδοσαν. Ναρσῆς δὲ ἀπέκτεινε μὲν οὐδένα τῷ ταῦτά τε ὀμωμοκέναι καὶ ἄλλως οὐχ ὅσιον εἶναι τοὺς ἡττημένους ὠμότατα διαχειρίζεσθαι. ὡς ἂν δὲ μὴ αὖθις νεωτερίσαιεν, ἅπαντας ὡς βασιλέα ἐς τὸ

ζάντιον ἔστειλεν. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, a.C. 554 Iustiniani 23
υδίβαλδος τὸ μειράκιον, ὃς δὴ τῶν προσοικούν-
ν τὴν Ἰταλίαν Φράγγων ἐκράτει, ἧπέρ μοι εἴρηται V. 37
ότερον, οὗτος δὲ οἰκτρότατα ἤδη ἐτεθνήκει τῇ
σῳ περιτακεὶς τῇ ξυντρόφῳ. ἐπεὶ δὲ Χιλδίβερτόν
καὶ Χλωθάριον, ὡς δὴ καὶ τῷ γένει ἐγγυτάτους,
ὶ τὸν κλῆρον τοῦ παιδὸς ὁ νόμος ἐκάλει, αὐτίκα
ις αὐτοῖς ἐνέπεσεν δεινὴ καὶ οἵα μικροῦ δεῖν τῷ
ιντὶ λυμήνασθαι γένει. Χιλδίβερτος μὲν γὰρ
ραιὸς ἤδη ὑπῆρχεν καὶ πόρρω που ἥκων τῆς ἡλι- B
ας, καὶ πρός γε ἀσθενείᾳ εἴχετο πολλῇ, ὡς ξυνε-
ιληκέναι οἱ ἅπαν καὶ διατετῆχθαι τὸ σῶμα. παῖδές
αὐτῷ ἄρρενες οὐκ ἦσαν οἱ τὴν ἀρχὴν διαδεξό-
νοι, ἀλλ' ἐν θυγατράσιν ἐγηροκομεῖτο. Χλωθά-
ος δὲ ῥωμαλέος ἦν ἔτι καὶ οὔπω λίαν ἐγεγηράκει,
λὴν ὅσον ἐς πρώτην ῥυτίδα, υἱούς τε εἶχεν τέττα-
ις, βούπαιδας ἤδη καὶ θαρραλέους καὶ πρὸς τὸ
ἐργὸν ὡρμημένους. τοιγάρτοι οὐ μεθεκτέα ἔφασκεν
ῷ ἀδελφῷ τῶν Θευδιβάλδου χρημάτων, ὡς οὐκ ἐς
κρὰν καὶ αὐτῆς δήπου τῆς Χιλδιβέρτου βασιλείας
αὐτόν τε καὶ τοὺς οἰκείους παῖδας μεταπεσου-
ένης. καὶ τοίνυν οὐ διήμαρτε τῆς ἐλπίδος. ὁ γὰρ
ρεσβύτης ἑκὼν ἐνεδίδου τοῦ κλήρου, δεδιώς, οἶμαι, C
ν δύναμιν τοῦ ἀνδρὸς καὶ ἀπαλλαξείων τῆς ἐς
ὐτὸν δυσμενείας. ὀλίγῳ τε ὕστερον αὐτὸς μὲν
εβίω, ἅπαν δὲ τὸ τῶν Φράγγων κράτος ἐς μόνον
λωθάριον κατερρύη. ἐν τοῖσδε μὲν τὰ Ἰταλιωτῶν
ὶ Φράγγων πράγματα ἐχώρει.

15. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον θέρους ὥρᾳ ἔσεισε
γα ἔν τε Βυζαντίῳ καὶ πολλαχοῦ τῆς Ῥωμαίων
χῆς, ὡς καὶ πόλεις συχνὰς νησιωτικάς τε καὶ
ειρώτιδας ἀθρόον ἀνατραπῆναι καὶ ἄρδην τοὺς

a. C. 554 Iustiniani 28 οἰκήτορας διαφθεῖραι. Βηρυτὸς γοῦν ἡ καλλίστη τὸ Φοινίκων τέως ἐγκαλλώπισμα, τότε δὴ ἀπηγλαΐσθ ἅπασα καὶ κατέρριπτο τὰ κλεινὰ ἐκεῖνα καὶ περιλά

D λητα τῆς οἰκοδομίας δαιδάλματα, ὡς μηδὲν ὁτιοῦν σχεδόν που λειφθῆναι ἢ μόνα τῆς κατασκευῆς τ ἐδάφη. πολὺς μὲν οὖν ὅμιλος ἰθαγενῶν τε κα ἐνδαπίων ἀνδρῶν ἀπολώλασιν, ὑποπεπιεσμένοι τῷ ἄχθει, πολλοὶ δὲ νέοι ἐπήλυδες εὐπατρίδαι τε καὶ παιδείας ἄριστα ἔχοντες, οἳ δὴ παρῆσαν τοὺς Ῥω- μαίων αὐτοῦ ἀναλεξόμενοι νόμους. τοῦτο γὰρ πάτριον τῇ πόλει καὶ ὥσπερ γέρας τι μέγιστον τὰ τοιάδε αὐτῇ ἀνεῖται διδασκαλεῖα. μετεσκευάσαντο τοιγαροῦν ἐν τῷ τότε οἱ τῶν νόμων ὑφηγηταὶ ἐς Σιδῶνα τὴν πόλιν τὴν γείτονα, καὶ ἐν τῇδε μετῆκτο

P. 52 τὰ φροντιστήρια, ἕως πάλιν ἡ Βηρυτὸς ἀνεδομήθη καὶ γέγονεν ἥκιστα μὲν ὁποία πρότερον ἦν, πλὴν ἀλλ' οὐχὶ ἐς ὅσον καὶ ἀγνοεῖσθαι ὡς ἐκείνη εἴη ἡ πάλαι. ἀλλ' οὗτος μὲν ὁ τῆς πόλεως ἀνοικισμὸς καὶ ἡ τῶν διδασκαλείων ἐπάνοδος χρόνῳ ὕστερον ἤμελλε ἔσεσθαι. τότε δὲ καὶ ἐν τῇ μεγάλῃ Ἀλεξανδρείᾳ τῇ πρὸς τῷ Νείλῳ ἱδρυμένῃ ποταμῷ, καὶ ταῦτα οὐκ εἰωθὸς σείεσθαι τὸ χωρίον, ξυναίσθησίς τις τοῦ κλόνου ἐλαχίστη μὲν καὶ ἀφαυροτάτη καὶ οὐ πάμπαν ἀρίδηλος, γέγονε δὲ ὅμως. ἅπαντες δὴ οὖν οἱ ἐπι- χώριοι, καὶ μάλιστα οἱ σφόδρα γεγηρακότες, ἐ θαύματι μεγάλῳ τὸ ξυνενεχθὲν ἐποιοῦντο, ὡς οὔπω πρότερον γεγενημένον, ἔμενέν τε οἴκοι ὅστις οὐδείς,

B ἀλλ' ἀνὰ τὰς λεωφόρους τὰ πλήθη ξυνέρρει, τ ἀπροσδοκήτῳ δήπου καὶ παραδόξῳ πέρα τοῦ μετρίο καταπεπληγμένοι. ἐμοὶ δέ γε καὶ αὐτῷ, ἐτύγχανο γὰρ αὐτοῦ διατρίβων παιδείας ἕνεκα τῆς πρὸς τὰ νόμων, δεδιέναι προσήει, καὶ ταῦτα ἐπὶ λίαν σμικρ

νήσει, λογιζομένῳ ὅτι δὴ αὐτοῖς αἱ οἰκοδομίαι a.C.554 Iusti-
σχυραὶ οὐδὲ εὐρεῖαι τυγχάνουσιν οὖσαι οὐδὲ niani 28
ιαὶ πρὸς βραχὺ ἀνασχέσθαι δονούμεναι, ἀλλ'
ὶ ἄγαν καὶ ἀσθενεῖς, ἐφ' ἑνὶ γὰρ ὑφαίνονται
ἀλλὰ γὰρ καὶ ὅ τι λόγιμον ἐν τῇ πόλει,
χινον καὶ οἶδε, οὔτι που, οἶμαι, τὸ ἤδη παρῳ-
, ἀλλ' ὅτι αὐτοῖς καὶ ἐσαῦθις ταὐτὸ τοῦτο
ἰσεσθαι οὐκ ἀπὸ τρόπου ἐδόκει. οἱ γὰρ τὴν
ν τοῦδε τοῦ πάθους ἀναθυμιάσεις τινὰς εἶναι
τες ξηράς τε καὶ λιγνυώδεις ὑπὸ τὰ γλαφυρὰ C
ῆς εἰργομένας καὶ τῷ μὴ διαπνεῖσθαι ῥᾳδίως
ιότερον ἔνδον περιδινουμένας τὸ ἐπιπροσθοῦν V. 38
σαλεύειν, ἕως τῇ βιαίᾳ φορᾷ τῆς στεγνότητος
ούσης ἐς τοὐμφανὲς ἀναχθεῖεν, οἱ δὴ οὖν τὰ
τα φυσιολογοῦντες τὴν Αἰγυπτίαν φασὶ χώραν
ποτε σείεσθαι πεφυκέναι, ὡς δὴ χθαμαλήν τε
ῶς καὶ ὑπτίαν καὶ ἥκιστα σηραγγώδη, ἐντεῦθέν
κ ἐμφορουμένην· εἰ δέ γε καὶ ὑποδέξαιτο, ἀλλ'
ιάτως ὑπὸ χαυνότητος θαμὰ ἐξατμιζομένην.
δὲ ἐν τῷ τότε ἥδε ἡ δόξα εὖ ποιοῦσα ἐπεφώ-
τε καὶ ἀπελήλεγκτο μὴ σφόδρα ἐν βεβαίῳ κει-
εἰκότως ἄρα ἐδεδίεσαν οἱ γενναῖοι, εἴ γε πρὸς
ντίον αὐτοῖς χωρήσει τοὐπίγραμμα, καὶ κινδυ- D
ιεν τὸ λοιπὸν οὐ γαιηόχου μόνον, ἀλλὰ καὶ
χθονος πειρᾶσθαι τοῦ Ποσειδῶνος. ἴσως μὲν
ἰ καί τι μέρος τῆς Αἰγύπτου κεκίνηται, ἀλλ'
ἐπιλείψουσι τοὺς τὰ τοιαῦτα δεινοὺς καὶ ἕτεροι
, δι' ὧν ἂν καὶ ὣς ἡ τῶν ἀτμῶν σφίσι κρατύ-
δόξα. ἐμοὶ δὲ δοκοῦσιν, ὡς μὲν οἷόν τε
ώπῳ τεκμηρίοις τισὶ χρωμένῳ τῶν ἀδήλων πέρι
εἶσθαι, οὐ πάμπαν διαμαρτεῖν τοῦ πιθανοῦ καὶ
ος, τοῦ δέ γε ὄντος ἀληθοῦς πολλῷ ἀπολείπεσθαι. P. 53

a. C. 554 Iustiniani 28 πῶς γὰρ ἄν τις ἐς τὸ ἀκριβὲς τὰ ἀφανῆ καὶ ὑπέρτερ διαγνοίη; ἀπόχρη δὲ ἡμῖν, εἴ γε τοσοῦτο μόνο εἰδείημεν ὡς θείῳ νῷ καὶ βουλῇ κρείττονι ἅπαντ διατέτακται· φύσεως δὲ ἀρχὰς καὶ κινήσεις καὶ τὰ ἑκάστου τῶν γιγνομένων αἰτίας σκοπεῖν μὲν τι λόγῳ καὶ διερευνᾶν οὐ παντελῶς ἄχρηστον ἴσω οὐδὲ ἄχαρι νομιστέον, τό γε μὴν οἴεσθαί τε κα πεποιθέναι ὡς ἔνεστιν ἐφικέσθαι τοῦ ὄντος μήπο ἀλαζονεία εἴη τὸ χρῆμα καὶ ἀμαθέστερον τῆς διπλῆ ἐκείνης ἀγνοίας. ἅλις μὲν οὖν τούτων ἔμοιγε. ὁ δ λόγος αὖθις ἐς αὐτὸν ἐπανίτω.

16. Κατ' ἐκεῖνο γὰρ τοῦ καιροῦ καὶ ἡ Κῶς B νῆσος ἡ πρὸς τῷ τέρματι τοῦ Αἰγαίου κειμένη, ἐλά χιστόν τι μέρος αὐτῆς ἐσέσωστο, ἡ δὲ ἄλλη ἅπασ ἐπεπτώκει, ποικίλα τε αὐτῇ καὶ ἀνήκουστα προσε γένετο πάθη. ἥ τε γὰρ θάλαττα ἐπὶ πλεῖστο ἀρθεῖσα κατέκλυσεν τὰ παράκτια τῶν οἰκημάτων κα διέφθειρεν αὐτοῖς χρήμασι καὶ ἀνθρώποις, τό τ μέγεθος τοῦ βρασμοῦ ἐξαίσιον οἷον γεγενημένον τ ἔνθα οὐκ ἐνῆν ἀναρριχᾶσθαι τὸ ῥόθιον ἅπαντ ἔρριψε καὶ κατέβαλεν. ἀπολώλασι δὲ χύδην σχεδό τι ἅπαντες οἱ ἀστοί, εἴτε ἐν ἱεροῖς ἐτύγχανον πεφευ γότες εἴτε καὶ οἴκοι διαιτώμενοι εἴτε καὶ ἄλλοσέ π ξυνειλημμένοι. ἐμοὶ γοῦν ἐκ τῆς Ἀλεξάνδρου ὑπ τὸν αὐτὸν χρόνον κατὰ τὸ Βυζάντιον ἀνακομιζομένῳ C καὶ ἐν τῇδε τῇ νήσῳ, οὕτω παρασχόν, ἐν παράπλ γὰρ κεῖται, καταράντι, οἰκτρόν τι πέφηνεν θέαμ καὶ ὁποῖον οὐκ ἂν ἀποχρώντως ὑπογράψοι ὁ λόγο ἅπαν μὲν γὰρ τὸ ἄστυ σχεδόν που χῶμά γε ἦν ἐ μέγα ἠρμένον καὶ λίθοι κείμενοι σποράδην κίονε τε τρύφη καὶ ξύλων κατεαγότων καὶ κόνις πολ ὕπερθεν φερομένη καὶ ἐπηλυγάζουσα τὸν ἀέρα,

μηδὲ αὐτά που τὰ τῶν λεωφόρων χωρία ῥαδίως a.C. 554 Iustiniani 28 διαγιγνώσκεσθαι, πλὴν ὅσον ὑπονοῆσαι. ὀλίγα δὲ ἄττα δωμάτια εἱστήκεσαν ἀπαθῆ, καὶ ταῦτα οὐχ ὅσα τιτάνῳ τυχὸν καὶ λίθῳ καὶ ταύτῃ δὴ τῇ στερεμνιωτέρᾳ καὶ μᾶλλον μονίμῳ κατὰ τὸ εἰκὸς ὕλῃ ἐξείργαστο, μόνα δὲ τὰ ἐκ πλίνθου ἀπέφθου καὶ πηλοῦ ἀγροικότερον πεποιημένα. ἄνδρες δὲ σποράδην ὀλί- D γιστοι ἀνεφαίνοντο σκυθρωποί τε ἄγαν καὶ κατηφεῖς καὶ ὥσπερ τελεώτατα τῷ σφετέρῳ βίῳ ἀπειρηκότες· πρὸς γὰρ τοῖς ἄλλοις δεινοῖς καὶ ἅπαν τὸ ἐπιχώριον ὕδωρ τὴν τοῦ ἀκραιφνοῦς καὶ ποτίμου φύσιν ἀθρόον ἀφῃρημένον ἐς τὸ ἁλμυρὸν ἠρέμα καὶ ἄποτον μετεβέβλητο. καὶ ἦν ἅπαντα τὰ τῇδε φευκτὰ καὶ ἀνατετραμμένα, ὡς μηδὲν ἕτερον ὑπολελεῖφθαι τῇ πόλει πρὸς εὐκοσμίαν ἢ μόνον τὸ κλεινὸν τῶν Ἀσκληπιαδῶν ὄνομα καὶ τὴν ἐφ' Ἱπποκράτει μεγαλαυχίαν. οἰκτείρειν μὲν οὖν τὰ τοιάδε οὐ πόρρω τοῦ ἀνθρω- P. 54 πείου τρόπου εἶναι δοκεῖ, θαυμάζειν δὲ ἀτεχνῶς καὶ V. 39 καταπεπλῆχθαι ἀνδρῶν ἂν εἴη οὐ μάλα τὰ παλαιὰ ἐπισταμένων, οὐδὲ ὅτι ἐς ἀεὶ τοῦτο δὴ τὸ τῆς ὕλης χωρίον ποικίλα παθήματα ὑποδέχεσθαι πέφυκε. πολλάκις γὰρ ἤδη καὶ πρότερον πόλεις γε ὅλαι σεισμῷ διεφθάρησαν, ὡς τοὺς ἀρχαίους οἰκήτορας ἀποβαλούσαι ὑφ' ἑτέροις αὖθις οἰκισταῖς ἀνορθωθῆναι.

17. Αἵ γοῦν Τράλλεις ἡ πόλις, ἡ ἐν τῇ Ἀσίᾳ νῦν καλουμένῃ χώρᾳ ἀγχοῦ που τοῦ Μαιάνδρου ποταμοῦ ἱδρυμένη, τὸ μὲν παλαιὸν Πελασγῶν γέγονεν ἀποικία, ὑπὸ δὲ τοὺς Αὐγούστου Καίσαρος χρόνους ἐσείσθη τε ἅπασα καὶ ἀνετράπη, καὶ οὐδὲν B αὐτῆς ὅ τι ἐσέσωστο. οὕτω δὲ τοῦ ἄστεος οἰκτρότατα κειμένου, ἄγροικόν τινά φασι τούτων δὴ τῶν

a. C. 554 Iustiniani 28 γεηπόνων, Χαιρήμονα τοὔνομα, σφόδρα τὴν ψυχὴν ἁλῶναι τῷ πάθει, καὶ οὖν οὐκ ἐνεγκόντα θαυμάσιόν τι ἡλίκον καὶ ἄπιστον ἔργον ἀνύσαι. μήτε γὰρ τῆς ὁδοῦ τὸ μῆκος ἢ τῆς πρεσβείας τὸ μέγεθος κατορρωδήσαντα μήτε ὅτι μεγίστοις, ὥσπερ εἰκός, ὁμιλήσειν ἤμελλεν κινδύνοις, καὶ ταῦτα ἐπ᾽ ἀδήλῳ τῇ τύχῃ, μήτε τῶν οἴκοι τὴν ἐρημίαν μήτε ἄλλο τι τῶν ὁπόσα διανοούμενοι ἄνθρωποι μεταμανθάνουσι τὰ δοκηθέντα, C ἀφικέσθαι, μὴ ὅτι ἐν Ῥώμῃ, ἀλλὰ γὰρ καὶ ἐς τῶν Κανταβρηνῶν τὴν χώραν, ἀμφ᾽ αὐτὰς δήπου τὰς τοῦ Ὠκεανοῦ ᾐόνας, ἐτύγχανεν γὰρ αὐτοῦ που ὁ Καῖσαρ ἐν τῷ τότε πρός τι τῶν ἐθνῶν διαμαχόμενος, ἀγγεῖλαί τέ οἱ τὰ ξυνενεχθέντα καὶ οὕτως ἑλεῖν τὸν βασιλέα ὡς αὐτίκα δὴ μάλα ὑπατικοὺς ἑπτὰ τῶν ἐν τοῖς μάλιστα εὐπατριδῶν τε καὶ εὐδαιμόνων ἀνδρῶν ἐκ τῆς Ῥώμης ἀπολεξάμενον ἅμα τῷ σφετέρῳ πλήθει στεῖλαι ἐς τὴν ἀποικίαν, καὶ τοὺς ὡς τάχιστα ἐν τῷ χώρῳ γενομένους χρήματά τε πλεῖστα ὅσα ἐπιδόντας καὶ σπουδῇ χρησαμένους D ἀναδομῆσαι αὖθις τὴν πόλιν καὶ ἐς τὸ μέχρι τοῦδε σωζόμενον ἀπεργάσασθαι σχῆμα. νῦν οὖν οἱ ἐκείνῃ ἀστοὶ Πελασγοὶ μὲν οὐκέτι ἂν δικαίως κληθεῖεν, Ῥωμαῖοι δὲ μᾶλλον, εἰ καὶ τὰ τῆς φωνῆς ἐς τὸ ἑλληνικόν τε καὶ ἀττικώτερον μετεβάλοντο. πῶς γὰρ οὐκ ἤμελλον προσοικοῦντες τὴν Ἰωνίαν; ταῦτα δὲ οὕτω ξυνενεχθῆναι δηλοῖ μέν που καὶ ἡ πάτριος τοῦ ἄστεος ἱστορία, οὐχ ἥκιστα δὲ τοὐπίγραμμα, ὅπερ ἔγωγε ἐκεῖσε ἐλθὼν ἀνελεξάμην. ἔν τινι γὰρ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν, ὅθεν δὴ ὢν ἐτύγχανεν ὁ Χαιρήμων, Σιδηροῦς δὲ ὄνομα τῷ ἀγρῷ ἐκείνῳ, βωμὸς ἵδρυται ἀρχαιότατος, ἐν ᾧ δὴ πάλαι, ὡς ἔοικε, τοῦ Χαιρήμονος ἄγαλμα ἐφειστήκει. νῦν γὰρ

ὐδὲν ὁτιοῦν ἐν αὐτῷ φαίνεται. ἐγκεχάρακται δὲ μως ἔτι τὸ ἐλεγεῖον τῷ βωμῷ ὧδέ πως ἔχον· a. C. 554 Iustiniani 28

κλασθείσας πάτρας σεισμῷ ποτε Κάνταβριν ἐς γᾶν P. 55
Χαιρήμων ἔπτα, πατρίδα ῥυσόμενος,
Καίσαρι δ' εἰλιχθεὶς περὶ γούνασι τὰν μεγάλαυχον
ὤρθωσε Τράλλιν, τὰν τότε κεκλιμέναν.
ἀνθ' ὧν συγγενέες τοῦτο βρέτας, ὄφρ' ἐπὶ βωμῷ,
οἷα δίκα κτίσταν, τάνδε φέροιτο χάριν.

ιαὶ τὰ μὲν τῶν Τράλλεων πέρι ὧδέ πως ἔχειν τεπίστευται. πολλὰς δὲ κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ ἄλλας πόλεις ἐν τῇ Ἀσίᾳ, Ἰωνικάς τε καὶ Αἰολίδας, παραπλήσια παθεῖν ξυνηνέχθη.

18. Πλὴν ἀλλ' ἔμοιγε νῦν τὰ τοιαῦτα παρέντι B καὶ αὖθις τοῦ προτέρου λόγου ἐχομένῳ ἐπὶ τὴν τῶν Λαζῶν χώραν καὶ τοὺς Περσικοὺς πολέμους ἰτέα, ἐπεὶ καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἐπράττετο ἕκαστα. Ῥωμαίοις γὰρ καὶ Πέρσαις ἤδη μὲν ἐκ πλείστου μέγιστος πόλεμος ξυνειστήκει, καὶ θαμὰ τὴν ἀλλήλων ἐδῄουν καὶ ἐλυμαίνοντο, νῦν μὲν ἐσβολὰς ἀκηρύκτους μηχανώμενοι καὶ ἐφόδους, νῦν δὲ πολλῷ V. 40 στρατῷ ἐς ἐμφανεῖς παρατάξεις χωροῦντες. ὀλίγῳ δὲ ἔμπροσθεν ἐκεχειρίαν ἐπεποίηντο, ἐφ' ᾧ μέντοι οὐ τελεωτάτην ἄγειν εἰρήνην, οὐδὲ ὥστε πάντοθι τῶν κινδύνων πεπαῦσθαι, ἀλλ' ὅσον μόνον ἀνὰ τὴν ἕω καὶ τὰ τῆς Ἀρμενίας ὅρια ἑκατέρῳ γένει ἐσπεῖσθαι, ἀμφὶ δὲ τὴν Κολχίδα γῆν τὸν πόλεμον διαφέρειν. C ὅτι δὲ Λαζοὶ Κόλχοι τὸ παλαιὸν ὠνομάζοντο καὶ οὗτοι ἐκεῖνοι τυγχάνουσιν ὄντες, τοῦτό γε οὐκ ἄν τις ἀμφιγνοήσειε τεκμαιρόμενος τῷ τε Φάσιδι καὶ Καυκάσῳ καὶ τῇ περὶ ταῦτα ἐκ πλείστου οἰκήσει. λέγεται δὲ τοὺς Κόλχους Αἰγυπτίων εἶναι ἀποίκους. φασὶ γὰρ πολλῷ ἔμπροσθεν τοῦ ἐπίπλου τῶν ἀμφὶ

a. C. 554 Iustiniani 28 τὸν Ἰάσονα ἡρώων καὶ πρό γε τῆς τῶν Ἀσσυρίων
ἐπικρατείας καὶ τῶν Νίνου τε καὶ Σεμιράμιδος χρό-
νων Σέσωστρίν τινα βασιλέα Αἰγύπτιον μεγίστην
στρατιὰν ἐκ τῶν ἐπιχωρίων ἀγείραντα καὶ ἅπασαν
τὴν Ἀσίαν ἐπελθόντα καὶ καταστρεψάμενον, ἀλλὰ
D καὶ ἐν τῷδε ἀφικέσθαι τῷ χώρῳ, ἀπόμοιράν τε
ἐνταῦθα καταλιπεῖν τοῦ ὁμίλου, καὶ τοίνυν ἐνθένδε
τὸ τῶν Κόλχων κατάγεσθαι γένος. τοῦτο δὲ Διό-
δωρός τέ φησιν ὁ Σικελιώτης καὶ ἄλλοι ὡς πλεῖστοι
τῶν παλαιῶν ἱστοριογράφων. οἱ δὴ οὖν, εἴτε Λαζοὶ
εἴτε Κόλχοι εἴτε Αἰγύπτιοι μετανάσται, περιμάχητοι
ἐν τῷ καθ' ἡμᾶς γεγένηνται χρόνῳ, καὶ πλεῖστοι
ὅσοι ἀγῶνες τῆς τούτων γε ἕκατι καταβέβληνται
χώρας. Χοσρόης τε γὰρ ὁ Περσῶν βασιλεὺς ἤδη
πολλὰ καὶ ἐπικαιρότατα τῶν ἐκείνῃ χωρίων σφετερι-
σάμενος καὶ κατέχων οὐκ ᾤετο δεῖν μεθιέναι, ἀλλὰ
καὶ τὰ λοιπὰ χειρώσασθαι διενοεῖτο, Ἰουστινιανῷ
τε τῷ Ῥωμαίων αὐτοκράτορι καταπροέσθαι Γουβάζην
P. 56 τὸν Λαζῶν ἐν τῷ τότε βασιλέα καὶ ἅπαν τὸ ἔθνος,
κατηκόους ὄντας καὶ εὔνους καὶ τὰ ἐς θεὸν ὁμογνώ-
μονας, οὐκ ἀνεκτὰ ἐδόκει οὐδὲ ὅσιον. μᾶλλον μὲν
οὖν καὶ ἐπειρᾶτο παντὶ σθένει ἀπώσασθαι ὡς τάχιστα
τοὺς πολεμίους. ἐλογίζετο γὰρ καὶ ἐδεδίει ὡς εἰ τῷ
πολέμῳ κρατήσαιεν οἱ Πέρσαι, καὶ ἁπάσης ἐπιλά-
βοιντο τῆς χώρας, οὐδὲν ἔσται τὸ κωλῦον αὐτοὺς
ἀνὰ τὸν Εὔξεινον πόντον ἀδεῶς ναυτιλλομένους τὰ
ἐνδότατα τῆς Ῥωμαίων ἀρχῆς ἀνιχνεύειν. τοιγάρτοι
στράτευμά τε μέγιστον καὶ ἀλκιμώτατον ἐνταῦθα
ἔταξεν καὶ στρατηγοὺς ἐπέστησεν τοὺς ἀρίστους.
Βέσσας τε γὰρ καὶ Μαρτῖνος καὶ Βούζης ἡγεῖτο,
B ἄνδρες ἐν τοῖς μάλιστα γεγενημένοι καὶ πολέμους
συχνοὺς ἀγωνισάμενοι. ἔσταλτο δὲ καὶ Ἰουστῖνος ὁ

'ερμανοῦ, νεάζων μὲν ἔτι κομιδῇ, τὰ δὲ πολέμια a. C. 554 Iustiniani 28
δη πεπαιδευμένος.

19. Μερμερόης δὲ ὁ τῶν Περσῶν στρατηγὸς πειδὴ πρότερον Ἀρχαιοπόλει τε δὶς προσβαλὼν πεκέκρουστο καὶ ἄλλα ἄττα ἐπεπράχει ἃ δὴ ἔγωγε ἀρίημι, ἀποχρώντως γάρ που Προκοπίῳ τῷ ῥήτορι ὰ μέχρι τῶνδε ἀναγέγραπται, τότε δὴ αὖθις, νθένδε γάρ μοι ἀρχομένῳ τὰ ἐφεξῆς ἁρμοστέον, φῖκτο μὲν ἐς Μουχείρισίν τε καὶ Κοταΐσιν τὸ ρούριον, ἐβούλετο δὲ τὴν ἐς Τήλεφιν δυσχωρίαν ιαραμειψάμενος εἴσω τοῦ Φάσιδος γενέσθαι ποταιοῦ, καὶ τῷ ἀπροσδοκήτῳ τοὺς Ῥωμαίους ἐκπλήξας C ιὰ πείρας ἐλθεῖν, εἴ πως ἂν ἔνια γοῦν τῶν τῇδε τολισμάτων παραστήσασθαι δυνηθείη. ταῦτα δὲ ιὐτῷ πράττειν ἐκ τοῦ ἐμφανοῦς πορευομένῳ καὶ πιόντι ἀμήχανα ἦν. Μαρτῖνος γὰρ ὁ στρατηγὸς ἅμα τῇ ἀμφ' αὐτὸν στρατιᾷ ἐς τὴν Τήλεφιν ἱδρυμένος, φρούριον δὲ τοῦτο καρτερόν τε καὶ ἐχυρώτατον, διεφύλαττεν ἐπιμελέστατα τὰς ἐσόδους. ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον δύσβατόν τε καὶ ἀπρόσοδον. φάραγγές τε γὰρ καὶ πέτραι ἀπερρωγυῖαι καὶ ἐς ἀλλήλας ἐπικλινόμεναι στενωτάτην ἀτεχνῶς τὴν ὑποκειμένην ἀτραπὸν ἐκτελοῦσιν. ἄλλοθεν δὲ οὐκ D ἔστιν ὁτῳοῦν ἐσιτητέα. τὰ γὰρ ἐχόμενα πεδία ἰλυώδη γέ εἰσι δεινῶς καὶ τελματώδη, λόχμαι τε δασεῖαι καὶ δρυμοὶ ἀνέχουσιν, ὡς καὶ ἑνὶ ἀνδρί, καὶ οὕτῳ εὐζώνῳ, ἄπορον εἶναι τὸ χρῆμα, μήτι γε πλήθεσιν ὡπλισμένοις. πλὴν ἀλλὰ καὶ ὥς οἱ Ῥωμαῖοι οὐδὲν ὁτιοῦν πόνου ἀνιέντες, εἴ πού τι εὗρον V. 41 τῶν τόπων σφαλερόν τε καὶ βάσιμον, αὐτίκα ξύλοις καὶ λίθοις περιέφραττον, καὶ θαμὰ ἐν τοῖσδε όχθουν. διαπορουμένῳ δὴ οὖν ἐν τοῖς παροῦσι

A.C. 554 Iustiniani 28 τῷ Μερμερόῃ καὶ πλεῖστα διαλογιζομένῳ προσῆλθε διανοεῖσθαι ὡς εἴ γε ὅτῳ δὴ οὖν τρόπῳ διαλύσ τὴν φρουρὰν τῶν Ῥωμαίων καὶ ἠρέμα ἀπώσοιτο, (πάμπαν αὐτῷ τὰ ἐς τὴν διάβασιν ἀνήνυτα ἔστι

P. 57 πολεμίων μὲν γὰρ τῷ χώρῳ ἐνδελεχέστατα ἐφ δρευόντων οὐχ οἷόν τε ἦν ἅμα ἀμφοτέρων κρατῆσα ἐκείνων δὲ ἀνιέντων, ἀλλὰ μόνην γε τὴν δυσχωρί ἀκέσασθαι καὶ τὸ δυσέμβολον τῆς πορείας ἐς εὐέφοδον ἀμωσγέπως μετασκευάσαι οὐ λίαν ἀδ νατα εἶναι ἡγεῖτο. ἤλπιζε γὰρ τὴν ὕλην ἐκτέμνο τῇ πολυχειρίᾳ καὶ ἀνακαθαίρων καὶ τῶν πετρῶν τι ἀντίξουν διακολάπτων καὶ παραιρούμενος (χαλεπῶς διαβήσεσθαι. ὡς ἂν οὖν ταῦτα διαπράξοιτ ἐπενόει τοιάδε· ἐσκήπτετο ἀθρόον νόσῳ τινὶ δει τε καὶ ἀνηκέστῳ ἑαλωκέναι, καὶ οὖν ἀνεκέκλι

B δυσφορῶν δῆθεν καὶ ἀσχάλλων καὶ τὸ ξυμπεσ ὀλοφυρόμενος· ὅ τε λόγος οὗτος ἀνὰ πᾶν αὐτί ἐφοίτα τὸ στράτευμα ὡς ὁ στρατηγὸς πονήρως ἔχοι καὶ ὅσον οὔπω ἀπολεῖται. ὅσους τε αὐτι ἤρεσκεν μισθαρνεῖν τοῖς ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείο προδοσίᾳ καὶ λάθρᾳ ἐξάγειν τὰ ἀπόρρητα, οὗτοι (τὸ μὲν ἀτρεκὲς οὐκ ἐγίγνωσκον· ἀσφαλέστατα γ τὸ βούλευμα ἐκρύπτετο καὶ οὐδὲ ἐς ἅπαντας το φιλτάτους ἐξέπιπτε· μόνοις δὲ τοῖς ἐν τῷ ὁμίλ περιαγομένοις ἐξηπατημένοι τοῖς Ῥωμαίοις διή γελλον. οἱ δὲ ῥᾳδίως ἐπείθοντο, οὐ τοσοῦτον, οἶμ τῇ ἀγγελίᾳ ὁπόσον τῷ βουλομένῳ τῆς γνώμης.

C 20. Εὐθὺς δὴ οὖν τὸ ἐνεργόν τε καὶ ξύντοι τῆς φροντίδος ὑποχαλῶντες οὐκέτι λίαν ἀκριβῆ τ φυλακὴν ἐποιοῦντο. ὀλίγαι τε παρῳχήκεσαν ἡμέ καὶ ὁ Μερμερόης ὡς δὴ τεθνηκὼς ἀπηγγέλλε ἔκρυπτε γὰρ ἑαυτὸν ἔς τι δωμάτιον, ὡς καὶ πι

ποντό τε αὐτῷ καὶ βάθην ἀπεκομίζοντο· πλὴν ἀλλ' a.C.554
οὐ γεγένηται χώρα τῷ Θεοδώρῳ σχολαίτερον διαγ- Iustiniani 28
γεῖλαι τοῖς στρατηγοῖς τὴν ἐπήλυσιν τοῦ Μερμερόου.
ἐνίων γὰρ ἔτι ἐκ τοῦ στρατοῦ τῇ ἁρπαγῇ ἐγκειμένων
καὶ οὐκ ἀνιέντων, ἐπιφοιτῶσιν ἀθρόον οἱ Πέρσαι,
καὶ ὀλίγους μὲν αὐτῶν ἔκτεινον, οἱ δὲ ἄλλοι δρο-
μαῖοι ἔφυγον, καὶ δὴ ἐξαπιναίως ἐσπίπτουσιν ἀνὰ
τὸ στρατόπεδον ξὺν οἰμωγῇ καὶ θορύβῳ, ὡς ἅπαντας
ξυνταραχθῆναι τῷ αἰφνιδίῳ καὶ πέρα τοῦ μετρίου P. 59
δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι. οἱ δὲ
στρατηγοί, οὔπω γὰρ αὐτοῖς ἐς φάλαγγα ὁ στρατὸς
ἐτετάχατο, δεδιότες καὶ οἱ μὴ σφίσιν οὐ παρεσκευασμέ-
νοις ἐπισταῖεν οἱ βάρβαροι, περιεφρόνουν μὲν τὰ πρό-
τερον δοκηθέντα, οὐκ εἶχον δὲ ὅ τι καὶ γένοιντο·
οὔτε γὰρ βουλεύσασθαι αὐτοῖς περὶ τῶν παρόντων
ὁ καιρὸς ἐνεδίδου καὶ τὸ ἤδη καταπεπλῆχθαι τὰς
γνώμας. εὐθὺς οὖν ἄραντες ἐκ τοῦ πεδίου καὶ
ἅπαντα ἐπαγόμενοι τὰ στρατεύματα ᾤχοντο ἀγεννῶς
καὶ ἀκόσμως, καὶ οὐ πρότερον ἐπαύσαντο θέοντες
πρὶν ἐς τὴν Νῆσον ἱκέσθαι. ἄπεστι δὲ ἡ Νῆσος ἥδε
Τηλέφεως πέντε μάλιστα παρασάγγαις. τοσαύτην B
ἄρα οἱ γενναῖοι αὐθημερὸν πορείαν διήνυσαν, ὠκύ-
τατα πεφευγότες. ἔστι γὰρ ὁ παρασάγγης, ὡς μὲν
Ἡροδότῳ δοκεῖ καὶ Ξενοφῶντι, τριάκοντα στάδια,
ὡς δὲ νῦν Ἴβηρες καὶ Πέρσαι φασίν, ἐν ἑνὶ μόνῳ
τῶν εἴκοσι πλείονα. Λαζοὶ δὲ οὕτω μὲν καὶ αὐτοὶ
ὁμολογοῦσιν, οὐ μὴν δὲ τῷ ὀνόματι χρῶνται, ἀλλὰ
ἀναπαύλας καλοῦσι, καί, οἶμαι, εἰκότως. οἱ γὰρ
παρ' αὐτοῖς ἀχθοφόροι ἕκαστον παρασάγγην
περαιωθέντες τά τε φορτία τίθενται καὶ σφᾶς
αὐτοὺς ἐλάχιστον ἀναπαύουσιν, ἑτέρων δήπου ἀμοι-
βαδὸν διαδεχομένων, καὶ καθ' ὅσον τοῦτο δρῶσιν,

554 τῇ Ἑλλήνων φωνῇ Χυτροπώλια. ἤδη δὲ πολλῶν ἅμα τῷ Μαρτίνῳ προτερησάντων καὶ ἐν τῷ ἀσφαλεῖ γενομένων, ἐβουλεύοντο ἅπαντες οἱ στρατηγοὶ ἐνταῦθα τοὺς δυσμενεῖς ἐκδεξάμενοι στήσεσθαί τε ἐς παράταξιν καὶ διακωλύειν αὐτοὺς ἀνὰ τὰ πρόσω ἰόντας. ἦν δέ τις τῶν ἐπισημοτάτων ἐν τοῖς ταξιάρχοις Θεόδωρος ὄνομα, τὸ μὲν γένος ἕλκων ἐκ τοῦ ἔθνους τῶν Τζανῶν, παρὰ Ῥωμαίοις δὲ τεθραμμένος, καὶ ἤδη τὸ βαρβαρικὸν τοῦ τρόπου, εἰ καὶ πάτριον ἦν, ἀποσκευασάμενος καὶ ἐς τὸ ἀστειότατον μετακοσμήσας. οὗτος δὴ οὖν ὁ Θεόδωρος ἅμα τῇ
C οἰκείᾳ δυνάμει, εἵποντο γὰρ αὐτῷ οὐ μείους ἢ πεντακόσιοι ἄνδρες τῶν ὁμοφύλων, ἀμφὶ Τήλεφιν ἔτι ἐμεμενήκει, εἰρημένον αὐτῷ ὑπὸ Μαρτίνου μὴ πρότερον ἐνθένδε χωρῆσαι, πρὶν ἂν θεάσοιτο ἅπαντας τοὺς πολεμίους ἐσβεβληκότας εἰκάσοι τε αὐτούς, ὡς ἔνεστιν, ὅσοι εἶεν καὶ γνοίη ὅπως ἔχουσιν ὁρμῆς τε καὶ γνώμης.

21. Ὁ δέ, ἦν γὰρ ἐς ἅπαντα δραστήριός τε καὶ θαρραλέος, καὶ δὴ κατὰ ταῦτα ἐποίει· καὶ εἶτα, ἐπειδὴ παρόντα εἶδε τὰ πλήθη τῶν Περσῶν ἐντὸς τοῦ φρουρίου, ἔγνω τε αὐτοὺς οὐ μέχρι τοῦδε στησομένους, ἀλλὰ καὶ σφόδρα πολεμησείοντας, αὐτίκα ᾤχετο. εὑρὼν δὲ κατὰ τὴν πορείαν πολλοὺς τῶν Ῥωμαίων οὐκ εὐθυδρομήσαντας ἐς τὰ Χυτροπώλια,
D ᾗπερ αὐτοῖς διετέτακτο, ἀλλ' ἐν οἰκήμασι Λαζικοῖς ἐσπηδήσαντας καὶ ἀφαιρουμένους ἔλυμόν τε καὶ ζειὰς καὶ ἄλλα ἄττα τῶν ἐδωδίμων, ἀπελαύνειν τε αὐτοὺς ἐπειρᾶτο καὶ κατεμέμφετο τῆς παρανοίας, ὡς οὐκ εἰδότας οὗπερ τυγχάνουσιν ὄντες κακοῦ. ὅσοι μὲν οὖν ἦσαν αὐτῶν οὐ λίαν λίχνοι τε καὶ ἀκόλαστοι, οὗτοι δὲ μεταμαθόντες τὸ λῷον ξυνεί-

ιντό τε αὐτῷ καὶ βάδην ἀπεκομίζοντο· πλὴν ἀλλ' a. C. 554 Iustiniani 28
ἰ γεγένηται χώρα τῷ Θεοδώρῳ σχολαίτερον διαγ-
εῖλαι τοῖς στρατηγοῖς τὴν ἐπήλυσιν τοῦ Μερμερόου.
νίων γὰρ ἔτι ἐκ τοῦ στρατοῦ τῇ ἁρπαγῇ ἐγκειμένων
αὶ οὐκ ἀνιέντων, ἐπιφοιτῶσιν ἀθρόον οἱ Πέρσαι,
αὶ ὀλίγους μὲν αὐτῶν ἔκτεινον, οἱ δὲ ἄλλοι δρο-
αῖοι ἔφυγον, καὶ δὴ ἐξαπιναίως ἐσπίπτουσιν ἀνὰ
ὸ στρατόπεδον ξὺν οἰμωγῇ καὶ θορύβῳ, ὡς ἅπαντας
υνταραχθῆναι τῷ αἰφνιδίῳ καὶ πέρα τοῦ μετρίου P. 59
ειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι. οἱ δὲ
τρατηγοί, οὔπω γὰρ αὐτοῖς ἐς φάλαγγα ὁ στρατὸς
ετάχατο, δεδιότες καὶ οἳ μὴ σφίσιν οὐ παρεσκευασμέ-
οις ἐπισταῖεν οἱ βάρβαροι, περιεφρόνουν μὲν τὰ πρό-
ερον δοκηθέντα, οὐκ εἶχον δὲ ὅ τι καὶ γένοιντο·
ὔτε γὰρ βουλεύσασθαι αὐτοῖς περὶ τῶν παρόντων
ὁ καιρὸς ἐνεδίδου καὶ τὸ ἤδη καταπεπλῆχθαι τὰς
γνώμας. εὐθὺς οὖν ἄραντες ἐκ τοῦ πεδίου καὶ
πάντα ἐπαγόμενοι τὰ στρατεύματα ᾤχοντο ἀγεννῶς
καὶ ἀκόσμως, καὶ οὐ πρότερον ἐπαύσαντο θέοντες
πρὶν ἐς τὴν Νῆσον ἱκέσθαι. ἄπεστι δὲ ἡ Νῆσος ἥδε
Τηλέφεως πέντε μάλιστα παρασάγγαις. τοσαύτην B
ἄρα οἱ γενναῖοι αὐθημερὸν πορείαν διήνυσαν, ὠκύ-
τατα πεφευγότες. ἔστι γὰρ ὁ παρασάγγης, ὡς μὲν
Ἡροδότῳ δοκεῖ καὶ Ξενοφῶντι, τριάκοντα στάδια,
ὡς δὲ νῦν Ἴβηρες καὶ Πέρσαι φασίν, ἐν ἑνὶ μόνῳ
ὂν εἴκοσι πλείονα. Λαζοὶ δὲ οὕτω μὲν καὶ αὐτοὶ
ὁμολογοῦσιν, οὐ μὴν δὲ τῷ ὀνόματι χρῶνται, ἀλλὰ
ἀναπαύλας καλοῦσι, καί, οἶμαι, εἰκότως. οἱ γὰρ
παρ' αὐτοῖς ἀχθοφόροι ἕκαστον παρασάγγην
περαιωθέντες τά τε φορτία τίθενται καὶ σφᾶς
αὐτοὺς ἐλάχιστον ἀναπαύουσιν, ἑτέρων δήπου ἀμοι-
βαδὸν διαδεχομένων, καὶ καθ' ὅσον τοῦτο δρῶσιν,

a. C. 554 Iustiniani 28 ἐς τοσοῦτον τὰς ὁδοὺς διαμετροῦνται καὶ κατα-
τέμνουσιν. εἴτε δὴ οὖν οὕτως εἴτε ἐκείνως τὸν
C παρασάγγην κλητέον, πεντήκοντά γε καὶ ἑκατὸν
σταδίοις ἐκ τοῦ φρουρίου ἡ Νῆσος διείργεται. ἔστι
δὲ τὸ χωρίον ἐπιεικῶς ἐχυρὸν καὶ οὐκ εὐέφοδον,
ταῖς τῶν ποταμῶν περιβαλλόμενον δίναις. ὅ τε γὰρ
Φᾶσις καὶ ὁ Δοκωνός, ἐκ τοῦ Καυκάσου διακριδὸν
καταρρέοντε καὶ πολλῷ τὰ πρῶτα διεστηκότε, ἐν-
ταῦθα τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης ἠρέμα
V. 43 πλησιάζετον ἀλλήλοιν καὶ οὐκέτι ἄπωθεν φέρεσθον,
ὥστε ἀμέλει τῶν Ῥωμαίων διώρυχά τινα μηχανησα-
μένων, καὶ ἐκ τοῦ Φάσιδος ἐκροὴν ἐς τὸν Δοκωνὸν
μετοχετευσάντων, τούτῳ δὴ τῷ τρόπῳ ἐς τὰ πρὸς
τῆς ἕω τετραμμένα τῆς Νήσου ἡνῶσθαι ἄμφω τὼ
D ποταμὼ καὶ ξυνειλῆφθαι τὸν χῶρον. ἐντεῦθεν δὲ
αὖθις καμπάς τε καὶ περιελιγμοὺς ποιουμένω οὐκ
ἐλάχιστόν τι χρῆμα τοῦ πεδίου εἴσω ἀπολαμβάνετον·
προϊόντε δὲ ἀνὰ τὰ πρόσω ἐς δυόμενον ἥλιον ξυμ-
βάλλετον αὐτομάτως καὶ ἀναμίγνυσθον τελεώτατα,
ὡς ταύτῃ γε ἅπαν τὸ μεταξὺ νῆσον ἐς τὸ ἀκριβὲς
ἐκτελεῖσθαι. ἐνταῦθα μὲν οὖν οἱ Ῥωμαῖοι ἐτύγχανον
ξυνειλεγμένοι.

22. Ὁ δὲ Μερμερόης ἐς τὰ Χυτροπώλια παρα-
γενόμενος, καὶ πολλὰ τῆς ἀνανδρίας ἐπιτωθάσας
τοὺς οὐκ ἀΐοντας καὶ λοιδορησάμενος, ἔγνω μὴ
περαιτέρω ἰέναι μηδὲ τῇ Νήσῳ προσβάλλειν. οὔτε
γὰρ τὰ ἐπιτήδεια ἐκπορίζεσθαι τοσούτῳ στρατῷ
μέσῃ τῇ πολεμίᾳ οἷός τε ἦν οὔτε ἄλλως παρεσκεύ-
P. 60 αστο ἐς πολιορκίαν. τοιγάρτοι ἀποπορευτέα μὲν
αὖθις αὐτῷ ἐπὶ Τήλεφίν τε καὶ τὴν ἐκείνῃ δυσχω-
ρίαν οὐ μάλα ἐδόκει, ξύλοις δὲ καὶ ἀκάτοις, ἃ
ἐς τοῦτο ἐπεποίηντο, ζεύξας τὰς τοῦ Φάσιδος ὄχθας

ιαὶ οἷον γέφυραν τεκτηνάμενος διεβίβασεν ἀδεῶς a.C.554 Iustiniani 28 ἅπαν τὸ στράτευμα, οὐδενὸς ἐνοχλοῦντος. καὶ δὴ τοὺς ἐς Ὀνόγουριν Πέρσας ἱδρυμένους τὸ φρούριον, ὃ δὴ πρότερον αὐτὸς ἐν τῇ Ἀρχαιοπόλεως περιοικίδι ἐπιτείχισμα κατὰ τῶν Ῥωμαίων κατεστήσατο, ἀλλὰ τούτους γε τοὺς Πέρσας ἐπιθαρρύνας καὶ ἑτέραν δύναμιν ἐμβαλὼν καὶ ἅπαντα τὰ τῇδε, ὡς ἐνῆν, κρατυνάμενος, πάλιν ἔς τε Κοτάϊσιν καὶ Μουχείρισιν ἐπανῆκεν. αὐτίκα δὲ νόσῳ τινὶ πεπιεσμένος καὶ διατεθεὶς χαλεπώτατα, τὸ μὲν πλεῖστον τοῦ στρατοῦ B καὶ ἀλκιμώτατον αὐτοῦ καταλέλοιπεν διαφυλάξοντας τὰ οἰκεῖα, αὐτὸς δὲ ἐς Ἰβηρίαν τὴν χώραν μετῆλθεν. καὶ τοίνυν ἐς πόλιν Μεσχιθὰ οὕτω καλουμένην μόλις ἠγμένος, καὶ οὐκ ἐνεγκὼν τὸ πάθος, τότε δὴ τέθνηκεν ὡς ἀληθῶς ὁ Μερμερόης, ἀνὴρ ἐν τοῖς μάλιστα παρὰ Πέρσαις γεγενημένος, καὶ δεινὸς μὲν ἐς εὐβουλίαν, ἄριστος δὲ τὰ πολέμια καὶ σφόδρα τὴν ψυχὴν ἀνδρειότατος· ὃς δὴ γηραιὸς ὢν ἤδη καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μηδὲ ἐφ' ἵππου ὀχεῖσθαι ὅμως ἐμόχθει ὥσπερ τις νεανίας ῥωμαλεώτατος καὶ οὐκ ἀπηγόρευεν πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην ἐς τὰς παρατάξεις ἐφοίτα, καὶ ταύτῃ τοὺς μὲν ἐναντίους κατέπληττεν, τοῖς δὲ οἰκείοις παραι- C νῶν καὶ ἐγκελευόμενος καὶ τὰ πρακτέα ὀρθῶς διατάττων πολλὰς ἀνεδήσατο νίκας. οὕτως ἄρα τὸ στρατηγεῖν οὐ σώματος ῥώμῃ, μᾶλλον μὲν οὖν φρονήσει δοτέον. τότε δὴ τὸ σῶμα τοῦ Μερμερόου οἱ ἀμφ' αὐτὸν ἀνελόμενοι, καὶ ἐκτός που τοῦ ἄστεος ἀποκομίσαντες, οὕτω δὴ ἔρημόν τε καὶ ἀκάλυπτον κατὰ τὸν πάτριον ἔθεντο νόμον κυσί τε ἅμα καὶ τῶν ὀρνέων τοῖς ὅσα μιαρὰ καὶ νεκροβόρα παρανάλωμα γενησόμενον.

113, 16

a.C. 554 Iustiniani 28 23. Ὧδε γὰρ τὰ ἐς τὴν ταφὴν οἱ Πέρσι
ζουσι, ταύτῃ τε τῶν σαρκῶν ἀφαιρουμένωι
δὴ τὰ ὀστᾶ πύθεται σποράδην ἀνὰ τὰ πεδία
ῥιμμένα. θήκῃ γάρ τινι ἐμβαλεῖν ἢ λάρνα
D τεθνεῶτας ἢ καὶ τῇ γῇ καταχωννύναι ἥκιστ
αὐτοῖς. ἐφ' ὅτῳ δὲ ἂν σώματι μὴ θᾶττον κατ
οἱ ὄρνις ἢ οἱ κύνες οὐκ αὐτίκα ἐπιφοιτῶντ
σπαράξαιεν, τοῦτον δὴ ἡγοῦνται τὸν ἄν
βέβηλον γεγονέναι τοὺς τρόπους καὶ τὴν ψυχ
κον καὶ βαραθρώδη καὶ τῷ κακῷ δαίμονι ἀν
τότε δὴ οὖν καὶ μᾶλλον οἱ ἐπιτήδειοι τὸν
ὀλοφύρονται, ὡς τελεώτατα τεθνηκότα καὶ ο
αὐτῷ τῆς κρείττονος μοίρας. ὃς δὲ ἂν τάχιστ
βρωθείη, μακαρίζουσι τῆς εὐδαιμονίας καὶ τὴ
ὑπεράγανται ὡς λίαν ἀρίστην καὶ θεοείκελο
P. 61 τὸν τοῦ ἀγαθοῦ χῶρον ἀναβησομένην. οἱ δὲ
καὶ ἀσημότεροι εἴ που ἐν στρατοπέδῳ τύχοι
V. 44 τινὶ δυσκολωτάτῃ πεπιεσμένοι, ἔμπνοι ἔτι
καὶ νηφάλιοι. ἐπειδὰν δέ τις οὕτως ἐκτεθείη
τρύφος αὐτῷ καὶ ὕδωρ καὶ βακτηρία ξυμπαρά
καὶ μέχρι μὲν οἷός τε εἴη τῆς ἐδωδῆς ἀπογ
καί τι δυνάμεως αὐτῷ ὑπολείποιτο, ὁ δὲ ἀ
ταύτῃ δὴ τῇ βακτηρίᾳ τὰ ἐπιόντα τῶν ζῳ
ἀποσοβεῖ τοὺς δαιτυμόνας. εἰ δὲ οὔπω μὲν
διαφθαρείη, νικῴη δὲ ὅμως τὰ τῆς νόσου ὡ
κινεῖσθαι τὼ χεῖρε, τότε δὴ τὸν δείλαιον ἡ
καὶ ἄρτι ψυχορραγεῖν ἀρχόμενον κατεσθίο
B προαφαιροῦνται τὴν ἐλπίδα τοῦ ἴσως ἂν κα
σεσθαι. πολλοὶ γὰρ ἤδη ἀναρρωσθέντες ἀπεν
ἐς τὰ οἰκεῖα, καθάπερ ἐν σκηνῇ καὶ τραγ
τῶν σκότου πυλῶν ἀφιγμένοι, ἰσχνοί τι
ἐνερόχρωτες καὶ οἷοι δεδίττεσθαι τοὺς ἐντυγχ

δέ τις οὕτως ἐπανήξει, ἐκτρέπονταί γε αὐτὸν a. C. 554 Iustiniani 28
χντες καὶ ἀποφεύγουσιν ὡς ἐναγέστατον καὶ ὑπὸ
ὶς χθονίους ἔτι τελοῦντα, καὶ οὐ πρότερόν οἱ
ῖται τῶν ξυνήθων μεταλαχεῖν διαιτημάτων πρὶν
ὸ τῶν μάγων ἀποκαθαρθείη τὸ μίασμα δῆθεν τοῦ
ισθέντος θανάτου καὶ οἷον ἀνταπολάβοι τὸ αὖθις
ῆναι. καὶ εὔδηλον μὲν ὅτι δὴ τῶν ἀνθρωπείων
νῶν ὡς ἕκαστοι, εἴ γε ὅτῳ δὴ οὖν νόμῳ ἐκ
είστου νενικηκότι ἐμβιοτεύσαιεν, τοῦτον δὴ ἄριστον C
οῦνται καὶ θεσπέσιον, καὶ εἴ πού τι παρ' ἐκεῖνον
άττοιτο, φευκτόν τε αὐτοῖς εἶναι δοκεῖ καὶ κατα-
λαστον καὶ ὁποῖον ἤδη καὶ ἀπιστεῖσθαι. ἐξεύρην-
δὲ ὅμως αἰτίαι τοῖς ἀνθρώποις καὶ λόγοι τῶν
είων πέρι νόμων ἄλλοθι ἄλλοι, τυχὸν μὲν ἀληθεῖς,
ιὸν δὲ καὶ ἐς τὸ πιθανώτερον ἐσκευασμένοι. καὶ
δέν, οἶμαι, θαυμαστὸν εἰ καὶ Πέρσαι τὰ παρὰ
σιν αὐτοῖς ἔθη αἰτιολογοῦντες ἀμείνονα πειρῶνται
ν ἑκασταχοῦ ἀποφαίνειν· ἐκεῖνο δὲ καὶ λίαν θαυ-
σαιμι ἄν, ὅτι δὴ οἱ παλαίτατοι τῆς χώρας οἰκή-
ιες, εἶεν δ' ἂν οὗτοι Ἀσσύριοί τε καὶ Χαλδαῖοι
Μῆδοι, ἀλλ' ἐκείνοις γε οὐ ταὐτὰ ἐδόκει. καὶ
ι ἀμφὶ Νίνον τὴν πόλιν καὶ ἀνὰ τὴν Βαβυλωνίαν
ραν καὶ πρός γε ἐν τῇ Μηδικῇ τύμβοι τε καὶ D
ιαι τῶν πάλαι τεθνεώτων ἵδρυντο, οὐκ ἄλλον
ὰ ἢ τὸν ἡμέτερον ἀποσώζουσαι τρόπον, καὶ εἴτε
ιατα εἴτε κόνις ἦν τὸ κρυπτόμενον, ὡς δὴ ἐκείνων
ὰ τὸν παρ' Ἕλλησι νόμον πυρποληθέντων, οὐδα-
; ὅμοιά γε ταῦτα τοῖς νῦν γιγνομένοις ἐτύγχανον
α.

24. Οὔκουν ἐκεῖνοί γε ὧδε ἐγίγνωσκον οὔτε
ὶ τὰς ταφὰς οὐ μὲν οὖν ἀλλ' οὐδὲ ἐς τὴν τῆς
ῆς παρανομίαν ὁποῖα οἱ νῦν ἀκολασταίνουσιν,

C.554 Iustiani28 χρῶνται καὶ ἀφαγνισμοῖς καὶ μαντείαις· καὶ τ Ἑλληνικόν. τὸ δὲ πῦρ αὐτοῖς τίμιόν τε εἶναι δ καὶ ἁγιώτατον, καὶ τοίνυν ἐν οἰκίσκοις τισὶν ἱε
B τε δῆθεν καὶ ἀποκεκριμένοις ἄσβεστον οἱ μ φυλάττουσι, καὶ ἐς ἐκεῖνο ἀφορῶντες τάς τε ἀπορ τους τελετὰς ἐκτελοῦσι καὶ τῶν ἐσομένων πέρι ἀ πυνθάνονται. τοῦτο δέ, οἶμαι, τὸ νόμιμον ἢ π Χαλδαίων ἢ ἐξ ἑτέρου του ἀνελέξαντο γένους· γὰρ δὴ τοῖς ἄλλοις ξυμβαίνει. ὧδέ πως ἄρα αὐ ἡ δόξα ἐκ πλείστων ὅσων ἐθνῶν ἠρανισμένη ποικιλώτατα ξύγκειται. καί μοι τοῦτο οὐκ τρόπου δοκεῖ γεγενῆσθαι. ἄλλην γὰρ οὕτω πολιτε οὐκ οἶδα ἐς πλείστας μορφάς τε καὶ σχήματα με βαλοῦσαν καὶ ἐν ταὐτῷ μένειν ἐπὶ πλεῖστον διαρκέσασαν, ἀλλὰ μυρίων ἐθνῶν ἄλλοτε ἄλ
C ἐπικράτειαν δεξαμένην· τῷ τοι ἄρα καὶ εἰκό πολλῶν ἰδεῶν τε καὶ νόμων γνωρίσματα σ πρῶτοι μὲν γὰρ ὧν ἀκοῇ ἴσμεν Ἀσσύριοι λέγοι ἅπασαν τὴν Ἀσίαν χειρώσασθαι πλὴν Ἰνδῶν ὑπὲρ Γάγγην ποταμὸν ἱδρυμένων. Νῖνος τε π τερον φαίνεται καὶ βασιλείαν ἐνταῦθα βεβαίαν κα στησάμενος, Σεμίραμίς τε αὖ μετ' ἐκεῖνον καὶ ἅπαντες οἱ τούτων ἀπόγονοι μέχρι καὶ ἐς Βελε τὸν Δερκετάδου. ἐς τοῦτον γὰρ δὴ τὸν Βελεοῦν τοῦ Σεμιραμείου φύλου διαδοχῆς παυσαμένης, Βε τάρας τις ὄνομα, φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης, ἐκ πώσατο παραλόγως τὴν βασιλείαν καὶ τῷ οἰ ἐνεφύτευσε γένει, ὥς που Βίωνι γέγραπται
D Ἀλεξάνδρῳ τῷ Πολυΐστορι, ἕως ἐς Σαρδανάπαλ ὥς ἐκεῖνοί φασι, τῆς ἀρχῆς ἀπομαρανθείσης Ἀρβ ὁ Μῆδος καὶ Βέλεσυς ὁ Βαβυλώνιος ἀφῄρη

ιτὴν τοὺς Ἀσσυρίους, καθελόντες τὸν βασιλέα, a. C. 554 Iustiniani 28
ιὶ ἐς τὸ Μηδικὸν μετέστησαν ἔθνος, ἕξ τε καὶ
ιακοσίων ἤδη πρὸς τοῖς χιλίοις ἢ καὶ ὀλίγῳ πλειό- V. 46
ων ἐτῶν παρῳχηκότων, ἐξ οὗ τὰ πρῶτα ὁ Νίνος
ῶν ἐκείνῃ κατέσχεν πραγμάτων. οὕτω γὰρ Κτησίᾳ
ῷ Κνιδίῳ τοὺς χρόνους ἀναγραψαμένῳ καὶ Διό-
ωρος ξύμφησιν ὁ Σικελιώτης. Μῆδοι τοίνυν αὖθις
κράτουν, καὶ ἅπαντα τοῖς ἐκείνων ἐτάττοντο νόμοις.
τη δὲ καὶ τούτων ἐν τῇ ἀρχῇ διανυσάντων οὐ μεῖον P. 64
τριακόσια, Κῦρος ὁ Καμβύσου τὸν Ἀστυάγην
αταπολεμήσας ἐπὶ Πέρσας τὴν ἡγεμονίαν μετήγαγε.
ῶς δὲ οὐκ ἤμελλεν, Πέρσης τε ὢν αὐτὸς ἰθαγενὴς
αὶ ἅμα χαλεπαίνων τοῖς Μήδοις διὰ τὰς ξὺν
Ἀστυάγει παρατάξεις; κρατήσαντες δὲ καὶ οἱ Περσι-
οὶ βασιλεῖς ὀκτώ τε καὶ εἴκοσι καὶ διακόσια ἔτη,
αὶ μέντοι καὶ ἡ τούτων ἀρχὴ τελεώτατα διερρύη,
κρατῷ ἐπηλύτῃ καὶ βασιλεῖ ἀλλοτρίῳ καταλυθεῖσα.
Ἀλέξανδρος γὰρ ὁ Φιλίππου Δαρεῖον ἀποκτείνας
ὸν Ἀρσάμου τὸν βασιλέα καὶ ἅπασαν τὴν Περσίδα
αραστησάμενος ἐς Μακεδονικὴν τὰ πράγματα μετέ-
θηκε πολιτείαν. οὕτω γὰρ ἦν μεγαλουργὸς ἐς τὰ B
άλιστα καὶ ἀμαχώτατος ὡς ἐπειδὴ αὐτὸν καὶ ἀπο-
λιῶναι ξυνέβη, ὅμως τοὺς ἐκείνου διαδόχους, Μακε-
δόνας γε ὄντας, κατασχεῖν ἐπὶ πλεῖστον τῆς ἀλλο-
λαπῆς καὶ ὀθνείας καὶ ἐπὶ μέγα δυνάμεως ἀφικέσθαι.
αί, οἶμαι, ἄχρι καὶ ἐς τόδε τοῦ καιροῦ ἦρχον ἂν
αὶ ἐπεκράτουν, τῇ τοῦ οἰκιστοῦ κρατυνόμενοι δόξῃ,
ἰ μὴ ἐς ἀλλήλους στασιάσαντες καὶ θαμὰ κατά τε
φῶν αὐτῶν καὶ πρὸς Ῥωμαίους παραταξάμενοι
οῦ πλείονος ἕκατι διέλυσαν τὰς οἰκείας δυνάμεις
ιὶ οὐκέτι ἀνάλωτοι τοῖς πέλας ἐδόκουν. τοιγάρτοι
ιξαντες οὐ λίαν ἐλάττονα χρόνον τῶν Μήδων, ὅτι

a. C. 554 Iustiniani 28 μὴ ἑπτὰ ἔτεσι δέοντα, πειστέον γὰρ κἀνταῦθα τῷ
Πολυΐστορι, ἐς τοσοῦτον δὴ οὖν κρατήσαντες, Παρ-
C θυαῖοί γε αὐτούς, ἔθνος κατήκοον καὶ ἥκιστα ἐν τῷ
πρὸ τοῦ ὀνομαστότατον, παρέλυσαν τῆς ἀρχῆς τοὺς
Μακεδόνας. καὶ εἶτα ἐκεῖνοι τῶν ὅλων πλὴν
Αἰγύπτου ἡγοῦντο, Ἀρσάκου μὲν πρότερον τῆς
ἀποστάσεως ἀρξαμένου, ὡς καὶ Ἀρσακίδας τοὺς
μετ' αὐτὸν ὀνομάζεσθαι, Μιθριδάτου δὲ οὐ πολλῷ
ὕστερον ἐς μέγα τι κλέος τὸ Παρθυαίων ὄνομα
ἐξενεγκόντος.

26. Ἑβδομήκοντα δὲ ἐτῶν ἤδη ἐπὶ διακοσίοις
παρῳχηκότων ἀπὸ Ἀρσάκου τοῦ προτέρου ἐς Ἀρτά-
βανον τὸν ἔσχατον βασιλέα, ἡνίκα τὰ Ῥωμαίων
D πράγματα ὑπὸ Ἀλεξάνδρῳ τῷ Μαμαίας παιδὶ ἐτετά-
χατο, κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ τὸ Χοσρόου τοῦ
καθ' ἡμᾶς βασιλεύειν ἤρξατο γένος, ἥ τε μέχρι καὶ
νῦν παρὰ Πέρσαις κατέχουσα πολιτεία ἐν τῷ τότε
ἀρχὴν εἴληφε καὶ οἷον κατάστασιν πρώτην. Ἀρτα-
ξάρης γάρ τις τοὔνομα, Πέρσης ἀνήρ, ἄδοξος μὲν
τὰ πρῶτα καὶ ἀφανέστατος, ἄλλως δὲ μεγαλουργὸς
καὶ δραστήριος καὶ δεινὸς κινῆσαι τὰ καθεστῶτα,
ξυνωμότας ἀγείρας καὶ ἐπιθέμενος Ἀρτάβανον μὲν
ἀναιρεῖ τὸν βασιλέα, ἑαυτῷ δὲ περιθεὶς τὴν κίδαριν
καὶ τὴν Παρθικὴν δύναμιν καταλύσας, αὖθις τοῖς
Πέρσαις τὴν σφετέραν ἀνενεώσατο βασιλείαν. ἦν δέ
γε οὗτος τῇ μαγικῇ κάτοχος ἱερουργίᾳ καὶ αὐτουργὸς
P. 65 τῶν ἀπορρήτων. ταῦτά τοι καὶ τὸ μαγικὸν φῦλον
ἐγκρατὲς ἐξ ἐκείνου γέγονε καὶ ἀγέρωχον, ὂν μὲν
ἤδη καὶ πρότερον καὶ ἐκ παλαιοῦ τήνδε τὴν ἐπί-
κλησιν ἀποσῶζον, οὔπω δὲ ἐς τοῦτο τιμῆς τε καὶ
παρρησίας ἠρμένον, ἀλλ' ὁποῖον ὑπὸ τῶν ἐν τέλει
ἐστὶν ᾗ καὶ περιορᾶσθαι. δῆλον δέ· οὐ γὰρ ἂν οἱ

ιφὶ Δαρεῖον Πέρσαι, Σμέρδιος πάλαι τοῦ μάγου a. C. 554 Iustiniani 28
ετὰ Καμβύσην τὸν Κύρου τὴν βασιλείαν ὑποσυ-
ήσαντος ξυμφορὰν ἐποιοῦντο τὸ γεγενημένον, καὶ
ὑτόν τε τὸν Σμέρδιν ἀπέκτειναν καὶ πολλοὺς τῶν
σοι ὁμογνώμονες ἐκείνῳ ἐτύγχανον ὄντες, ὡς οὐκ
ξὸν τοῖς μάγοις τῷ βασιλείῳ θάκῳ ἐνωραΐζεσθαι
αὶ ἰζάνειν. οὕτω δὲ αὐτοῖς οὐ μιαροὶ ἔδοξαν εἶναι B
ἱ φόνοι, μᾶλλον μὲν οὖν καὶ μείζονος ἄξιοι μνήμης,
ὥστε ἀμέλει τὴν στάσιν ἐκείνην Μαγοφόνια ἑορτὴν V. 47
ὀνομασθῆναι καὶ θυσίας ἐπιτελεῖσθαι χαριστηρίους.
νῦν δὲ τιμῶσιν αὐτοὺς ἅπαντες καὶ ὑπεράγανται,
καὶ τά τε κοινὰ ταῖς τούτων βουλαῖς καὶ προαγο-
ρεύσεσι διατάττεται καὶ ἰδίᾳ ἑκάστῳ τῶν ξυμβαλ-
λόντων ἢ δίκην λαγχάνοντι ἐφίστανται διασκοποῦντες
τὰ ποιούμενα καὶ ἐπικρίνοντες, καὶ οὐδὲν ὁτιοῦν
παρὰ Πέρσαις δόξειεν ἂν ἔννομόν τε εἶναι καὶ
δίκαιον ὅγε μὴ ὑπὸ μάγου ἐμπεδωθείη.

27. Λέγεται δὲ τὴν τοῦ Ἀρταξάρου μητέρα
Παβέκῳ τινὶ ξυνῳκηκέναι, παντάπασι μὲν ἀσημο-
τάτῳ καὶ σκυτοτόμῳ τὴν τέχνην, τῆς δὲ τῶν ἀστέ- C
ρων πορείας δαημονεστάτῳ καὶ οἵῳ ῥᾳδίως τὰ ἐσό-
μενα διασκοπεῖσθαι· ἄνδρα δὲ στρατιώτην Σάσανον
ὄνομα, διὰ τῆς Καδουσαίων οὕτω ξυνενεχθὲν πορευό-
μενον χώρας, ἐπιξενωθῆναί τε τῷ Παβέκῳ καὶ ἐς τὸ
ἐκείνου δωμάτιον καταχθῆναι· τὸν δὲ ὅτῳ δὴ οὖν
τρόπῳ, ἅτε, οἶμαι, μάντιν, ἐπιγνόντα ὡς ἡ τοῦ
ξένου γονὴ ἀρίστη τε ἔσται καὶ ἀρίδηλος καὶ ἐπὶ
μέγα εὐδαιμονίας χωρήσει, ἀλύειν μὲν καὶ ὀλοφύ-
ρεσθαι, ὅτι δὴ αὐτῷ οὔτε θυγάτηρ ὑπῆν οὔτε
ἀδελφή, οὐ μὲν οὖν οὐδὲ ἄλλο τι γύναιον ὡς ἐγγύ-
τατα ξυνημμένον, τέλος δὲ ξυγκατακλῖναί οἱ τὴν D
γαμετὴν καὶ τῆς εὐνῆς ἐπιχωρῆσαι, ὑπεριδόντα μάλα

a. C. 554 Iustiniani 28 γενναίως τοῦ αἴσχους καὶ τῆς παραυτίκα λώβης τε καὶ ἀτιμίας τὴν μέλλουσαν τύχην ἀνταλλαξάμενον. οὕτω τε φύντα τὸν Ἀρταξάρην τραφῆναι μὲν ὑπὸ τῷ Παβέκῳ· ἐπεὶ δὲ νεανίας γενόμενος καρτερώτατα τὴν βασιλείαν κατέσχεν, ἔριν εὐθὺς καὶ νεῖκος ἐξαίσιον ἀναφανδὸν Σασάνῳ τε καὶ Παβέκῳ ἀναρραγῆναι. ἑκάτερον γὰρ ἐθέλειν πρὸς αὐτοῦ τὸν παῖδα ἐπονομάζεσθαι. μόλις δὲ ἄμφω ξυμβῆναι ἐφ' ᾧ δῆτα υἱὸν μὲν αὐτὸν Παβέκου καλεῖσθαι, ἐκ

P. 66 σπέρματος δὲ ὅμως Σασάνου τεχθέντα. οὕτω μὲν τὸν Ἀρταξάρην γενεαλογοῦντες οἱ Πέρσαι ἀληθῆ ταῦτά φασι καθεστάναι, ὡς καὶ ἐν ταῖς βασιλείοις διφθέραις ἀναγεγραμμένα. ἐγὼ δὲ ἁπάντων τῶν ἐφεξῆς ἀπογόνων, ὅσοι δὴ τὴν ἀρχὴν διεδέξαντο, τά τε ὀνόματα ὀλίγῳ ὕστερον φράσω, καὶ πρός γε ὁπόσον ἕκαστος ἐκράτησεν χρόνον· καίτοι ἅπασι τοῖς μέχρι νῦν χρονογράφοις παρεῖται καὶ οὐ περὶ πλείστου γεγένηται τὰ τοιαῦτα διερευνήσασθαι. ἀλλὰ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἀπὸ Ῥωμύλου τυχὸν καὶ ἔτι πρότερον ἀπὸ Αἰνείου τοῦ Ἀγχίσου ἀρχόμενοι μέχρι Ἀναστασίου τε καὶ Ἰουστίνου τοῦ πρεσβυτέρου

B ἀπαριθμοῦνται, τοὺς δὲ παρὰ Πέρσαις, φημὶ δὲ τούτους ἐκείνους, ὁπόσοι δὴ μετὰ τὴν Παρθυαίων κατάλυσιν ἔτυχον βεβασιλευκότες, οὐκέτι ὁμοίως ἀντιτιθέντες τοὺς χρόνους διευκρινήσαντο, δέον οὕτω ποιεῖν. ἐμοὶ δὲ τὸ ἀκριβὲς καὶ τούτων πέρι ἀναλέλεκται ἐκ τῶν παρὰ σφίσιν ἐγγεγραμμένων, καὶ οἶμαι τῇ παρούσῃ ξυγγραφῇ μάλα προσήκειν ἁπάντων ἐπιμνησθῆναι· καὶ τοίνυν προϊὼν ἐπιμνήσομαι, ἡνίκα ἂν δεῖν οἰηθείην, εἰ καὶ ὀνομάτων πολλῶν καὶ τούτων βαρβαρικῶν οὕτω δή τι ψιλῶς καταλόγους ποιεῖσθαι δεήσει, καὶ ταῦτα ἐνίων οὐδὲν

τι ἀξιαφήγητον εἰργασμένων· τοσοῦτον δὲ μόνον a. C. 554 Iustiniani 28
ιρὸς τὸ παρὸν εἴποιμι ἂν τοῦ σαφοῦς γε ἕκατι καὶ
ἐς πλεῖστα χρησίμου, ὡς ἐννέα τε καὶ δέκα καὶ πρός C
γε τριακόσιοι ἐνιαυτοὶ τελευτῶσιν ἐς τὸ πέμπτον τε
καὶ εἰκοστὸν ἔτος τῆς Χοσρόου τούτου βασιλείας.
καθ' ὃν δὴ χρόνον οἵ τε ἐν τῇ Κολχίδι χώρᾳ πόλε-
μοι διεφέροντο καὶ τὸν Μερμερόην ἀποβιῶναι ξυνη-
νέχθη. διήνυστο δὲ ἄρα ἐν τῷ τότε Ἰουστινιανῷ
βασιλεῖ ὀκτώ τε καὶ εἴκοσιν ἔτη Ῥωμαίων κρατοῦντι.

28. Ἀλλὰ γὰρ βραχέα ἄττα περὶ Χοσρόου διεξ-
ελθὼν αὐτίκα ἔγωγε ἀνὰ τὰ πρότερα καὶ δὴ ἐπα-
νήξω. ὑμνοῦσι γὰρ αὐτὸν καὶ ἄγανται πέρα τῆς
ἀξίας, μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥω- D
μαίων, ὡς λόγων ἐραστὴν καὶ φιλοσοφίας τῆς παρ' V. 48
ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό
του ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλληνικῶν ξυγγραμ-
μάτων. καὶ τοίνυν φασὶν ὅτι δὴ ὅλον τὸν Σταγει-
ρίτην καταπιὼν εἴη μᾶλλον ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς
τὸν Ὀλόρου, τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀνα-
πέπλησται δογμάτων, καὶ οὔτε ὁ Τίμαιος αὐτὸν
ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γραμμικῇ θεωρίᾳ
πεποίκιλται καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις,
οὔτε ὁ Φαίδων οὔτε ὁ Γοργίας, οὐ μὲν οὖν οὐδὲ
ἄλλος τις τῶν γλαφυρῶν τε καὶ ἀγκυλωτέρων διαλό-
γων, ὁποῖος, οἶμαι, ὁ Παρμενίδης. ἐγὼ δὲ οὕτως
αὐτὸν ἄριστα ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκρο-
τάτης, οὐκ ἄν ποτε οἰηθείην. πῶς μὲν γὰρ οἷόν τε
ἦν τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων καὶ
ἐλευθέριον καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει P. 67
πρόσφορόν τε καὶ ἐπικαιρότατον ἀγρίᾳ τινὶ γλώττῃ
καὶ ἀμουσοτάτῃ ἀποσωθῆναι; πῶς δὲ ἂν ἀνὴρ βασι-
λείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγανω-

C. 554 Iustiniani 28 οὐδαμῶς παιδείας μετειληχότας ἐξαπατᾶν δύνασ καὶ παράγειν. ὢν δὲ ἄρα ἐν λόγοις ἀμαθής, ἀ ἀμαθέστερός γε ὑπῆρχεν τὸν βίον. ἐς γὰρ τὰ (ματα τῶν εὐδαιμόνων ἰὼν καὶ σιτούμενος ἀφει τὰ ποικιλώτερα τῶν ἐδωδίμων, θαμά τε ὁμιλῶν Θηρικλείῳ, καὶ λόγοις χρώμενος ὑπὸ μέθης αἰσχ
C τε ἄγαν καὶ ἀκολάστοις, γέλωτα ὠφλίσκανεν π στον, ὡς καὶ παίεσθαι τυχὸν ἐπὶ κόρρης καὶ ἐκπώμασιν ὥσπερ τινὶ ἑωλοκρασίᾳ τὸ πρόσω καταρραίνεσθαι καὶ εἶναι κοινὸν ἄθυρμα τῶν (τυμόνων, οὐ μεῖον ἢ οἱ γελωτοποιοὶ καὶ μιμολ ἀλλὰ γὰρ τοιόσδε ὢν ὁ Οὐράνιος ἧκέν ποτε π τοὺς Πέρσας ὑπὸ Ἀρεοβίνδου τοῦ πρεσβει ἀπηγμένος. ἅτε δὴ ἀπατεὼν καὶ κόθορνος καὶ τὴν οὐκ οὖσαν ἑαυτῷ περιποιεῖν εὐκοσμίαν, αὐ ὅγε στολὴν μὲν ἠμπίσχετο σεμνοτάτην, ὁποίαν ἡμῖν οἱ τῶν λόγων καθηγηταὶ καὶ διδάσκαλοι φιέννυνται, οὕτω δὲ σοβαρῷ δῆθεν καὶ ἐμβ τῷ προσώπῳ ἐσεφοίτα ὡς τὸν Χοσρόην. ὁ δὲ
D παραδόξῳ θεάματι καταπεπληγμένος, καὶ ἱερό εἶναι εἰκάζων τὸ χρῆμα, καὶ φιλόσοφον αὐτὸ ἀληθῶς ὑποτοπήσας, οὕτω γὰρ αὐτοῦ καὶ ὠν ζετο, ἄσμενός τε εἶδεν καὶ φιλοφρόνως ἐδεξιο καὶ εἶτα ξυγκαλεσάμενος τοὺς μάγους ἐς λό αὐτῷ καθίστατο γενέσεώς τε καὶ φύσεως πέρι κ τόδε τὸ πᾶν ἀτελεύτητον ἔσται καὶ πότερον μίαν ἁπάντων ἀρχὴν νομιστέον.

30. Τότε δὴ οὖν ὁ Οὐράνιος καίριον μὲν οι
P. 69 ὁτιοῦν ἔλεγεν οὐδέ γε τὴν ἀρχὴν διενοεῖτο, μ δὲ τῷ θρασύς τε εἶναι καὶ στωμυλώτατος, κ πού φησιν ὁ ἐν Γοργίᾳ Σωκράτης "οὐκ εἰδὼ οὐκ εἰδόσιν" ἐνίκα. οὕτω τε εἷλεν τὸν βασιλ

ἱμαξ ἐκεῖνος καὶ ἔμπληκτος ὡς χρημάτων τέ οἱ a. C. 554 Iustiniani 28
ρήσασθαι πλῆθος καὶ κοινῆς μεταδοῦναι τραπέζης
ὶ ἀπάρξασθαι φιλοτησίας, οὔπω τοῦτο ἐπ' ἄλλῳ
γεγενημένον, ἐπόμνυσθαί τε πολλάκις ἦ μὴν
πώποτε τοιόνδε ἄνδρα ἑωρακέναι. καίτοι πρό-
ιον ἀρίστους ὡς ἀληθῶς ἐτεθέατο φιλοσόφους
θένδε ὡς αὐτὸν ἀφικομένους. οὐ πολλῷ γὰρ
τρόσθεν Δαμάσκιος ὁ Σύρος καὶ Σιμπλίκιος ὁ
λιξ Εὐλάλιός τε ὁ Φρὺξ καὶ Πρισκιανὸς ὁ Λυδὸς B
μείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης καὶ Ἰσίδω-
; ὁ Γαζαῖος, οὗτοι δὴ οὖν ἅπαντες τὸ ἄκρον
τον, κατὰ τὴν ποίησιν, τῶν ἐν τῷ καθ' ἡμᾶς
ὑνῳ φιλοσοφησάντων, ἐπειδὴ αὐτοὺς ἡ παρὰ
μαίοις κρατοῦσα ἐπὶ τῷ κρείττονι δόξα οὐκ
σκεν, ᾤοντό τε τὴν Περσικὴν πολιτείαν πολλῷ
αι ἀμείνονα, τούτοις δὴ τοῖς ὑπὸ τῶν πολλῶν
ιαδομένοις ἀναπεπεισμένοι ὡς εἴη παρ' ἐκείνοις
αιότατον μὲν τὸ ἄρχον καὶ ὁποῖον εἶναι ὁ Πλά-
ιος βούλεται λόγος, φιλοσοφίας τε καὶ βασιλείας
ταὐτὸ ξυνελθούσης, σῶφρον δὲ ἐς τὰ μάλιστα καὶ
ἵμιον τὸ κατήκοον, καὶ οὔτε φῶρες χρημάτων C
ε ἅρπαγες ἀναφύονται, ἀτὰρ οὐδὲ τὴν ἄλλην
ιόντες ἀδικίαν, ἀλλ' εἰ καί τι τῶν τιμίων κτη-
των ἐν ὅτῳ δὴ οὖν χώρῳ ἐρημοτάτῳ καταλειφθείη,
χιρεῖται ὅστις οὐδεὶς τῶν ἐντυγχανόντων, μένει V. 50
οὕτως, εἰ καὶ ἀφύλακτον ᾖ, σωζόμενον τῷ λελοι-
ι ἔστ' ἂν ἐπανήκοι· τούτοις δὴ οὖν ὡς ἀληθέσιν
θέντες, καὶ πρός γε ἀπειρημένον αὐτοῖς ἐκ τῶν
ων ἀδεῶς ἐνταῦθα ἐμπολιτεύεσθαι, ὡς τῷ καθε-
ῶτι οὐχ ἑπομένοις, οἱ δὲ αὐτίκα ἀπιόντες ᾤχοντο
ἀλλοδαπὰ καὶ ἄμικτα ἤθη, ὡς ἐκεῖσε τὸ λοιπὸν
σόμενοι. πρῶτον μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας

C. 554 Iustiniani 28 μάλα εὑρόντες καὶ πέρα τοῦ δέοντος ἐξωγκωμένους, ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ
D ἑώρων ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται οἱ μὲν ἡλίσκοντο, οἱ δὲ καὶ διελάνθανον, ἅπαν δὲ εἶδος ἀδικίας ἡμαρτάνετο. καὶ γὰρ οἱ δυνατοὶ τοὺς ἐλάττονας λυμαίνονται, ὠμότητί τε πολλῇ χρῶνται κατ' ἀλλήλων καὶ ἀπανθρωπίᾳ, καὶ τὸ δὴ πάντων παραλογώτερον· ἐξὸν γὰρ ἑκάστῳ μυρίας ὅσας ἄγεσθαι γαμετάς, καὶ τοίνυν ἀγομένοις, ἀλλὰ μοιχεῖαί γε ὅμως τολμῶνται. τούτων δὴ οὖν ἁπάντων ἕκατι οἱ φιλόσοφοι ἐδυσφόρουν καὶ σφᾶς αὐτοὺς ᾐτιῶντο τῆς μεταστάσεως.

31. Ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ διαλεχθέντες ἐψεύσθησαν τῆς ἐλπίδος, ἄνδρα εὑρόντες φιλοσο-
P. 70 φεῖν μὲν φρυαττόμενον, οὐδὲν δὲ ὅ τι καὶ ἐπαΐοντα τῶν αἰπυτέρων, ὅτι τε αὐτοῖς οὐδὲ τῆς δόξης ἐκοινώνει, ἕτερα δὲ ἄττα ἐνόμιζεν ὁποῖα ἤδη μοι εἴρηται, τήν τε τῶν μίξεων κακοδαιμονίαν οὐκ ἐνεγκόντες, ὡς τάχιστα ἐπανῄεσαν. καίτοι ἔστεργέ τε αὐτοὺς ἐκεῖνος καὶ μένειν ἠξίου, οἱ δὲ ἄμεινον εἶναι σφίσιν ἡγοῦντο ἐπιβάντες μόνον τῶν Ῥωμαϊκῶν ὁρίων αὐτίκα οὕτω παρασχὸν καὶ τεθνάναι ἢ μένοντες παρὰ Πέρσαις τῶν μεγίστων γερῶν μεταλαγχάνειν. οὕτω τε ἅπαντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ. ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελη-
B μένῳ, ἀλλ' ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος εἰς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησιν. ἐπειδὴ γὰρ κατ' ἐκεῖνο τοῦ χρόνου Ῥωμαῖοί τε καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ ξυνθήκας, μέρος ὑπῆρχε τῶν κατ' αὐτὰς ἀναγεγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας ἐς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τὸ λοιπὸν

ι' ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων a. C. 554 Iustiniani 28
ɔονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγ-
ιζομένους. οὐ γὰρ ἀνῆκεν ὁ Χοσρόης μὴ οὐχὶ καὶ
ιὶ τῷδε συστῆναι καὶ κρατεῖν τὴν ἐκεχειρίαν.
ἵγεται δὲ αὐτοῖς κατὰ τὴν ἀποπορείαν θαυμάσιόν
ἡλίκον καὶ μνήμης ἄξιον ξυνενεχθῆναι. κατα-
ὶσαντες γὰρ ἐν ἀγρῷ τινι Περσικῷ ἐθεάσαντο
ῦμα νεκρὸν ἀνθρώπου νεοθανοῦς, οὕτω πως C
ʼαφον ἐρριμμένον. οἱ δὲ τὴν παρανομίαν τοῦ
ɪρβαρικοῦ νόμου κατελεήσαντες, καὶ οὐχ ὅσιον
ναι ἡγούμενοι περιιδεῖν τὸ μέρος ἀδικουμένην τὴν
ὶσιν, περιέστειλάν τε τὸ σῶμα ὡς οἷόν τε ἦν διὰ
ὶν θεραπόντων καὶ τῇ γῇ καταχώσαντες ἔθαψαν.
: δὲ ἐκάθευδον ἅπαντες ἐκείνης τῆς νυκτός, ἔδοξέ
; αὐτῶν, οὐκ οἶδα δὲ ὅστις, οὐ γὰρ ἔχω τοὔνομα
ιάσαι, ἔδοξε γοῦν ὅμως ὁρᾶν κατ' ὄναρ ἄνδρα
ιεσβύτην, γνώριμον μὲν οὐδαμῶς, οὐδ' ὅσον
ιάσαι, ἄλλως δὲ σεμνὸν καὶ αἰδοῖον καὶ φιλοσο-
αν ἀσκοῦντι ἐμφερῆ τῷ τε σχήματι τῆς στολῆς καὶ
ῦ πώγωνος τῷ λίαν ἐκκρεμεῖ καὶ ἀφειμένῳ, ἐμβοᾶν D
αὐτῷ καθάπερ ἐγκελευόμενον καὶ παραινοῦντα
ὶε τὸ ἔπος·

ἡ θάψῃς τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
ἡ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα.

υπνισθεὶς δὲ ἀθρόον ὑπὸ τοῦ δέους ἀπήγγειλε
ῖς ἄλλοις τὸν ὄνειρον. οἱ δὲ τὸ μὲν παραυτίκα
ηπόρουν ἐς ὅ τι ἄρα καὶ ἀποβαίη. ἐπεὶ δὲ ἐς τὸ
ρίορθρον ἀναστάντες ἐβάδιζον ἀνὰ τὰ πρόσω,
ρέρποντες ἐκεῖνο τὸ χωρίον, οὕτω τῆς τῶν τόπων P. 71
σεως ἀναγκαζούσης, οὗ δὴ αὐτοῖς τὰ ἐπὶ τῇ ταφῇ
ζεδίαστο, εὑρίσκουσι τὸν νεκρὸν γυμνὸν αὖθις
ερθεν κείμενον, ὡς δὴ τῆς γῆς αὐτὸν τρόπῳ τινὶ

a. C. 554 Iustiniani 28 V. 51 αὐτομάτῳ ἐς τοὐμφανὲς ἀναβαλούσης καὶ διαφυλάττειν ἀβρῶτα μὴ ἀνασχομένης. καταπλαγέντες δὲ τῷ παραλόγῳ τῆς θέας εἴχοντο τῆς πορείας, μηδὲν ὁτιοῦν τὸ λοιπὸν ἐπ' αὐτῷ δράσαντες τῶν σφίσι νενομισμένων. ἀνελογίζοντο γὰρ τὸν ὄνειρον, καὶ ὡμολόγουν ἐντεῦθεν ὅτι δὴ οἱ Πέρσαι ποινὴν ἔχουσι καὶ τιμωρίαν τῆς ἐπὶ ταῖς μητράσιν ἀκολασίας τὸ ἄταφοι μένειν καὶ ὑπὸ τῶν κυνῶν ἐνδίκως διασπα-
B ράττεσθαι.

32. Τούτων δὲ τῶν ἀνδρῶν ἐς πεῖραν ἐλθὼν ὁ Χοσρόης ὅμως τὸν Οὐράνιον πλέον ἀγάμενος ἦν καὶ ἐπόθει. αἴτιον δὲ τούτου ὅπερ, οἶμαι, φύσει τῷ γένει πρόσεστι τῷ ἀνθρωπείῳ· πεφύκαμεν γὰρ ἅπαντες τὰ μὲν καθ' αὐτοὺς καὶ παραπλήσια φίλα ἡγεῖσθαι καὶ κάλλιστα, ἀλεείνειν δὲ καὶ ἐκτρέπεσθαι τὸ ὑπερβάλλον. τοιγάρτοι καὶ ἐνταῦθά οἱ ἐπανελθόντι γράμματά τε κεχαρισμένα ἔστελλεν καὶ διδασκάλῳ ἐχρῆτο. ὁ δὲ οὐκέτι ἐφαίνετο ἀνεκτός, βρενθυόμενος τῇ τοῦ βασιλέως φιλίᾳ, ὡς καὶ ἀποκναίειν ἅπαντας ἔν τε τοῖς ξυμποσίοις καὶ ἀνὰ τοὺς
C ξυλλόγους, μηδέν τι ἕτερον ᾄδειν ἐθέλων ἢ ὅπως αὐτὸν ἐγέραιρεν ὁ Χοσρόης καὶ ὁποῖα ἄττα διελεγέσθην. καὶ πολλῷ σκαιότερος ἐπανῆκεν ἡμῖν ὁ γεννάδας ἢ πάλαι ὑπῆρχεν, ὥσπερ τοῦδε ἕνεκα μόνου τοσαύτην ὁδὸν ἀναμετρήσας, ὅμως, καίτοι φαυλότατός γε ὢν καὶ καταγέλαστος, ἀλλὰ τῷ πολλάκις ὑμνεῖν τὸν βάρβαρον καὶ δι' ἐπαίνου ποιεῖσθαι, αὐτὸς δήπου κατὰ τὸ μᾶλλον ἔπεισε τοὺς πολλοὺς ὡς εἴη σφόδρα πεπαιδευμένος. οἱ γὰρ ἀταλαιπώρως ἅπαντα προσιέμενοι καὶ ἀμφὶ ταῦτα δὴ τὰ ξένα καὶ παραλογώτερα τῶν ἀκουσμάτων δια-
D κεχηνότες ῥᾳδίως ὑπήγοντο ἐπικομπάζοντί τε αὐτῷ

εμνολογουμένῳ μήτε ὅστις ὁ ἐπαινῶν μήτε a. C. 554
ι ἐπαινοίη καὶ ἐφ' ὅτῳ διασκοποῦντες. ἐς μὲν Iustiniani 28
ɩρατευμάτων παρασκευὴν καὶ ὅπλων εὐκοσμίαν
ɔ διὰ παντὸς ἐν τοῖς πολέμοις διαπονεῖσθαι
ɩς ἄν τις θαυμάσειε τὸν Χοσρόην ὡς οὔτε ὄκνῳ
:α πώποτε οὔτε τῇ τοῦ γήρως ἀσθενείᾳ· λόγων
ιι καὶ φιλοσοφίας τοιοῦτον αὐτὸν ἡγητέον ὁποῖον
εἰκὸς ἄνδρα ξυνόμιλόν τε καὶ ἀκροατὴν Οὐρα-
ἐκείνου ἀποδεδειγμένον.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Γ.

137, 1—138, 15

a. C. 554 Iustiniani 28 1. Τὰ μὲν οὖν παρὰ Πέρσαις νόμιμα καὶ ἡ ποι-
κίλη τῆς σφῶν πολιτείας μεταβολὴ καὶ ὁπόσα χρῆν
P. 72 V. 52 ᾠήθην περὶ Χοσρόου καὶ τοῦ κατ' αὐτὸν γένου
εἰρῆσθαι, ταῦτα δὴ οὖν ἅπαντα, εἰ καὶ μακροτέ
ἐξείργασται λόγῳ καὶ οὐ λίαν ἔχεται τῶν προτέρ
ἀλλ' οὐ περιττά γε ἴσως δόξειεν ἂν οὐδὲ ἄχρησ
μᾶλλον μὲν οὖν καὶ τὸ θέλγον, ὡς ἐμὲ ἡγεῖσθ
ξὺν τῷ ὠφελίμῳ ἀπειληφότα. ἐθέλω γάρ, εἰ
ἐμοὶ εἴη, καὶ περὶ πλείστου ποιοῦμαι ταῖς Μούσα
B φασί, τὰς Χάριτας καταμιγνύναι. καίτοι ἑτέρω
με καθέλκουσιν αἱ φροντίδες, καὶ ἕπομαί γε οὐ
ἑκὼν εἶναι τῇ περιαγούσῃ ἀνάγκῃ. ἡ γάρ
ξυγγραφή, τοῦτο δὴ τὸ μέγιστόν τε καὶ σεμνότατο
ἔργον καὶ πάσης ἀσχολίας ὑπέρτερον, εἴποι ἂν
λύρα ἡ Βοιωτία, ὁδοῦ τε καὶ βίου πάρεργον γίγνετ
καὶ οὐκ ἔνεστί μοι ὡς ἥδιστα ἐμβιῶναι τοῖς ποθου
P. 73 μένοις. δέον γὰρ τοὺς πάλαι σοφοὺς σχολαίτερ
ἀναλέγεσθαι μιμήσεως ἕκατι, ἅπαντά τε τὰ ἑκαστ
χοῦ ξυμφερόμενα γνωματεύειν ἐς τὸ ἀκριβὲς
ἀναπυνθάνεσθαι, ἀνειμένον τε ἀμφὶ ταῦτα ἔχ
τὸν νοῦν καὶ ἐλεύθερον, ἀλλ' ἔγωγε ἥμενος ἐν

βασιλείῳ στοᾷ βιβλίδια πολλὰ δικῶν ἀνάπλεα καὶ a. C. 554
πραγμάτων ἐξ ἑωθινοῦ μέχρι καὶ ἐς ἥλιον καταδύντα Iustiniani 28
ἐκμελετῶ καὶ ἀνελίττω· καὶ λίαν μὲν ἄχθομαι τοῖς
ἐνοχλοῦσιν, ἀνιῶμαι δὲ αὖθις εἰ μὴ ἐνοχλοῖεν, ὡς
οὐχ οἷόν τέ μοι ὂν τῶν ἀναγκαίων ἀποχρώντως
ἐμπίπλασθαι ἄνευ πόνου καὶ δυσπαθείας. πλὴν
ἀλλ' οὐδ' ὣς ἀνήσω τοὐμὸν οὐδὲ ἀποπαύσομαι ἔστ' B
ἂν ὁ ἔρως με ἄγῃ, εἰ καί μοί τις νεμεσήσειεν ὡς
ὑπερτέρων ἐφιεμένῳ καὶ τὸ λεγόμενον ἐν πίθῳ
φιλεργοῦντι τὴν κεραμείαν. εἰ γάρ τῳ καὶ δόξειεν
εἶναι τἀμὰ νόθα γε ὡς ἀληθῶς καὶ ἀνεμιαῖα καὶ οἷα
ψυχῆς ἐς πλεῖστα μεριζομένης κυήματα, ἀλλ' ἐμαυτὸν
οὖν ἴσως ἀρέσκοιμι ἄν, καθάπερ τῶν ᾀδόντων οἱ
ἀμουσότατοι. ὡς ἂν δὲ μὴ περαιτέρω ἐκδρομὰς
ποιούμενος καὶ μεταβάσεις ἐς ἀπειροκαλίαν ἐκφέ-
ρεσθαι δόξαιμι, αὖθις δὴ ἔμοιγε τῶν Κολχικῶν
ἀγώνων καὶ τοῦ προτέρου λόγου μεταληπτέα.

2. Τότε γὰρ ὁ Χοσρόης, ἠγγελμένον αὐτῷ ὡς V. 53
τεθνηκὼς εἴη ὁ Μερμερόης, περιήλγησεν μέν, ὥσπερ C
εἰκός, τῇ ξυμφορᾷ καὶ ἠνιάθη· ὡς ἂν δὲ τὰ ἐν
Λαζικῇ στρατεύματα μὴ χηρεύοιεν ἡγεμόνος, αὐτίκα
γε στρατηγὸν τὸν Ναχοραγὰν ἀναδείκνυσιν, ἄνδρα
τῶν σφόδρα λογίμων τε καὶ ὀνομαστοτάτων. καὶ
τῷ μὲν τὰ ἐς τὴν πορείαν παρεσκεύαστο καὶ ἤδη
ἐχώρει. ἐν ᾧ δὲ ἦν ἐκεῖνος ἐν τούτοις, παράλογα
ἄττα καὶ ἄθεσμα ἐν τῇ Κολχίδι χώρᾳ ξυνέβη. ἐπειδὴ
γὰρ οἱ Ῥωμαῖοι, ὥσπερ μοι πρότερον ἐρρήθη,
ἀκλεέστατα ἐτύγχανον πεφευγότες καὶ τὰ πράγματα
τὸ μέρος καταπροέμενοι τοῖς πολεμίοις, Γουβάζης ὁ
τῶν Λαζῶν βασιλεύς, οὐκ ἀνεκτὸν ἡγούμενος τὸ
αἶσχος, δεδιὼς δὲ μᾶλλον μήτι καὶ πέρα τούτων
ἁμαρτηθείη, αὐτίκα Ἰουστινιανῷ ἐξήγγειλεν ἕκαστα, D

a. C. 554 Iustiniani 28 καταιτιώμενος τοὺς στρατηγοὺς καὶ ἅπαν τὸ ξυνενεχθὲν ἐς τὴν ἐκείνων ἀνάγων ἀβελτερίαν, καὶ πλέον ἐπεκάλει τῷ Βέσσᾳ, καὶ μετ' ἐκεῖνον Μαρτίνῳ καὶ Ῥουστίκῳ. οὗτος δὲ Ῥούστικος ἦν μὲν Ἑλληνογαλάτης τὸ γένος, παρῆν δὲ αὐτόσε οὐχ ὥστε στρατηγὸς ἢ ταξίαρχος ἢ ἄλλο τι εἶναι τῶν παρατάξεων μέρος, ταμίας δὲ μόνου τῶν βασιλέως χρημάτων, οὐ μὴν τῶν ἐκ τῆς δασμοφορίας ἐρανιζομένων, ἄλλῳ γάρ τῳ ταῦτα ἐπετέτραπτο, ἀλλὰ τῶν ὅσα ἐκ τῶν βασιλείων θησαυρῶν ἐπεπόμφει, ἐφ' ᾧ
P. 74 τοὺς ἀριστεύοντας ἐν ταῖς μάχαις τὰ προσήκοντα κομίζεσθαι γέρα. ἐντεῦθέν τε οὐκ ἄσημος ἦν ὁ ἀνήρ, ἀλλὰ καὶ λίαν τῶν δυνατωτάτων, ὡς καὶ κοινωνὸς εἶναι τῶν ἀπορρήτων, βέβαιά τε τότε δοκεῖν καὶ πιστότερα τὰ παρὰ τῶν ἀρχόντων ἀναγγελλόμενα, ἡνίκα ἂν ἐκεῖνον ἀρέσκῃ. Ἰουστινιανὸς δὲ ἤδη καὶ πρότερον χαλεπαίνων τῷ Βέσσᾳ, ὅτι δὴ Πέτρας ἑλὼν τὸ φρούριον, πρὶν ἀφικέσθαι τὸν Μερμερόην, δέον αὐτὸν τὰς ἐξ Ἰβηρίας ἐσόδους καρτερώτατα διαφράξαι, ξυλλαμβανούσης αὐτῷ τῆς φύσεως τῶν χωρίων, ταύτῃ τε ἄβατα τοῖς βαρβάροις τὰ Λαζικῆς ὅρια καταστῆσαι, ὁ δὲ τοῦτο μεθῆκεν ὑπὸ ῥᾳστώνης, ἀργυρολογῶν δὲ περιενόστει τὰς πόλεις τὰς ὑπ' αὐτῷ τεταγμένας. ἐκεῖνα δὴ οὖν ὁ
B βασιλεὺς μεμνημένος, ἐπειδὴ καὶ ταῦτα ἐπέπυστο, αὐτίκα ἐπείθετο· καὶ τοίνυν παραλύσας τὸν Βέσσαν τῆς ἀρχῆς, καὶ πρός γε ἀφελόμενος αὐτὸν τὰ οἰκεῖα ἐς Ἀβασγοὺς ἐξέπεμψεν, ἐκεῖσε μενοῦντα ἕως ἂν ἕτερόν τι ἐπ' αὐτῷ διανοηθείη. τῷ δὲ Μαρτίνῳ πολλὰ νεμεσήσας, ὅμως αὐτῷ τὰ πρωτεῖα τῆς ἡγεμονίας παρέσχετο, καὶ ἦν ἐν τοῖς στρατηγοῖς πρώτιστος μὲν αὐτός, Ἰουστῖνος δὲ δεύτερος, καὶ Βούζης

ῦ μετ' ἐκεῖνον, καὶ ἑξῆς οἱ ἄλλοι ὡς ἕκαστοι. ἀεὶ a. C. 554
ἐν οὖν καὶ πρότερον Μαρτίνῳ τε καὶ Ῥουστίκῳ Iustiniani 28
ὐκ ὀρθῶς τὰ ἐς Γουβάζην διέκειτο, ἀλλὰ δυσμένειά
ις αὐτοῖς ὑπετύφετο, βαρεῖά τε καὶ δεινοτάτη ὅσῳ
αὶ διελάνθανε, λαβοῦσα μὲν τὴν ἀρχὴν ὑπὸ φθό-
ου καὶ βασκανίας, ἀρθεῖσα δὲ κατὰ τὸ μᾶλλον τῷ C
υνεχεῖ καὶ ἀλογίστῳ τῆς ὑποψίας. ἅπαν γὰρ ὁτιοῦν
π' αὐτοῦ γιγνόμενον τῷ πεπονθότι τῆς ψυχῆς
ξετάζοντες, καὶ πάντως ἀχθόμενοι, ὑπέτρεφον τὸ
χαλεπαῖνον καὶ ἐπερρώννυον. ἐπεὶ δὲ ἐκεῖνος ὑπο-
πήσας τὸ ἔχθος, καὶ τὸ λοιπὸν ἐς τὸ ἀντιλυπεῖν
ροηγμένος, ἐκακηγόρει γε αὐτοὺς πολλάκις ὡς
νάνδρους καὶ ἀλαζόνας, καὶ οὐδὲν ὁτιοῦν μέλον
ὐτοῖς τῶν πρακτέων, ἔς τε τὰ ξυμπόσια καὶ τοὺς
υλλόγους νεμεσῶν ἀεὶ διετέλει, καὶ οὐδὲ πρεσβείας
υχὸν ἀφιγμένης ἐκ τῶν προσοίκων ἐθνῶν ἀνίει καὶ
πεστέλλετο· οἱ δὲ ταῦτά τε οὐκ ἐνεγκόντες καὶ
ρός γε τὰς ἐς βασιλέα διαβολὰς ἐν ὀργῇ ποιησά- D
ενοι, καὶ γιγνώσκοντες ὡς οὐκ ἀνήσει διελέγχων
ἴ που καὶ αὖθις σφαλεῖεν, ἐβουλεύοντο ἐκποδὼν
ὸν Γουβάζην ποιήσασθαι, ὡς ἂν τίσαιντό τε αὐτὸν
οῦ φθάσαντος πέρι καὶ τὸ λοιπὸν οὐδὲν ὅτι δει-
αίνοιεν.

3. Πολλὰ δὴ οὖν κατὰ σφᾶς κοινολογησάμενοι
αὶ πέρας ἐπὶ τῇδε στάντες τῇ γνώμῃ, ἐπειδὴ αὐτὸν
ὸ πρότερον διαχειρίσασθαι ᾤοντο χρῆναι πρὶν ἂν V. 54
αὶ τοῦ βασιλέως ἀποπειραθεῖεν, στέλλουσιν ἐς τὸ
υζάντιον Ἰωάννην τὸν Ῥουστίκου ἀδελφόν, ἀγγε-
οῦντα δῆθεν ὡς μηδίζων ὁ Γουβάζης πεφώραται. P. 75
αὶ οὖν ἐς λόγους ὁ Ἰωάννης τῷ βασιλεῖ λαθραιό-
ατα ἀφιγμένος διέβαλλε τὸν Γουβάζην ὡς ἀπο-
άντα ἤδη καὶ τοὺς Πέρσας ἐπαγόμενον καὶ οὐκ ἐς

a. C. 554 Iustiniani 28 μακρὰν τὴν χώραν ἐπ' ἐκείνους μεταθήσοντα, ι θᾶττον ὅτῳ δὴ οὖν τρόπῳ διακωλυθείη. ὁ δὲ β λεὺς καταπλαγεὶς μὲν τῷ παραλόγῳ, οὔπω δὲ τε τατα πεπιστευκώς, ἀλλ' ἐπὶ μέσης τινὸς χωρ ἐννοίας, "ἄγε" ἔφη "ὅπως τὸν ἄνδρα παρασκευά ὡς ἡμᾶς ἐνθάδε γενέσθαι". δείσας δὲ ὁ Ἰωι μήποτε, εἴ γε ἐκεῖνος ἀφίκοιτο, τὰ τῆς ἐπιβι ἀνακαλυφθείη, "εἶεν" ἔφη "ὦ δέσποτα, τί δὶ B ποιητέον ἡμῖν, εἴ γε ἑκὼν εἶναι παραγενέσθαι ἢ ἕλοιτο;" "ἀναγκαστέον αὐτὸν" ἦ δὲ ὁ βασιλεὺς ": κοον ὄντα καὶ πάσῃ μηχανῇ ἐκπεμπτέον." εὐθ οὖν ὑπολαβὼν ὁ Ἰωάννης "ἀναγκαζόμενος δὲ ἀντισταίη, τί ἂν γένοιτο ἐπὶ τούτοις;" "τί δὲ γε" ἔφη ὁ βασιλεὺς "ἢ πείσεται τὰ τῶν τυρα καὶ κάκιστα ἀπολεῖται;" "οὐδὲν οὖν ἔσται δέ δὲ ὁ Ἰωάννης "τῷ τοῦτον ἀποκτενοῦντι;" "οι οὖν" ἔφη, "εἴγε ἀντιταττόμενος καὶ ἀνηκουστο πολέμιος διαφθαρείη". τοιαῦτα δὲ τοῦ βασ ἀποκριναμένου καὶ παραπλήσια τούτων ἐν ἐπι τοῖς στρατηγοῖς σημήναντος, οὐδὲν ἔτι ὁ Ἰωι περαιτέρω ἀνεπυνθάνετο, ἀλλ' ἐπειλῆφθαι ἤδ C ἔχεσθαι τοῦ ζητουμένου ἀποχρώντως ἡγούμενος νῆκεν αὖθις ἐς Κόλχους τὸ γράμμα τοῦτο ἐπιι μενος· ὃ δὴ Μαρτῖνός τε καὶ Ῥούστικος ἀνα μενοι, καὶ μάλα εὐπρεπῶς ἐσκευωρῆσθαι τὸ ἀ εὑρόντες, εὐθὺς ἐπὶ τὴν πρᾶξιν ἐχώρουν. ξι λεσάμενοι δὴ οὖν Ἰουστῖνόν τε καὶ Βούζην κ μελετηθὲν ἀποκρύπτοντες, χρῆναι ἔφασαν τὴ χίστην ὡς Γουβάζην ἰέναι, ξὺν αὐτῷ τε βουλεύ ὅπως τοῖς ἐς Ὀνόγουριν Πέρσαις κοινῇ ἐπελ μεθα. οἱ δὲ τούτοις πεπεισμένοι ξυνεπορει εἵπετο δὲ αὐτοῖς βραχεῖά τις ἐκ τῶν ταγμ

ἀπόμοιρα· γνοὺς δὲ ὁ Γουβάζης ὡς αὐτίκα μάλα οἱ στρατηγοὶ ἐπ' αὐτὸν ἥξουσι, καὶ οὐδὲν ὁτιοῦν ἀντίξουν ὑποτοπήσας, παραγίγνεται ἀμφὶ τὸν Χωβοῦν ποταμόν. ἐνταῦθά τε αὐτοῖς ὁ δείλαιος ὑπαντιάζει ἀφύλακτός τε καὶ θαρραλέος καὶ λίαν ὀλίγους τῶν ὀπαδῶν ἐπαγόμενος, καὶ τούτους ἀνόπλους καὶ οὐκ ἐς μάχην παρεσκευασμένους. πῶς δὲ οὐκ ἂν οὕτως ἵκετο παρὰ φίλους τε καὶ ξυνήθεις καὶ φύλακας τῆς χώρας καὶ ἥκιστα πολεμίους, μᾶλλον μὲν οὖν καὶ τῶν ὀθνείων ἐχθρῶν ἀλεξητῆρας;

a.C.551 Iustiniani 28 — D

4. Οὕτω δὲ ἐπὶ τῶν ἵππων ἥμενοι ἅπαντες διελέγοντο ἀλλήλοις ὅπως τὰ παρόντα θετέον· καὶ τοίνυν ὁ Ῥούστικος "ἄγε" ἔφη· "ὦ Γουβάζη, ὅπως ἡμῖν ξυνάροιο καὶ ξυνεπιλήψῃ τοῦ πόνου κατὰ Περσῶν ἰοῦσι, τούτων δὴ τῶν ἐς Ὀνόγουριν ἱδρυμένων. αἰσχρὸν γὰρ εἰ καθεδοῦνται ἀδεῶς ἐπὶ πλεῖστον ἐν μέσῃ τῇ ἡμετέρᾳ χώρᾳ, καὶ ταῦτα ὀλίγιστοι ὄντες P. 76 καὶ οὐδαμῶς ἀξιόμαχοι". "ἀλλ' ὑμᾶς γε μόνους" ἦ δὲ ὁ Γουβάζης "ἀνάγκη, ὦ γενναῖοι, ἐν τῷδε διαγωνίσασθαι ὡς καὶ μόνους τῶν ξυνενεχθέντων αἰτιωτάτους. εἰ γὰρ μὴ ῥᾳστώνῃ πολλῇ ἀμφὶ τὰ πρακτέα εἴχεσθε καὶ ὀλιγωρίᾳ, οὔτ' ἂν τὸ φρούριον ἡμῖν τοῦτο ἐπετειχίζετο οὔτε οὕτως ἀκλεᾶ φυγὴν καὶ ἀσχήμονα ὑποστάντες ἐδραπετεύετε, οὔτε ἄλλο τι ἐγίγνετο τῶν οὐ προσηκόντων. νῦν δὴ οὖν, ὦ λῷστοι, εἴ γε δόξης ἐρασταὶ εἶναί φατε καὶ στρατηγικῷ φρονήματι γάνυσθε, τὸ παρειμένον ὑμῖν ἀνακλητέον. ὡς ἔγωγε οὔ ποτε ἕψομαι οὐδὲ ξυνδιακινδυνεύσαιμι, πρὶν ἂν ἅπαντα ἐκθεραπευθείη πρὸς ὑμῶν τὰ ἡμαρτημένα". τούτων δὲ εἰρημένων, αὐ- B τίκα, ὥσπερ τῆς ἀντιλογίας ἀποχρώσης πρὸς ἔλεγχον τοῦ μηδισμοῦ καὶ τυραννίδος μεμελετημένης, ὁ

a.C.554 Iustiniani 28 V. 55 Ἰωάννης ἐκεῖνος, ὁ τῶν δεινῶν ἀγγελιαφόρος, σπα-σάμενος ἠρέμα τὸ ἐγχειρίδιον παίει τὸν Γουβάζη ἀμφὶ τὸ στέρνον, οὔπω καιρίαν. ὁ δέ, ἐτύγχανε γὰρ ἐναλλάγδην ἔχων τὼ πόδε ὑπὲρ τὸν αὐχέν τοῦ ἵππου, ἀθρόον κατέπεσεν, οὐ τοσοῦτον, οἶμαι τῇ πληγῇ τῆς χειρὸς ὅσον τῷ ἀπροσδοκήτῳ κατα-βεβλημένος. ἰλυσπώμενον δὲ αὐτὸν ἔτι καὶ ἀναστη-σείοντα παραστὰς ὁ τοῦ Ῥουστίκου δορυφόρος προστεταγμένον αὐτῷ, καὶ ξίφει πατάξας τὴ κεφαλὴν τελεώτατα κατακτείνει. οὕτω μὲν οὖν τὸ C Γουβάζην καὶ ἐπὶ τοῖσδε ἀνῃρῆσθαί φασιν οἱ τ ἀκριβέστατα γιγνώσκειν πεπιστευμένοι. Ἰουστῖνο δὲ καὶ Βούζης ἤσχαλλον μὲν καὶ ἐδυσφόρουν κα ξυμφορὰν τὸ πραχθὲν ἐποιοῦντο, ἡσυχίαν δὲ ὅμω ἦγον, οἰόμενοι βασιλέα Ἰουστινιανὸν ταῦτα σαφῶ ἐπιστεῖλαι. ὁ δὲ τῶν Λαζῶν ὅμιλος διεταράχθη τ ἅπας καὶ δυσθυμίᾳ κατείχοντο, ὡς μήτε ἀναμίγνυσθα τὸ λοιπὸν τοῖς Ῥωμαίοις μήτε ξυνεπιστρατεύει αἱρεῖσθαι, ἀλλὰ τὸν νεκρὸν ᾗ νενόμισται καταχώ-σαντες ἔμενον οὕτως ἀπόμαχοι, ὡς δὴ δεινὰ ὑβρισμέ-νοι καὶ τὴν πάτριον δόξαν ἀποβεβληκότες.

5. Μέγιστον γὰρ ἔθνος καὶ ἀγέρωχον οἱ Λαζο D καὶ μεγίστων ἄλλων κρατοῦσι, τῷ τε παλαιῷ τῶ Κόλχων ὀνόματι βρενθυόμενοι πέρα τοῦ μετρίο μεγαλαυχοῦσι, καὶ τάχα οὐ λίαν ἀλόγως. ἐν γὰ τοῖς ἔθνεσι τοῖς ὅσα ὑφ' ἑτέραν βασιλείαν τετάχατα οὐκ οἶδα ἔγωγε ἄλλο οὕτω κλεινόν που φῦλον κ εὔδαιμον, πλούτου τε ὑπερβολῇ καὶ πλήθει κατη κόων, τόπων τε εὐκαιρίᾳ καὶ ἀφθονίᾳ τῶν ἐπιτη δείων καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ τε καὶ δεξιότητι καὶ τοίνυν οἱ μὲν πάλαι οἰκήτορες τῶν ἐκ τῆ P. 77 θαλάττης ἀγαθῶν ἀγνῶτες παντάπασιν ἐτύγχανο

τες, οἷς γε οὐδὲ ὄνομα νεὼς ἠκούετο, πρίν γε δὴ a. C. 554 ἰτοῖς τὴν Ἀργὼ ἐκείνην ἐπιφοιτῆσαι. οἱ δὲ νῦν Iustiniani 28 ιὶ ναυτίλλονταί γε οὕτω παρασχὸν καὶ τὰ τῆς P. 77 ιπορίας κομίζονται κέρδη. εἰσί τε οὐ βάρβαροι τὸ ιπὸν οὐδὲ οὕτω βιοτεύουσιν, ἀλλ' ἐς τὸ πολιτικόν καὶ ἔννομον μεταβέβληνται τῇ πρὸς Ῥωμαίους ιμιξίᾳ· ὥστε εἴ τις τοὺς χαλκόποδας ταύρους ριέλοι καὶ τὰς τῶν γηγενῶν ἀναβλαστήσεις καὶ τόσα ἄλλα τερατώδη καὶ ἄπιστα τῇ ποιήσει ἀμφὶ ῷ Αἰήτῃ κεκόμψευται, εὕροι γε ἂν τὰ παρόντα ολλῷ τῶν προτέρων ἀμείνονα. τοιοῦτοι δὴ οὖν ντες οἱ Λαζοὶ εἰκότως οὐκ ἀνεκτὰ ἡγοῦντο πεπονέναι, ὡς δὴ τὸν βασιλέα σφῶν παραλόγως ἀφῃρημένοι. B αὐτίκα δὲ οἱ Ῥωμαῖοι, Μαρτίνου ἐξοτρύνντος, ἠπείγοντο πανσυδὶ ἐπιθέσθαι τοῖς ἐς Ὀνόυριν Πέρσαις. τήνδε δὲ τὴν ἐπωνυμίαν ἐκ παλαιοῦ λαχεν τὸ χωρίον, Οὔννων ἴσως ἐν τοῖς ἄνω χρόις, τῶν δὴ Ὀνογούρων ἐπιλεγομένων, αὐτοῦ που μβαλόντων τοῖς Κόλχοις, καὶ εἶτα νενικημένων, ιὶ ὥσπερ μνημείου χάριν καὶ τροπαίου τὴν ἐπίησιν ταύτην τῶν ἐπιχωρίων ἐπενεγκόντων. νῦν ὲ οὐχ οὕτω παρὰ τοῖς πολλοῖς ὀνομάζεται, ἀλλ' τειδὴ Στεφάνου τοῦ θεσπεσίου ἱερὸν ἐνταῦθα ρυται, ὃν δὴ πρῶτον πάλαι φασὶν ὑπὲρ τῶν Χριτιανοῖς ἄριστα δοκούντων ἐθελοντὴν διακινδυνεύαντα ὑπὸ τῶν ἐναντίων καταλευσθῆναι, τῷ ἐκείνου C νόματι καλεῖσθαι τὸν τόπον νενόμισται. ἡμᾶς δὲ ὐδέν, οἶμαι, τὸ κωλῦον ἐς γνώρισμα τῇ ἀρχαιοτητι χρῆσθαι προσηγορίᾳ, ἐπεὶ καὶ ξυγγραφῇ μᾶλλον ροσήκει. ὁ δὴ οὖν τῶν Ῥωμαίων στρατὸς ἐς Ὀνόουριν ἰέναι παρεσκευάζοντο. οἱ γὰρ τοῦ μιάσματος ουληφόροι ἐς τοῦτο ἐνέκειντο, ἐλπίζοντες ῥᾳδίως

a. C. 554 Iustiniani 28 V. 55 Ἰωάννης ἐκεῖνος, ὁ τῶν δεινῶν ἀγγελιαφόρος, σπασάμενος ἠρέμα τὸ ἐγχειρίδιον παίει τὸν Γουβάζην ἀμφὶ τὸ στέρνον, οὔπω καιρίαν. ὁ δέ, ἐτύγχανεν γὰρ ἐναλλάγδην ἔχων τὼ πόδε ὑπὲρ τὸν αὐχένα τοῦ ἵππου, ἀθρόον κατέπεσεν, οὐ τοσοῦτον, οἶμαι, τῇ πληγῇ τῆς χειρὸς ὅσον τῷ ἀπροσδοκήτῳ καταβεβλημένος. ἰλυσπώμενον δὲ αὐτὸν ἔτι καὶ ἀναστησείοντα παραστὰς ὁ τοῦ Ῥουστίκου δορυφόρος, προστεταγμένον αὐτῷ, καὶ ξίφει πατάξας τὴν κεφαλὴν τελεώτατα κατακτείνει. οὕτω μὲν οὖν τὸν C Γουβάζην καὶ ἐπὶ τοῖσδε ἀνῃρῆσθαί φασιν οἱ τὰ ἀκριβέστατα γιγνώσκειν πεπιστευμένοι. Ἰουστῖνος δὲ καὶ Βούζης ἤσχαλλον μὲν καὶ ἐδυσφόρουν καὶ ξυμφορὰν τὸ πραχθὲν ἐποιοῦντο, ἡσυχίαν δὲ ὅμως ἦγον, οἰόμενοι βασιλέα Ἰουστινιανὸν ταῦτα σαφῶς ἐπιστεῖλαι. ὁ δὲ τῶν Λαζῶν ὅμιλος διεταράχθη τε ἅπας καὶ δυσθυμίᾳ κατείχοντο, ὡς μήτε ἀναμίγνυσθαι τὸ λοιπὸν τοῖς Ῥωμαίοις μήτε ξυνεπιστρατεύειν αἱρεῖσθαι, ἀλλὰ τὸν νεκρὸν ᾗ νενόμισται καταχώσαντες ἔμενον οὕτως ἀπόμαχοι, ὡς δὴ δεινὰ ὑβρισμένοι καὶ τὴν πάτριον δόξαν ἀποβεβληκότες.

5. Μέγιστον γὰρ ἔθνος καὶ ἀγέρωχον οἱ Λαζοὶ D καὶ μεγίστων ἄλλων κρατοῦσι, τῷ τε παλαιῷ τῶν Κόλχων ὀνόματι βρενθυόμενοι πέρα τοῦ μετρίου μεγαλαυχοῦσι, καὶ τάχα οὐ λίαν ἀλόγως. ἐν γὰρ τοῖς ἔθνεσι τοῖς ὅσα ὑφ᾽ ἑτέραν βασιλείαν τετάχαται, οὐκ οἶδα ἔγωγε ἄλλο οὕτω κλεινόν που φῦλον καὶ εὔδαιμον, πλούτου τε ὑπερβολῇ καὶ πλήθει κατηκόων, τόπων τε εὐκαιρίᾳ καὶ ἀφθονίᾳ τῶν ἐπιτηδείων καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ τε καὶ δεξιότητι. καὶ τοίνυν οἱ μὲν πάλαι οἰκήτορες τῶν ἐκ τῆς P. 77 θαλάττης ἀγαθῶν ἀγνῶτες παντάπασιν ἐτύγχανον

τες, οἷς γε οὐδὲ ὄνομα νεὼς ἠκούετο, πρίν γε δὴ a.C.554
'τοῖς τὴν Ἀργὼ ἐκείνην ἐπιφοιτῆσαι. οἱ δὲ νῦν Iustiniani 28
ὶ ναυτίλλονταί γε οὕτω παρασχὸν καὶ τὰ τῆς P. 77
πορίας κομίζονται κέρδη. εἰσί τε οὐ βάρβαροι τὸ
ιπὸν οὐδὲ οὕτω βιοτεύουσιν, ἀλλ' ἐς τὸ πολιτικόν
καὶ ἔννομον μεταβέβληνται τῇ πρὸς Ῥωμαίους
ιμιξίᾳ· ὥστε εἴ τις τοὺς χαλκόποδας ταύρους
ριέλοι καὶ τὰς τῶν γηγενῶν ἀναβλαστήσεις καὶ
όσα ἄλλα τερατώδη καὶ ἄπιστα τῇ ποιήσει ἀμφὶ
ὶ Αἰήτῃ κεκόμψευται, εὕροι γε ἂν τὰ παρόντα
λλῷ τῶν προτέρων ἀμείνονα. τοιοῦτοι δὴ οὖν
τες οἱ Λαζοὶ εἰκότως οὐκ ἀνεκτὰ ἡγοῦντο πεπον-
ἐναι, ὡς δὴ τὸν βασιλέα σφῶν παραλόγως ἀφῃρη- B
ένοι. αὐτίκα δὲ οἱ Ῥωμαῖοι, Μαρτίνου ἐξοτρύ-
ντος, ἠπείγοντο πανσυδὶ ἐπιθέσθαι τοῖς ἐς Ὀνό-
υριν Πέρσαις. τήνδε δὲ τὴν ἐπωνυμίαν ἐκ παλαιοῦ
ἀχεν τὸ χωρίον, Οὕννων ἴσως ἐν τοῖς ἄνω χρό-
οις, τῶν δὴ Ὀνογούρων ἐπιλεγομένων, αὐτοῦ που
μβαλόντων τοῖς Κόλχοις, καὶ εἶτα νενικημένων,
ιὶ ὥσπερ μνημείου χάριν καὶ τροπαίου τὴν ἐπί-
ἡσιν ταύτην τῶν ἐπιχωρίων ἐπενεγκόντων. νῦν
ὲ οὐχ οὕτω παρὰ τοῖς πολλοῖς ὀνομάζεται, ἀλλ'
ειδὴ Στεφάνου τοῦ θεσπεσίου ἱερὸν ἐνταῦθα
ρυται, ὃν δὴ πρῶτον πάλαι φασὶν ὑπὲρ τῶν Χρι-
ιανοῖς ἄριστα δοκούντων ἐθελοντὴν διακινδυνεύ-
ντα ὑπὸ τῶν ἐναντίων καταλευσθῆναι, τῷ ἐκείνου C
όματι καλεῖσθαι τὸν τόπον νενόμισται. ἡμᾶς δὲ
ὐδέν, οἶμαι, τὸ κωλῦον ἐς γνώρισμα τῇ ἀρχαιο-
τῃ χρῆσθαι προσηγορίᾳ, ἐπεὶ καὶ ξυγγραφῇ μᾶλλον
οσήκει. ὁ δὴ οὖν τῶν Ῥωμαίων στρατὸς ἐς Ὀνό-
υριν ἰέναι παρεσκευάζοντο. οἱ γὰρ τοῦ μιάσματος
υληφόροι ἐς τοῦτο ἐνέκειντο, ἐλπίζοντες ῥᾳδίως

a.C.554 Iustiniani 28 τοῦτο δὴ τὸ φρούριον καταστρέψασθαι· ταύτῃ τ
τὸν βασιλέα, εἰ καὶ τὰ τοῦ δόλου γνοίη, μὴ λίαν
αὐτοῖς χαλεπῆναι, ἀλλὰ τῇ τελευταίᾳ πράξει ἐν
καιρῷ γιγνομένῃ τὸ ἐπίκλημα διαλῦσαι. ἅπαντε
τοιγαροῦν οἵ τε στρατηγοὶ καὶ αἱ δυνάμεις ἐν τῷ
Ἀρχαιοπόλεως πεδίῳ στρατοπεδευσάμενοι τούς τε
D καλουμένους σπαλίωνας ἐπεσκεύαζον καὶ τὰ τῶν
V. 56 μεγάλων λίθων ἀκοντιστήρια καὶ ἄλλα ἄττα τοιάδε
ὄργανα, ὡς, εἰ δεήσοι, τειχομαχήσοντες. ἔστι δὲ ὁ
σπαλίων πλέγμα ἐκ λύγων ἐς ὀροφῆς τύπον ἐξειρ-
γασμένον, στεγανόν τε τῇ πυκνώσει καὶ ἀμφηρεφές,
τῷ ἑκατέρωθεν τὰ πλευρὰ ἐς τὰ κάτω παρατετάσθαι
καὶ περιβάλλειν τὸ ὑπερχόμενον. δέρρεις δὲ ὕπερθεν
καὶ διφθέρας ἐπιβάλλοντες πάντοθεν περικαλύπτουσι
τὸ μηχάνημα, τοῦ μᾶλλον ἔρυμα εἶναι καὶ ἀπο-
κρούειν τὰ βέλη. ἄνδρες δὲ ἔνδον ἐν τῷ ἀσφαλεῖ
ὑποκρυπτόμενοι αἴρουσί γε αὐτὸ ἀφανῶς καὶ ᾗ
βούλονται διακομίζουσιν. ἐπειδὰν δὲ προσενεχθείη
P. 78 πύργῳ τυχὸν ἢ περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι
τὴν προσκειμένην γῆν ἀνορύττοντες καὶ τὸν χοῦν
ἀνιμώμενοι, ἀπογυμνοῦσι τὰ θεμέλια, καὶ εἶτα
μοχλοῖς τε καὶ σφύραις ἐνδελεχέστατα πλήττοντες
κατασείουσιν τὴν οἰκοδομίαν. οὕτω μὲν οὖν οἱ Ῥω-
μαῖοι τὰ ἐς πολιορκίαν παρεσκευάζοντο.

6. Ἐν τούτῳ δὲ ἁλίσκεταί τις Πέρσης ἀνὴρ ὑπὸ
τῶν Ἰουστίνου δορυφόρων ἀνὰ τὸ φρούριον πορευό-
μενος. ἐπεὶ δὲ ἐς τὸ στρατόπεδον ἐκεκόμιστο,
ἠναγκάζετο μαστιγούμενος ξὺν ἀληθείᾳ ἐρεῖν τι
B τῶν οἰκείων βουλεύματα. καὶ δῆτα ἀπήγγελλεν ὡ
ὁ μὲν Ναχοραγὰν ἐς Ἰβηρίαν ἤδη ἀφῖκται, αὐτὸ
δὲ ἀπεσταλκὼς εἴη τὰ ἐνταῦθα στρατεύματα ἐπι
θαρρυνοῦντα, ὡς αὐτίκα μάλα τοῦ στρατηγο

ταρεσομένου. "οἱ δὲ ἐς Μουχειρισίν τε καὶ Κοτάϊσιν a. C. 554 Iustiniani 28
τεταγμένοι Πέρσαι οὐκ ἐς μακρὰν ἥξουσιν" ἔφη προσβοηθήσοντες τοῖς ἐς Ὀνόγουριν ὁμοφύλοις, ἐγνωσμένον αὐτοῖς ὡς ἐπ' ἐκείνους ἰέναι διανοεῖσθε." τούτων δὲ εἰρημένων, αὐτίκα οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐβουλεύοντο ἀμφὶ τῶν παρόντων. καὶ Βούζης μὲν ἔφασκεν χρῆναι πρότερον παντὶ τῷ στρατῷ ὑπαντιάζειν τοῖς ἐπερχομένοις. τούτων γάρ, ὡς τὸ εἰκός, διὰ τὴν ὀλιγότητα νικωμένων, ἑπόμενον εἶναι τοὺς ἐν τῷ φρουρίῳ τάχιστα C
προσχωρήσειν, ἐρήμους γεγενημένους· εἰ δέ γε καὶ ἀντισταῖεν, ἀλλ' οὐδενὶ πόνῳ διαφθαρῆναι. ἤρεσκε δὲ ταῦτα καὶ Οὐλίγαγγον, τὸν τοῦ Ἐρουλικοῦ στρατεύματος ἡγεμόνα. τοιγάρτοι ἐκεῖνος θαμὰ ἐπεφθέγγετο παροιμιῶδές τι, βαρβαρικὸν μὲν καὶ ἀφελές, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον· ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. ὁ δὲ Ῥούστικος, θρασύτερος γὰρ ἤδη ἐγεγόνει καὶ τυραννικώτερος, ὥσπερ, οἶμαι, τῷ ἀδικήματι φρυαττόμενος καὶ τῇ πρὸς Μαρτῖνον ὁμοφροσύνῃ, ἔσκωπτέ γε τὸν Βούζην ἀναφανδὸν καὶ ἐπεκερτόμει, ὡς οὐπώποτε τὰ δέοντα λογιζόμενον. D
κράτιστον δὲ ἔλεγεν εἶναι περιττῷ μὲν πόνῳ τὸ στράτευμα ἥκιστα ἐπιτρίβειν, ἅπαντας δὲ τῷ φρουρίῳ πελάσαντας ῥᾳδίως γε αὐτὸ καταστρέψασθαι καὶ προτερῆσαι τὴν ἔξωθεν ἐπικουρίαν· ὀλίγους δέ, εἴ γε ἄρα, στέλλειν ἐπ' ἐκείνους, τὸ τάχος τῆς ἐφόδου διακωλύσοντας. καὶ ἦν μὲν πολλῷ ἀμείνονα τὰ τῷ Βούζῃ βεβουλευμένα, καὶ τῆς φύσεως ἐχόμενα τῶν πραγμάτων, στρατηγίᾳ τε ἀρίστῃ πρέποντα καὶ τὸ δραστήριον ξὺν τῷ ἀσφαλεῖ παρεχόμενα. ἐπεὶ δέ, ὡς ἔοικεν, ἅπασα ἡ πληθὺς τοῦ ἄγους μετειλήφει

C. 554 Iusti- iani 28 τῷ ξυνεῖναί τε καὶ ἕπεσθαι τοῖς μιαιφόνοις, ἡ κακίων
τε καὶ ἀξύμφορος νενίκηκεν γνώμη ὡς ἂν παραχρῆμα
ὑπόσχοιεν δίκας. στέλλονται μὲν γὰρ ἐπ' ἐκείνους
P. 79 τοὺς ἐκ Μουχειρίσιδος ἐρχομένους ἄνδρες ἱππόται
οὐ πλείους ἢ ἑξακόσιοι. ἡγοῦντο δὲ αὐτῶν Δαβρα-
γέζας τε καὶ Οὐσίγαρδος, ἄμφω μὲν βαρβάρω τὸ
γένος, Ῥωμαϊκῶν δὲ ταγμάτων προεστηκότε. οἱ δὲ
ἄλλοι ἅπαντες ἅμα τοῖς στρατηγοῖς τῷ φρουρίῳ
προσβαλόντες εὐθὺς ἔργου εἴχοντο. τάς τε γὰρ
μηχανὰς ἐκίνουν καὶ τῶν πυλῶν ἀπεπειρῶντο καὶ
ἀμφικυκλώσαντες τῷ πλήθει τὸν περίβολον πάντοθεν
ἐσηκόντιζον. οἱ δὲ Πέρσαι, ἀλλὰ γὰρ καὶ οὗτοι ἀνὰ
τὰς ἐπάλξεις διαθέοντες ὡς οἷόν τε ἦν ἐκ τῶν παρόν-
των ἠμύνοντο, βέλη τε ἀφιέντες συχνὰ καὶ τὰ
V. 57 ἔκτοσθεν φυλαττόμενοι. ὀθόνας γάρ τινας καὶ
ἁπλοΐδας ἐκ τοῦ μετεώρου κρεμάσαντες ταύτῃ τὰς
B βολὰς ἀσθενεστέρας ἀπετέλουν, ἐν τοῖσδε πρότερον
περιειργομένας, σπουδῇ τε πολλῇ καὶ προθυμίᾳ κατ'
ἀλλήλων διεμάχοντο. καὶ εἴκασεν ἄν τις παρατάξει
μᾶλλον ἢ πολιορκίᾳ τὸ χρῆμα. τοσαύτη ἄρα ἦν
ἑκατέρωθεν ἡ ταραχὴ καὶ ἡ τῶν ἔργων ἐπίδειξις,
τῶν μὲν ὑπὲρ τῆς σφῶν σωτηρίας ἀγωνιζομένων,
ὡς οὐ μετρίου περιστάντος κινδύνου, τοῖς δὲ καὶ
μάλα αἰσχρὸν εἶναι δοκοῦν ἅπαξ ἐπελθοῦσιν ἀπρά-
κτοις ἐπανιέναι καὶ μὴ οὐχὶ παραστήσασθαι τὸ ἐπι-
τείχισμα καὶ ἀπαλλάξαι τὴν Ἀρχαιόπολιν γειτονή-
ματος πολεμίου.

7. Οἱ δὲ ἄλλοι Πέρσαι ἐς τρισχιλίους ἱππότα
μαχίμους ξυντεταγμένοι, ἄραντες ἔκ τε Κοταΐσίο
C καὶ Μουχειρίσιδος, ἐχώρουν ἐπὶ τὴν Ὀνόγουρι
πορευομένοις δὲ αὐτοῖς ἐκμελέστερον καὶ οὐδὲν ὅ τ
πολέμιον διανοουμένοις, ἐσπίπτουσιν ἀθρόον οἱ ἀμφ

τὸν Δαβραγέζαν καὶ Οὐσίγαρδον, καὶ τῷ αἰφνιδίῳ a.C. 554 Iustiniani 28 γε αὐτοὺς καταπλήξαντες εὐθὺς ἐς φυγὴν ἔτρεψαν. τούτου δὲ ἀπηγγελμένου τοῖς πολιορκοῦσι Ῥωμαίοις, αὐτίκα οἵγε θαρραλεώτερον ἐπιφερόμενοι τά τε παραπετάσματα ἐκεῖνα καθεῖλκον καὶ ξὺν ἀκοσμίᾳ πολλαχοῦ τοῦ τείχους διεσκεδάννυντο, ὡς ῥαδίως τὸ λοιπὸν τὰ τῇδε ἅπαντα διαρπασόμενοι, ἅτε δὴ τῶν ἔξωθεν δυσμενῶν πεφευγότων καὶ οὐδενὸς ἔτι ἐνοχλήσοντος. ἀλλ᾽ ἐκεῖνοι τάχιστα καταμαθόντες ὡς οὐχ ἅπας αὐτοῖς ὁ τῶν Ῥωμαίων ἐπῆλθεν στρατός, D ἧπερ τὴν ἀρχὴν ᾠήθησαν, ὀλίγοι δὲ σφόδρα καὶ ὅσοι κατάσκοποι μᾶλλον ἢ πολεμισταὶ ἀξιόχρεοι νομισθῆναι, ἐπιστρέφουσιν ἐξαπιναίως ἐπ᾽ αὐτοὺς ἀλαλάζοντες. οἱ δὲ τὴν μεταβολὴν οὐκ ἐνεγκόντες ἐς παλίωξιν μετεχώρουν καὶ πολλῇ ἔφευγον ξὺν ταχυτῆτι. εἵποντο δὲ αὐτοῖς ὡς πλησιαίτατα καὶ οἱ Πέρσαι διώκοντες, ὥστε ἀμέλει ξυνενεχθῆναι, τῶν μὲν ἑλεῖν, τῶν δὲ ἀποδιδράσκειν ἐπειγομένων, ἄμφω τούς τε φεύγοντας ἅμα καὶ τοὺς ἐς τὴν δίωξιν ἐγκειμένους παρὰ τὰ ἄλλα τῶν Ῥωμαίων στρατεύματα μιγάδην ἱκέσθαι. θορύβου δὲ πολλοῦ, ὡς τὸ εἰκός, ἀναστάντος, ἅπαν δὴ τὸ πλῆθος, περιφρο- P. 80 νήσαντες τὴν πολιορκίαν καὶ τὴν ὅσον οὔπω ἐλπισθεῖσαν ἔσεσθαι πόρθησιν τοῦ φρουρίου, καὶ δὴ ξὺν τοῖς στρατηγοῖς ἀπιόντες ᾤχοντο, οὔτε διαγνῶναι ἀναμείναντες ὅ τι ποτέ ἐστι τὸ γεγενημένον ἢ ὁπόσοι ὄντες αὐτοὶ εἶτα ὑφ᾽ ὅσων ἐλαύνονται, ἀλλ᾽ ᾖεσαν οὕτω δρομαῖοι καὶ διεταράττοντο, καθάπερ πανικοῦ δείματος ἐμπεσόντος. οἱ δὲ Πέρσαι κατὰ τὸ μᾶλλον θαρρήσαντες πλέον ἐδίωκον. ἐπεὶ καὶ οἱ ἐν τῷ φρουρίῳ, ἐθεῶντο γὰρ τὰ ποιούμενα, ἐκβάντες ἀθρόον ἀνεμίγνυντο τοῖς ἄλλοις, ὁμόσε τε τὸ λοιπὸν

.554 isti- ni 28 ἐπισπόμενοι λαμπροτέραν τὴν φυγὴν τῶν ἐναντίων εἰργάσαντο. καὶ ὅσον μὲν ἱππικὸν τῶν Ῥωμαίων,
B ῥᾳδίως ἐκεῖνοι ἔξω βελῶν ἀπεκομίσθησαν, ὠκύτατα διαθέοντες· τοῦ δὲ πεζοῦ ὁμίλου πολλοὶ ἀπεκτείνοντο πιεζόμενοι τῇ γεφύρᾳ τοῦ Καθαροῦ λεγομένου ποταμοῦ, δι' ἧς ἔδει πάντως πορεύεσθαι. ἐνταῦθα γὰρ διὰ τὴν στενότητα πολλοὶ ἅμα περαιοῦσθαι οὐχ οἷοί τε ὄντες ὠθίζοντο ἀλλήλους καὶ ἀντεώθουν. καὶ οἱ μὲν αὐτῶν ἐς τὰ τοῦ ποταμοῦ ἐξέπιπτον ῥεῖθρα, οἱ δὲ ἀνελιττόμενοι ἐς τὰ ὀπίσω καὶ ὑπονοστοῦντες ὑπὸ τὰς τῶν πολεμίων ἐγίγνοντο χεῖρας. καὶ ἦν ἁπανταχοῦ κάκιστα κακίστοις ἀνακεκραμένα. ἴσως δὲ ἂν ἅπαντες ἐν τῷ τότε πανωλεθρίᾳ διεφθάρησαν, εἰ μὴ Βούζης ὁ στρατηγός, βοώντων γε αὐτῶν καὶ ὀλοφυρομένων, ξυνεὶς τὸ μέγεθος τοῦ κινδύνου,
C ἐπιστρέψας ἅμα τῇ οἰκείᾳ δυνάμει καὶ ἀντιταξάμενος τοῖς βαρβάροις ἀνέκοψεν ἠρέμα τὴν δίωξιν, ἕως ἐκεῖνοι τὴν γέφυραν διαβάντες ἐν τῷ ἀσφαλεῖ μόλις ἐγένοντο, ᾗπερ καὶ οἱ ἄλλοι ἅπαντες. ἐν μὲν γὰρ
58 τῷ προτέρῳ στρατοπέδῳ, ὃ δὴ ἀγχοῦ Ἀρχαιοπόλεως ἐπεποίηντο, οὐδεὶς ὅστις αὐτῶν ἐπανῆκε. παραδραμόντες δὲ τοῦτο ὑπὸ τοῦ δέους, καὶ ἅπαντα ὁπόσα ἐπήγοντο ἐδώδιμά τε καὶ ἄλλως ἀναγκαῖα καὶ τίμια ἐνταῦθα καταλελοιπότες καὶ ἐν τοῖς ἐνδοτέρω χωρίοις ἀποσεσωσμένοι, οὐ μόνον εὐκλεᾶ καὶ ἀγέρωχον, μᾶλλον μὲν οὖν καὶ κερδαλέαν τὴν νίκην τοῖς πολεμίοις παρέσχοντο.

8. Οὗτοι γὰρ ἀνδρῶν ἔρημα τὰ ἐκείνῃ πεδία
D εὑρόντες διέλυσάν τε τὸ χαράκωμα καὶ ἅπαντα τὰ ἐντὸς ληισάμενοι οὕτω δὴ γεγηθότες ἐπανῆλθον ἐς τὰ οἰκεῖα καὶ τῆς προτέρας αὖθις χώρας ἐκράτουν. καίτοι πῶς οὐ λίαν ἀρίδηλον ὡς θεῖόν τι μήνιμα

ῦ ἀνοσίου αἵματος ἕκατι τὰ Ῥωμαίων ἔσφηλε πλήθη, a C. 554 Iustiniani 28
' γε ἐβουλεύσαντό τε τὰ χείριστα καὶ ὄντες οὐ
εῖον ἢ πέντε μαχίμων ἀνδρῶν μυριάδες ὑπὸ τρισχι-
ίων Περσῶν ἀγεννῶς οὕτω πεφεύγασι, πλείστους
σους ἀποβεβληκότες; πλὴν ἀλλ' αὐτοί γε οἱ τῆς
ιαιφονίας ἐργάται οὐκ ἐς μακρὰν τὴν τελεωτάτην
νέπλησαν δίκην, ὡς προϊόντες ἀφηγησόμεθα. τότε
ὲ χειμῶνος ἐπιλαβομένου ἀνὰ τὰ πολίσματά τε καὶ P. 81
ρούρια ἅπας ὁ στρατὸς ἐσκεδάννυτο, ᾗπερ ἑκάστῳ
ιαχειμάζειν ἐτέτακτο. ἐν τούτῳ δὲ τὰ τῶν Κόλχων
ράγματα ἀμφίβολά γε ἦν ἐς τὰ μάλιστα καὶ τετα-
αγμένα. τοιγάρτοι καὶ ἅπαντες οἱ ἐν τέλει διηπό-
ουν τίνες ἂν γένοιντο καὶ ὅποι τραπεῖεν. καὶ οὖν
πό τινα φάραγγα τοῦ Καυκάσου ἀγείραντες ἐν
πορρήτῳ τὸ πλεῖστον τοῦ ἔθνους, ὡς ἂν μὴ ἔκπυστα
ἴη τοῖς Ῥωμαίοις τὰ μελετώμενα, βουλὴν προυτί-
εντο πότερον ἐπὶ Πέρσας μεταχωρητέον ἢ μενετέα
τι παρὰ Ῥωμαίοις. αὐτίκα δὲ πολλοὶ ἀπερρίπτοντο
όγοι, οἱ μὲν ἐπὶ τάδε, οἱ δὲ ἐπὶ θάτερα προκαλού-
ενοι. ἦν δὲ ἄκριτος ἡ βοὴ καὶ ταραχώδης, μήτε
οῦ λέγοντος ὅστις εἴη μήτε ὅ τι ποτὲ λέγοι δια- B
ιγνωσκομένου σαφῶς. τότε δὴ οὖν οἱ δυνατώτατοι
ιγὴν μὲν τοῖς πλήθεσιν ἔχειν παρεκελεύοντο,
αριέναι δὲ τὸν βουλόμενον ἐν κόσμῳ καὶ τὸ πρα-
τέον διεξιέναι ὅστις ἂν οἷός τε ᾖ. ἀνὴρ δέ τις τῶν
ογιμωτάτων, Αἰήτης ὄνομα, ἐδυσφόρει μᾶλλόν τι
πάντων καὶ ἐχαλέπαινεν ἐπὶ τῷ ξυνενεχθέντι, ὢν
ὲν καὶ ἄλλως μισορρώμαιος καὶ τὰ Περσῶν ἀεὶ
ροσιέμενος, τότε δὲ καὶ πλέον τῷ εὐπροσώπῳ τῆς
ἰτίας ἀποχρώμενος ἐξαίρειν ἐπειρᾶτο πέρα τοῦ
ροσήκοντος τὸ γεγενημένον· καὶ οὐδὲ βουλῆς
ρασκεν δεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλ' εὐθὺς ἐς

a.C 554 Iustiniani 28 τελεώτατον μηδισμὸν καταστῆναι. τῶν δὲ ἄλλων χρῆναι λεγόντων οὕτω δή τι ἐξαπίνης τὸν βίον ὃ
C μετασκευάσασθαι, πρὶν δὴ σχολαίτερον σφίσι β λευομένοις τὸ λῷον ἀναφανείη, ὁ δὲ ἀναστὰς ὀργῇ καὶ προπηδήσας ἐς μέσους ἐδημηγόρει καθά ἐν δημοκρατικῷ βουλευτηρίῳ. ἦν γὰρ καὶ λέ δεινὸς πλέον ἢ κατὰ βαρβάρους καὶ οἷος τοῖς ι μασι ῥητορεύειν φύσεως δεξιότητι. καὶ τοίνυν ἔ τοιάδε·

9. "Εἰ μὲν ἐν λόγοις ἡμᾶς καὶ βουλαῖς ἠδίκ Ῥωμαῖοι, καλῶς ἂν καὶ ἡμεῖς τοῖς ὁμοίοις αὐτ ἀμυνόμενοι διετελοῦμεν· νῦν δὲ πῶς ἀνεκτὸν τ
D μὲν ἤδη τὰ πάντων δεινότατα δεδρακέναι, ἡμῖν τὸν τοῦ ἀντιδρᾶσαι καιρὸν ἐς τὸ μέλλειν καὶ β λεύεσθαι διαρρυῆναι; οὐ γὰρ δὴ πάρεστι λέγειν πολέμιοι μὲν οὔπω τοῖς ἔργοις ὄντες πεφώραν εἰκασθεῖεν δὲ ἂν μόνον μελετῶσι τοῦτο καὶ βου μένοις, οὐδὲ τεκμηρίων τινῶν ἐπιμνησθῆναι δε πρὸς ἔλεγχον δῆθεν ἐπιβουλῆς λανθανούσης. ἀ Γουβάζης μέν, ὁ τηλικοῦτος οὕτω πως ἀθλίως ἠ νισται ὥσπερ τις τῶν πολλῶν καὶ ἠμελημένων. οἴχ δὲ φροῦδον τὸ παλαιὸν τῶν Κόλχων ἀξίωμα κα λοιπὸν οὐ τοῦ ἄρχειν ἑτέρων ἀνθεκτέον ἡμῖν, ἀγαπητὸν εἴπερ ἐξῇ τῶν πρῴην ὑπηκόων μὴ σφ μειονεκτεῖσθαι. πῶς οὖν οὐ λίαν παράλογον, εἰ
P. 82 τῶν οἷς ταῦτα κατείργασται καθεδούμεθα δια
V. 59 ποῦντες, πότερον αὐτοὺς ἐχθίστους ἢ φίλους κρινοῦμεν; καίτοι γιγνώσκειν χρεὼν ὡς οὐδὲ μ τούτων αὐτοῖς τὸ θράσος ἐστήξει· ἀλλὰ καὶ μεθ των ἡμῶν τὸ ἐπίκλημα οἶδε οὐκ ἀφέξονται καὶ μοῦντας ἀδεέστερον λυμανοῦνται. εἰσὶ γὰρ ἀμ θαρραλεώτεροι πρὸς τοὺς ὑπείκοντας καὶ ὑπερ

νεῖν εἰθισμένοι τὸ θεραπεῦον. ἔχουσι δὲ καὶ βασιλέα a. C. 554
πανουργότατον καὶ ταῖς μεταβολαῖς τῶν ἀεὶ παρόν- Iustiniani 28
των ἡδόμενον· ὅθεν δὴ καὶ τὰ τῆς μιαιφονίας ἀθρόον
διήνυσται, τοῦ μὲν ἐμβριθῶς ἐγκελευσαμένου, τῶν
δὲ προθύμως ὑπηρετησάντων. καὶ πεπορθήμεθα
μονονουχὶ πρὸς αὐτῶν οὔτε ἀδικήματος ἄρξαντες B
οὔτε τινὸς ἔχθους ξυμβάντος, ἀλλ' ὁποίας πρότερον
εἴχοντο ξυνηθείας, τῆς αὐτῆς ἔχεσθαι δοκοῦντες,
πεπράχασιν ὅμως τὰ πάντων ἀνοσιώτατα, ὥσπερ
αὐθωρὸν ἀναπλησθέντες ὠμότητος καὶ μανίας καὶ
μίσους καὶ πάντων ὁμοῦ τῶν τοιῶνδε. ἀλλ' οὐ τὰ
Περσῶν ἤθη τοιάδε, πολλοῦ γε καὶ δεῖ. φίλους τε
γὰρ οὓς ἂν ἐξ ἀρχῆς κτήσαιντο βεβαιότατα στέργειν
πειρῶνται καὶ τὴν ὀργὴν πρὸς τὸ ἀντίπαλον διατη-
ροῦσιν ἔστ' ἂν ἀντίπαλον ᾖ. ἠβουλόμην μὲν οὖν
τῇ Κολχικῇ πολιτείᾳ τὴν παλαιὰν δύναμιν προσγε-
γένεσθαι, ὡς μηδαμῶς αὐτὴν ξένης τινὸς καὶ ἐπήλυδος
ἐπικουρίας προσδεῖσθαι, ἀλλ' εἶναι τοῖς πᾶσιν ἔς τε
πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ἐπεὶ δὲ
εἴτε χρόνου διαφορᾷ εἴτε τύχης ἐναντιώμασιν εἴτε C
καὶ ἀμφοτέροις ἐκβιασθέντες ἐς τοῦτο ἥκομεν ἀσθε-
νείας ὡς ὑφ' ἑτέροις τετάχθαι, κράτιστον οἶμαι
προσχωρεῖν τοῖς ἐμφρονεστέροις καὶ τὴν εὔνοιαν
πρὸς τὸ οἰκεῖον καὶ ἔνσπονδον ἐν τῷ ἀτρέπτῳ παρε-
χομένοις. οὕτω δὲ καὶ περιεσόμεθα τῶν ὡς ἀληθῶς
πολεμίων, τῷ μήτε παντάπασι τὸ φθάσαν ἀτιμώρη-
τον καταλειφθῆναι καὶ τοῦ μέλλοντος πέρι, ὅπως
ἐν τῷ ἀσφαλεῖ κείσεται, τὰ δέοντα παρεσκευάσθαι.
τὸ μὲν γὰρ ὕπουλον ἐκεῖνο τοῦ τρόπου καὶ βωμο-
λόχον, ὃ προβαλλόμενοι μετὰ πρᾳότητος δολερᾶς καὶ
φιλίας μεμηχανημένης τοὺς πιστεύοντας ἀδικοῦσι, B
περιττὸν ἔσται καὶ ἀνόνητον, καὶ οὐχ ἕξουσιν ὅπως

C. 554 Iusti-niani 28 αὐτῷ χρήσονται καθ' ἡμῶν διὰ τὸ ἄμικτον τῆς δυσμενείας καὶ περιφανῶς ἀποκεκριμένον. εἰ δὲ καὶ πολεμεῖν πειραθεῖεν, ἀλλὰ πρὸς Λαζοὺς ἅμα καὶ Πέρσας παραταττόμενοι, καὶ ταῦτα ἐν πολεμίᾳ γῇ, τὸ γοῦν ἐντεῦθεν οὐκ ἂν οὐδὲ τὴν ὁρμὴν ὑποσταῖεν, οἵ γε καὶ ἀρτίως παντὶ τῷ στρατῷ μοίρᾳ τινὶ τῶν Μήδων ἐλαχίστῃ προσμίξαντες καὶ πρὸς φυγὴν εὐθὺς αἰσχίστην τραπέντες μέχρι καὶ νῦν μονονουχὶ
. 83 πνευστιῶσιν ὑπὸ τοῦ δρόμου, ἅπασι μὲν ὡς εἰπεῖν τοῖς ἄλλοις ἐλαττωθέντες, μόνῳ δὲ τῷ τάχει τοὺς διώκοντας νενικηκότες.

10. "Τούτου δὲ τὸ μὲν ἐμφανὲς καὶ προχειρότατον αἴτιον ἀνανδρίαν εἴποι τις ἂν καὶ τὸ μὴ τὰ προσήκοντα βεβουλεῦσθαι. πρόσεστι γὰρ αὐτοῖς ὡς ἀληθῶς καθάπερ οἰκεῖα καὶ ξυγγενῆ καὶ τὰ τοιαῦτα ὀνείδη· πλὴν ἀλλὰ τοῖς ἐκ φύσεως μοχθηροῖς τὸ αὐθαίρετον ἀδίκημα προστεθὲν ἐδιπλασίασεν αὐτοῖς τὸ ἀτύχημα, τῆς τοῦ κρείττονος προμηθείας διὰ τὸ ἄγος ἐκπεπτωκόσι. τὸ γὰρ νικᾶν οὐχ οὕτω τοῖς ὅπλοις ὅσον τῷ εὐσεβεῖ βεβαιοῦται, καὶ οὐκ ἄν ποτε μετεῖναι φήσαιμι τῆς τοῦ ἀγαθοῦ ξυμμαχίας πονηροῖς ἀνδράσι καὶ μιαρωτάτοις. τούτοις οὖν, εἴπερ
B εὖ φρονοῦμεν, οὐ προσεκτέον, οἷς οὔτε τὰ τῆς γνώμης ἄριστα ξύγκειται καὶ τὸ σώζειν ἅπαντα πεφυκὸς νεμεσᾷ. ὡς μὲν οὖν ἡ προσχώρησις ἡμῖν εὔκολος ἔσται καὶ προσφορωτάτη καὶ τῷ κρείττονι κεχαρισμένη διὰ τῶν πραγμάτων μᾶλλον ἢ τῶν λόγων δεδήλωται. οὐ μὴν οὐδὲ ἀδικεῖν δόξοιμεν ἂν οὐδὲ ἄπιστοι καθεστάναι. πολλάκις γὰρ ἤδη καὶ πρότερον ὑπὸ Ῥωμαίων προπηλακιζόμενοι ἐμμένειν καὶ ὥς τοῖς
. 60 καθεστηκόσιν ἡγούμεθα χρῆναι, φαυλότατον εἶναι κρίνοντες τὸ μεταβάλλεσθαι ῥᾳδίως ἐπί τισιν αἰτίαις

εἰ καὶ δεινόταται εἶεν, φορηταῖς δὲ ὅμως καὶ οὐ a. C. 554 Iustiniani 28
παντάπασιν ἀνυποίστοις. τὸ δὲ καὶ μεγίστας βλάβας
καὶ ἀνήκεστα πάσχοντας φέρειν διὰ παντὸς ἀταλαι-
πώρως καὶ πρὸς μηδὲν ὁτιοῦν ἄχθεσθαι τῶν ἀνοσίων C
ἔργων καὶ ἀτοπωτάτων οὐ σωφρονούντων ἀνδρῶν
εἶναί φημι, ἀλλὰ δειλῶν καὶ ἀθλίων καὶ τὴν περὶ
τὰ κοινὰ ῥαθυμίαν τῷ τῆς ἀπραγμοσύνης ὀνόματι
σοφιζομένων. τούτου δὲ τοῦ τῆς μιαιφονίας πάθους
οὐκ ἄν, οἶμαι, παρ' ἑτέροις μεῖζόν τι γένοιτο οὔτ'
ἂν γενόμενον περιοφθείη. οὔκουν οὐδὲ ἡμῖν
περιοπτέον, αἰσχυνομένοις εἴ γε φανείημεν τοῦ
βασιλέως ἐπιλελησμένοι καὶ τοὺς ἀπεκτονότας ὑπο-
θωπεύοντες. εἰ γὰρ οἷόν τε ἦν αὐτὸν ἐνθάδε
παρεῖναι, πάντως ἂν ἐπεκάλει καὶ κατεμέμφετο τῆς
ἡμετέρας ὀλιγωρίας, ἀνθ' ὧν οἱ ἀλιτήριοι οὗτοι D
κατὰ τὴν ἐκείνου γῆν ἔτι ἐνδιαιτῶνται καὶ οὐ πολλῷ
πρότερον ἐξελήλανται. ἐπεὶ δὲ οὔτε παρέσται τὸ
λοιπὸν οὔτε φθέγξεται, ὑμεῖς ἀναλογίσασθε τὸν
ἄνδρα, καὶ ὡς ἐν μέσῳ τοῦ ξυλλόγου παρεστὼς
οὕτω ταῖς ἐννοίαις ὑμῶν ἀνατυπούσθω, ἐπιδεικνὺς
μὲν τὴν σφαγὴν καὶ τὸ στῆθος καὶ τὸν αὐχένα, ἱκε-
τεύων δὲ τὸ ὁμόφυλον νῦν γοῦν τίσασθαι τοὺς
πολεμίους. εἶτα τίς ἂν ὑμῶν ἀποδέξοιτο διαπο-
ρούντων καὶ σκοπουμένων εἰ δίκαιον πρὸς τῶν
Κόλχων οἴκτου τυχεῖν τὸν Γουβάζην; εὐλαβητέον
γὰρ ἡμῖν ὅπως μὴ τὸ οὐκ εὐπρεπὲς δῆθεν τῆς P. 84
μεταστάσεως δεδιότες μεθέξομεν τοῦ μιάσματος,
καταπροέμενοι καὶ παρέντες τὸ τιμωρεῖν τῷ τεθνη-
κότι, καὶ μᾶλλον ἐντεῦθεν ἄπιστοι δόξομεν, εἴ γε
τῷ βίῳ μόνον ἐκείνου τὴν πρὸς αὐτὸν οἰκείωσιν
ἀναμετρήσαντες ξυναποβάλωμεν αὐτῷ καὶ τὴν μνή-
μην. καλῶς μὲν γὰρ τῶν πραγμάτων χωρούντων

a. C. 554 Iustiniani 28 πολλὴ ἄνοια τὰ προεγνωσμένα μεταμανθάνειν· ἐναντίως δέ που φερομένων ἀξύμφορον, οἶμαι, τὸ μ οὐχὶ θᾶττον ἁρμόζεσθαι τῷ προσπίπτοντι. τὸ γὰ βέβαιον ἐν τῷ εὐλόγῳ κρίνεσθαι χρή, καὶ τὸ ἐγκαρ τερεῖν τοῖς παροῦσιν οὐκ ἐπαινετέον ἀεί, ἀλλ' ὅτ φρονήσει ξυμπαραγίγνεται. ἔνθα δὲ ξυμβαίνει ὧ B μὲν δεῖ μεμνῆσθαι περιορᾶν, ἔχεσθαι δὲ τῶν ο προσηκόντων, ἐνταῦθα τοῦ μεταβάντος ἐφ' ἕτερα βεβηκὼς ἐπὶ τοῖς προτέροις μεμπτότερος. ταῦτα δ οὖν οἱ Πέρσαι πυνθανόμενοι πρὸς ἡμῶν καὶ ξυνιέντες στέρξουσιν ἡμᾶς εἰκότως καὶ ὑπερμαχοῦνται χρηστοί τε ὄντες καὶ μεγαλόφρονὲς καὶ δεινοὶ τεκμαίρεσθαι τὰς γνώμας τῶν πέλας, καὶ πρός γε χώραν οὕτως ἐπικαιροτάτην καὶ δύναμιν ἀξιόχρεων, ἣ αὐτοὶ πρὸ πολλῶν χρημάτων καὶ πόνων ἔχειν τιμῶνται, ἐς ξυμμαχίαν αὐτεπάγγελτον προσλαμβάνοντες. μὴ τοίνυν ἕτερόν τι παρὰ ταῦτα διανοεῖσθε, ἀλλ' εὐθὺς ἐπιχειρεῖν τοῖς πράγμασι καὶ τὸ μελετηθὲν ἀνακαλύπτειν· οὕτω γὰρ ἂν εὔκλειαν μεγίστη C ἀροίμεθα, ὅσιά τε δρῶντες καὶ δίκαια καὶ πρὸς τ ξυνοῖσον ἐξευρημένα."

11. Τοιαῦτα τοῦ *Αἰήτου* εἰπόντος αὐτίκα ἅπα ὁ ὅμιλος ἐπῆρτο καὶ ἀνεβόα, καὶ αὐθημερὸν ἵεντ μετανίστασθαι, οὔτε τοῖς Πέρσαις προεγνωσμένο οὔτε οὕτω παρεσκευασμένοι ὡς διαλαθεῖν τυχὸν καὶ ἀμύνασθαι τοὺς Ῥωμαίους διακωλύοντας, ἀλλ μηδὲν ὁτιοῦν τῶν ἐσομένων διανοούμενοι, μήτε ὅπ αὐτοῖς ἐκβήσεται ἡ ἐπιχείρησις, ἀτάκτως ἠπείγοντ πρόσὸν μὲν τοῦτο καὶ ἄλλως τοῖς πλήθεσιν, ἥδεσθ τῷ νεωτερισμῷ καὶ ταῖς μεταβολαῖς τῶν πραγμάτω οὗτοι δὲ καὶ μᾶλλον ἠρεθισμένοι οὐ μόνον οἷα βάρβαροι, ἀλλ' ὅτι τήν τε αἰτίαν εὔλογον εἶν

ἡγοῦντο καὶ τοὺς λόγους ἐν μεγίστῳ θαύματι a.C. 554 Iustiniani 28
ἐποιοῦντο, ὃ δὴ καὶ μᾶλλον αὐτοὺς ἀνεκίνει καὶ διεσόβει. οὕτω δὲ αὐτῶν ταραττομένων, ἀνήρ τις D
Φαρτάζης ὄνομα, ὢν μὲν ἐν τοῖς μάλιστα παρὰ Κόλχοις, ἔμφρων δὲ καὶ δημοτικὸς μάλα τοὺς τρόπους, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς καὶ ἀνέκοψεν, V. 61
ἱκετεύσας μὴ πρότερον ἐπὶ τὴν πρᾶξιν χωρῆσαι, πρίν τι καὶ αὐτοῦ λέγοντος διακούσαιεν. μόλις δὲ αὐτῶν πεπεισμένων τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ καὶ κατὰ χώραν μεμενηκότων, παρελθὼν καὶ αὐτὸς ἐς P. 85
μέσον ἔλεξεν τοιάδε· "Εἰκότα μέν, ὦ ἄνδρες Κόλχοι, πεπόνθατε, λόγων δεινότητι σφόδρα κεκομψευμένων τὰς γνώμας ἐκταραχθέντες. δυσμαχώτατον γάρ τι τὸ χρῆμα καὶ οἷον ἅπαντας ἀνθρώπους ἐκπλήττειν, οὐχ ἥκιστα δὲ τοὺς οὔπω πρότερον ἐς πεῖραν αὐτῶν καταστάντας, οὐ μὴν παντάπασιν ἀνανταγώνιστον σώφρονι λογισμῷ καὶ τῆς ἐκ τῶν πραγμάτων κρίσεως ἐχομένῳ. μὴ τοίνυν ἀρεσκόντων ὑμᾶς τὰ εἰρημένα, λογιζομένους ὡς τῷ ἀθρόῳ μόνῳ καὶ ἀξυνήθει πεπίστευται, ἀλλ' οὐ τῷ πρέποντι καὶ ὠφελίμῳ. γιγνώσκετε δὲ μᾶλλον ὡς εἰ καὶ λίαν ὑμῖν κεχαρισμένα δοκεῖ, ἀλλ' ἔνεστι κρείττονα τούτων ἑλέσθαι· B
καὶ τὸ ῥᾳδίως ἀναπεισθῆναι τεκμήριον ὑμῖν ἐναργὲς τῆς ἀπάτης γιγνέσθω. τῷ γὰρ τὰ ψευδῆ ξυμβουλεύοντι μείζονός τε κόσμου καὶ ποικιλίας ῥημάτων προσδεῖ· κἀντεῦθεν πολλῷ τῷ θέλγοντι χρώμενος θᾶττον ἐφέλκεται τοὺς εὐηθεστέρους. οὕτω δὲ καὶ ὑμεῖς τοῦ Αἰήτου σοφίσματα προθέντος ἐπαγωγὰ καὶ παράλογα οὐκ ἴστε ὅπως ἐφενακίσθητε· καίτοι εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἐκεῖνό γε καὶ λίαν ἐν προδήλῳ κείμενον εὕροι τις ἂν ὡς ἄλλης τινὸς ζητήσεως ἀρχὴν ἐμβάλλειν προήχθη τῶν ἐφ' ἃ πάρεσμεν C

a. C. 554 Iustiniani 28 ἀλλοτριωτάτην. καθάπερ γὰρ ὑμῶν ἁπάντων οὐ δεινὰ καθεστάναι τὰ ξυμβεβηκότα φασκόντων καὶ τῆς ἀτόπου μιαιφονίας ἥκιστα καταμεμφομένων καὶ τοῦτο μόνον διασκοπούντων εἴπερ ὡς ἀληθῶς ἡμαρτήκασιν οἱ τὸν Γουβάζην ἀπεκτονότες, παρῆλθεν κατηγορῶν ἐκείνων καὶ πλείστους ὅσους προφερόμενος λόγους ἐπὶ τοῖς ἤδη διεγνωσμένοις. ἐγὼ δὲ καταράτους μὲν εἶναί φημι καὶ κακοδαίμονας καὶ οἵους ἥδιστα θεασαίμην ἂν ὀλέθρῳ τῷ πάντων χαλεπωτάτῳ διολλυμένους, οὐ μόνον τοὺς πλήξαντας D καὶ τὴν σφαγὴν ταῖς χερσὶν ἐπενεγκόντας, ἀλλὰ καὶ τοὺς ὅσοι παρὸν κωλύειν ἐφῆκαν, πρὸς δέ γε καὶ τοὺς ἡσθέντας καὶ τοὺς μὴ λίαν ὑπεραλγήσαντας· πλὴν ἀλλ' οὐκ, ἐπειδὴ ταῦτα γιγνώσκω, ἤδη που καὶ προσχωρεῖν τοῖς Πέρσαις ξυνοίσει· οὐδὲ τοῦτο λάβοι τις ἂν ὥσπερ ἑπόμενον τῷ λόγῳ καὶ ξυνημμένον, ὡς ἐκείνων παρανομησάντων δεήσει καὶ ἡμᾶς τὰ οἰκεῖα νόμιμα καταπροέσθαι, οὐδὲ ὡς ἀπίστοις μὲν αὐτοῖς ἄχθεσθαι, παραπλησίαν δὲ κτήσασθαι δόξαν. νῦν γὰρ οὐ τὸ φθάσαν καὶ διηνυσμένον καὶ οὐκέτι τὴν τοῦ μὴ γεγονέναι φύσιν ἐπιδεχόμενον ἀναλογίζεσθαι χρή, ὡς ἂν μὴ ξὺν τῷ θυμουμένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι βουλευόμενοι λάθοιμεν ἑαυτοὺς τὸ κρῖνον ἐπιθολοῦντες καὶ τὴν τοῦ ἀμείνονος εὕρεσιν προαφῃρημένοι, ἀλλὰ τοῦ μὲν πάθους ὑφελεῖν, ἐς ὅσον μὴ δοκεῖν ἠμεληκέναι, πρόνοιαν δὲ τῶν γοῦν λοιπῶν θέσθαι πραγμάτων, ὅπως P. 86 ἄριστα καθεστήξει. ἀνοήτων μὲν γὰρ ἀνδρῶν ἐπὶ τοῖς παρῳχημένοις κακοῖς ἀγανακτεῖν μέχρι παντὸς καὶ ἀνιᾶσθαι, σωφρόνων δὲ τὰς ἀτάκτους ῥοπὰς γιγνώσκειν τῆς τύχης, καὶ ταῖς μεταβολαῖς μὴ ταράττεσθαι, μηδὲ τῶν προτέρων ἐστερη-

ένους ξυνδιαφθεῖραι καὶ τὰς τῶν μελλόντων ἐλ- a. C. 554 Iustiniani 28
ίδας.

12. "Ἀλλ' ὁ μὲν ξύμβουλος πάλαι τὰ Μήδων ρονῶν καὶ μεθιστᾶν ἡμᾶς ἐπ' ἐκείνους γλιχόμενος ορμολύττειν καθάπερ τοὺς παῖδας πειρᾶται, ὡς δὴ οῖς Ῥωμαίοις οὐ τῶν τετολμημένων ἀποχρησόντων, λλὰ μειζόνων προσεσομένων· καὶ ὡς ὁ βασιλεὺς ὑτοῖς πανουργότατος καὶ τὰ τῆς μιαιφονίας αὐτὸς B γκελευσάμενος εἴη, σπουδασθὲν ἐκ πλείστου καὶ εβουλευμένον· καὶ ταῦτα φάσκων ἀνυμνεῖ τοὺς Ιέρσας καὶ ὑπεράγεται, πείθειν ἡμᾶς ἐντεῦθεν ιόμενος ἱκέτας εὐθὺς καὶ αὐτομόλους γενέσθαι τῶν ύσει πολεμιωτάτων. πρὸς τοῦτο γὰρ ἅπασαν ἔχει ὴν ἀναφοράν, ὠδίνων ἐξ ἀρχῆς καὶ μηχανώμενος ς ἂν αὐτῷ τὰ μεμελετημένα πρὸς ἔργον ἐκβαίη, καὶ ὺν τῷ ἀνεξετάστῳ προτρέπων τὴν τῆς βουλῆς τάξιν V. 6 υγχεῖ καὶ ταράττει καὶ πρὸς τὸ ἀνόνητον μετα- άλλει. ἡ μὲν γὰρ προτερεύειν ἔλαχεν ἀεὶ καὶ γεῖσθαι, βάσανον ἐμποιοῦσα τοῖς οὔπω προδήλοις· όλις δὲ τοῦ πρακτέου διαγνωσθέντος, τότε δὴ C αρεῖναι χρεὼν τὸ ἐθέλειν τυχεῖν καὶ ἐφίεσθαι τῶν ιρεθέντων. ὁ δὲ τὸ πέρας ἀρχὴν πεποίηται, ἑλό- ενος ἤδη πρίν τι σαφῶς διασκοπῆσαι. ποῖον τοίνυν ὸ ἐκ τῆς βουλῆς ὠφέλιμον, εἴπερ τῆς κρίσεως ἐν στέρῳ παρῇ; ὑμεῖς δέ, ὦ ἄνδρες Κόλχοι, μηδαμῶς ὰς γνώμας ἑτέρῳ τῳ κατειλημμένοι καὶ πρὸς ἕν τι έλος προδιωρισμένον ὁρῶντες οὕτως ἐπὶ τὰς ζητή- εις χωρεῖτε. πῶς γὰρ καὶ ἔνεστι τὰς τῶν πραγμά- ων μεταβάσεις βιάζεσθαι καὶ πρὸς τὸ ἀρέσκον εσκευάζειν; τοὐναντίον γὰρ τούτοις ἕπεσθαι οσμίως προσήκει καὶ τὸν λογισμὸν ἐπ' αὐτὰ με- ιέναι καθαρὸν καὶ αὐτόνομον, ὥστε κατὰ σχολὴν D

a. C. 554 Iusti- niani 28 τὰ προστυχόντα διευκρινήσαντα τοῦ συνοίσ ἐφικέσθαι. οὕτω γὰρ ἡμῖν βουλευομένοις αι φανεῖται ὡς οὔτε ἐκ τῶν Ῥωμαϊκῶν ταγμάτων μὴν τῶν στρατηγῶν ἁπάντων, πολλῷ δέ γε μά οὐδὲ τοῦ σφῶν βασιλέως τὰ τῆς ἐπιβουλῆς Γουβάζην ξυνέστη. διατεθρύληται γὰρ ἤδη αὐτοῖς καὶ ἀνωμολόγηται ὡς Ῥούστικος καὶ Ἰ τῖνος, βασκήναντες αὐτῷ τῆς εὐτυχίας ἐς ι πάγγελτον ἤλασαν κακοδαιμονίαν, τῶν ἄλλων μόνων οὐχ ὅπως ξυλλαβομένων, ἀλλὰ καὶ περιφ ἀνιαθέντων. ἄδικον οὖν οἶμαι καὶ πρός γε ἀ φορον ἑνὸς ἐξ ἁπάντων ἀνδρὸς ἢ καὶ δυοῖν ι ἡμαρτηκότοιν ἐξυβρίσαι μὲν ἐς τοὺς κοινοὺς νό οὓς στέργειν προυθέμεθα, πολιτείαν δὲ ξύμπ
P. 87 καὶ δίαιταν ξυνήθη καὶ φίλην οὕτω πως ῥᾳ ἀποσκευάσασθαι, τῶν δὲ τὴν χώραν φρουροῦ καὶ πολλοὺς ὅσους κινδύνων ἀναδεχομένων, ο ἡμῖν ἐν εὐπαθείᾳ βιοτεύειν ἐξῇ, προδότας δειχθ καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, δόξαν ὀρθὴν εὐσέβειαν καὶ τὴν τῶν ἱερῶν ἀπορρήτων σεμνι περιφρονῆσαι. πῶς γὰρ οὐ τοῦτο φανούμεθα δ τες, εἰ προσχωρήσαιμεν τοῖς τοῦ κρείττονος ι τιωτάτοις; εἰ μὲν γὰρ διακωλύσαιεν ἡμᾶς ταῖς α ἁγιστείαις ἐμμένειν καὶ μεταστήσαιεν πρὸς τὴν τέραν, τί τούτου πεισόμεθα χαλεπώτερον περι τε καὶ τεθνηκότες; τί δὲ κερδανοῦμεν ἅπασαι Περσίδα, θῶμεν γὰρ οὕτω, προσλαμβάνοντες
B δὲ ψυχὰς ἐζημιωμένοι; εἰ δέ γε καὶ μεθεῖεν συγχωρήσαιεν, ἀλλ' οὐ βεβαίαν ἡμῖν τὴν εὖ ἕξουσιν, ὕπουλον δὲ μᾶλλον καὶ σφαλεράν μόνῃ τῇ χρείᾳ ξυμμετρουμένην. ἄμικτον γὰ τοῖς ἀνθρώποις τὸ ἑτερόγνωμον, καὶ οὔτε

προσπεσόντος οὔτε τινὸς εὐεργεσίας ἡγησαμένης, a. C. 554 Iustiniani 28
μόνιμος αὐτοῖς ἐγγίγνεται πίστις, πλὴν εἰ μὴ καὶ ταῖς δόξαις ὁμοφρονοῖεν· τό τε ξυγγενὲς καὶ ἴδιον καὶ ὁμόφυλον, εἰ τοῦδε λειπόμενα τύχοιεν, ὀνόματι μόνῳ τὴν οἰκείωσιν ὑποφαίνει, τοῖς δὲ ἔργοις ἀλλοτριοῦται. ἀντὶ ποίων τοίνυν ἀγαθῶν, ὦ ἄνδρες Κόλχοι, πρὸς Πέρσας μεταβησόμεθα, εἴ γε καὶ ὣς ἔσονται δυσμενεῖς καὶ μηδὲν ἡμῖν πλέον ἔσται τοῦ C
παρόντος ἢ μόνον τὸ ῥᾷον βλάπτεσθαι πρὸς αὐτῶν, ὅσῳ τοῦ ἐμφανοῦς τὸ διαλανθάνον ἀφυλακτότερον; ἀλλὰ γάρ, εἰ δοκεῖ, ξυγκεχωρήσθω, μήτε ἄδικον εἶναι τοὐγχείρημα μήτε τοῦ πρέποντος ἐστερημένον, καὶ ὁμολογείσθω τὰ Περσῶν ἤδη βέβαια καὶ πιστὰ καὶ οἷα διὰ παντὸς ἐμμένειν ταῖς ἐσομέναις ξυνθήκαις. εἰ γὰρ καὶ ταῦτα δοθεῖεν, καὶ μηδὲν ἡμῖν τῶν ἄλλων ἐμποδὼν ἔσται, ἀλλὰ τὰ τῆς δυνάμεως οὐκ ἀρκέσει. πῶς γὰρ ἂν μεταχωρήσαιμεν ἐφ' ἑτέρους, ἐφεστηκότων ἡμῖν τῶν Ῥωμαίων, καὶ οὕτω πολλῶν καὶ ἀνδρειοτάτων καὶ ὑπὸ κρατίστοις στρα- D
τηγοῖς τεταγμένων; πῶς δὲ καὶ οἷόν τε μὴ οὐχὶ ποινὰς ὑποσχεῖν ἀνηκέστους, τῶν μὲν οὓς ἐπαμύνειν θεῶν πόρρω που κατὰ τὴν Ἰβηρίαν ἔτι μελλόντων καὶ ἀνειμένως πορευομένων, τῶν δὲ τιμωρησομένων V. 63
τήν τε χώραν ἅπασαν κατεχόντων καὶ ταῖς ἡμετέραις πόλεσιν ἐνοικούντων;

13. "Καίτοι φησὶν αὐτοὺς ὁ γενναῖος οὑτοσὶ μηδὲ τὴν ὁρμὴν ὑποστήσεσθαι ἡμῶν, παραδείγματι χρώμενος τοῖς ἔναγχος ξυμβεβηκόσι. καὶ τίς ἀγνοήσειεν ἂν ὡς τὰς τῶν πολέμων τροπὰς οὐκ ἐπὶ ῥητοῖς ἀνάγκη ξυμβαίνειν, οὐδὲ τοὺς νῦν σφαλέντας τυχὸν τῶν ὁμοίων ἀεὶ μεταλαγχάνειν ἀποτευγμάτων; τοὐ- P. 88
ναντίον γὰρ ὡς τὰ πολλὰ πρὸς τοὺς ἡττηθέντας ἡ

C. 554 usti- ani 28 νίκη μέτεισι καὶ τὸ δυσφοροῦν ἐκθεραπεύει. οὐ χ[ρὴ] τοίνυν ἡμᾶς, καθάπερ εἰθισμένον αὐτοῖς τὸ λοιπ[ὸν] ἐν ἁπάσαις ταῖς ξυμπλοκαῖς ἐλαττοῦσθαι, πέρα το[ῦ] μετρίου θαρρεῖν. εἰ μὲν γὰρ τούτῳ μόνῳ νενίκηντα[ι] τῷ μὴ τὰ δέοντα βεβουλεῦσθαι, προσεκτέον μὲν ἡμ[ῖν] τῷδε μᾶλλον τῷ παραδείγματι καὶ προφυλακτέο[ν] τοὺς ἐκ τῆς ἀβουλίας κινδύνους. οὐ μὴν πρόδηλο[ν] ἐντεῦθεν οἴεσθαι δεῖ τὸ ῥᾳδίως αὐτῶν περιέσεσθα[ι]. εἰκὸς γὰρ τοὺς πρότερον ἁμαρτήσαντας, καὶ διὰ τ[ῆς] πείρας ὁποῖα φευκτέον πεπαιδευμένους, καὶ αὐτ[ὸ] B δὴ τὸ παροφθὲν ἀνακαλέσεσθαι τῇ περὶ τῶν ἐφεξῆ[ς] ἐσομένων ἐπιμελείᾳ. εἰ δὲ τὸ θεῖον αὐτοῖς χαλεπαίν[ει] τῆς ἐπὶ τῷ κειμένῳ παρανομίας καὶ ταύτῃ κεκάκων[ν]ται, τί δεῖ καὶ ἡμᾶς παρεῖναι καὶ ξυνεπιλαμβάνε[ιν] ὥσπερ οὐκ ἐπαρκοῦντος ἐκείνου τὰ δίκαια δρᾶσα[ι] ἀλλὰ τῆς ἐξ ἡμῶν ἐπικουρίας προσδεομένου; ποί[α] δέ τις ἂν ἀσεβείας ὑπερβολὴ ἑτέροις λελείψεται, ε[ἴ] γε τόδε τὸ ἀγαθὸν ἀτιμάσαιμεν τῇ μεταστάσει, ὅπε[ρ] καὶ ἠρεμούντων ἡμῶν ὑπερμαχεῖ προσηκόντως; μηδεὶς τοίνυν ἡμῖν τὸν τεθνεῶτα παραγέτω δῆθεν τῷ λόγῳ λίαν ἀγεννῶς ὀλοφυρόμενον καὶ ἱκετεύοντα τοὺς ὁμοφύλους οἴκτου τυχεῖν τῷ τὴν σφαγὴν ἐπιδεικνύναι. ταῦτα γὰρ μοχθηραῖς μὲν ψυχαῖς καὶ C ἀνάνδροις ἴσως ἁρμόσει, οὐ μὴν προσαπτέον αὐτὰ βασιλεῖ καὶ Λαζῶν καὶ Γουβάζῃ. εἰ γὰρ ἐκεῖνος ἐνταῦθα παρῆν, πάντως ἄν, ἅτε δὴ θεοφιλὴς ἀνὴρ γεγονὼς καὶ φρενήρης, κατεμέμφετο μὲν ἡμᾶς τοιαῦτα βουλευομένους· ἐκέλευεν δὲ μὴ οὕτω καταπεπτωκέναι καὶ μαλθακίζεσθαι καὶ δραπετεύειν καθάπερ οἰκέτας, αἱρεῖσθαι, φρόνημα δὲ μᾶλλο[ν] Κολχικὸν καὶ ἐλεύθερον ἀναλαβόντας ἀντέχειν τῆ[ς] ξυμφορᾶς θαρραλέως καὶ πρὸς μηδὲν μὲν αἰσχρὸ[ν]

ἀνάξιον τῶν πατρίων ἐξάγεσθαι τρόπων, ἐμμένειν a. C. 554 Iusti- niani 28
τοῖς παροῦσι καὶ πεποιθέναι, ὡς τοῦ κρείττονος
στα τὸ ἔθνος περιοψομένου. εἶτα πῶς οὐ σφόδρα
ράλογον αὐτῷ μὲν τῷ βιαίως ἀνῃρημένῳ ταῦτα D
τὰ τὸ εἰκὸς ἔχειν δεδόχθαι, ἡμᾶς δὲ τοὺς τὴν πρὸς
εῖνον εὔνοιαν σκηπτομένους τἀναντία διανοεῖσθαι;
λλὰ δέδοικα μὴ καὶ μόνου χάριν τοῦ διαλογίζεσθαι
ῦτα καὶ διασκοπεῖν μεγίστας ὑφέξομεν δίκας. εἰ
ὲν γὰρ ἐπ' ἀδήλοις ἐλπίσι καὶ τὴν ἐφ' ἑκάτερα
ρπὴν ἐπιδεχομέναις τὰ τῆς ἀποστάσεως ἡμῖν ἐμε-
τᾶτο, ἦν μὲν ἂν καὶ τόδε δεινόν, ἐπὶ τηλικούτων
ραγμάτων κινήσει μόνης ἠρτῆσθαι τῆς τύχης, πλὴν
λλ' ἐξῆν ἴσως τοῖς ταῦτα προῃρημένοις ἀδεέστερον
ῶν ἀναισχυντῆσαι. εἰ δὲ πανταχόθεν προὖπτον
ίκνυται τὸ κακόν, πῶς οὐ μισητέον αὐτοὺς τοιαύ- P. 89
ν ἔννοιαν ἐμβαλόντας; ὡς μὲν οὖν ἀφεκτέον ἡμῖν
είνων καὶ δὴ μετρίως ἐρρήθη. φημὶ δὲ δεῖν βασι-
ῖ τῷ Ῥωμαίων τὸ ξυμβὰν ἀναγγεῖλαι, ὡς ἂν ἐν-
κώτατα μετέλθῃ τοὺς τοῦ μιάσματος αἰτιωτάτους,
ὶ εἰ μὲν ἐθελήσει, πεπαῦσθαι τὸ λοιπὸν τῆς πρὸς
ωμαίους διαφορᾶς καὶ ξυνεργεῖν αὖθις καὶ ξυστρα-
ύεσθαι καὶ τῶν προτέρων μετέχομεν ξυνδιαιτη-
άτων· εἰ δὲ ἀπώσοιτο τὴν ἀξίωσιν, τότε δὴ βου-
υτέον ἡμῖν, εἴπερ ἑτέραν ὁδὸν τραπῆναι ξυνοίσει.
ὕτω γὰρ ποιοῦντες οὔτε τοῦ τεθνηκότος ἐπιλελῆσθαι
ξοιμεν ἂν οὔτε προπετείᾳ μᾶλλον ἢ γνώμῃ τὰ
έτερα διατιθέναι." V. 64

14. Εἰρημένων δὲ καὶ τούτων, παλινῳδίαν τὸ B
γόμενον ᾖδον οἱ Κόλχοι καὶ μετεπείθοντο. μάλιστα
ρ αὐτοὺς εἰς τοῦτο ξυνήλασε τὸ δεδιέναι μήποτε
α, εἰ μετασταῖεν, καὶ τὴν ἐπὶ τῷ κρείττονι δόξαν
αιρεθεῖεν. ἐπειδὴ οὖν ἡ τοῦ Φαρτάζου γνώμη

A.C. 554 Iustiniani 28 ἐνίκα, αὐτίκα οἱ ἄριστοι καὶ εὐπατρίδαι τοῦ ἔθνους Ἰουστινιανῷ βασιλεῖ τὰ ἐπὶ Γουβάζῃ ξυνενεχθέντα διήγγειλαν, ἅπασάν τέ οἱ ἀνεκάλυψαν τὴν ἀπάτην, ὡς ἐκεῖνος μὲν οὔτε μηδίσας πώποτε οὔτε ἄλλο τι ἄχαρι κατὰ Ῥωμαίων βουλευσάμενος ἥλω, οἱ δὲ ἀμφὶ Μαρτῖνόν τε καὶ Ῥούστικον, ἐπειδὴ αὐτοῖς ὑπὸ ῥᾳστώνης θαμὰ σφαλλομένοις ἐπεκάλει τε τὰ εἰκότα
C καὶ ἐχαλέπαινεν, οἱ δὲ ταύτην τε τὴν συκοφαντίαν ἐμηχανήσαντο καὶ τὸν οὐδὲν ἡμαρτηκότα διέφθειραν. ἐδέοντο δὴ οὖν τῇ τοῦ κατοιχομένου ψυχῇ τοῦτο δὴ παρασχεῖν τὸ χαριστήριον· ἔλεγον δὲ οὐκ ἄλλο τι ἄρα ἢ ὥστε μὴ ἀτιμώρητον καταλιπεῖν τὸ ἀδίκημα, βασιλέα δὲ σφίσιν ἐπιστῆσαι οὐκ ὀθνεῖόν τινα οὐδὲ ἐπηλύτην, ἀλλὰ Τζάθην τὸν Γουβάζου νεώτερον ἀδελφὸν ἐν Βυζαντίῳ κατ' ἐκεῖνο τοῦ καιροῦ διατρίβοντα, ὡς ἂν αὐτοῖς πάλιν ὁ πάτριος διασώζοιτο νόμος καὶ ἡ ἀνέκαθεν τοῦ βασιλείου γένους ἀκραιφνὴς ὁμολογία. ὁ δέ, ὅσια γὰρ αὐτῷ ἐδόκει καὶ δίκαια, ὡς τάχιστα ἐπετέλει, καὶ οὖν Ἀθανάσιον, ἕνα τῶν
D πρῶτα λαχόντων ἐν τῇ ξυγκλήτῳ βουλῇ, ἔστειλε διασκοπήσοντά τε τὸ πραχθὲν ἐς τὸ ἀκριβὲς καὶ κατὰ τοὺς Ῥωμαίων νόμους κρινοῦντα. καὶ δὴ παραγενόμενος Ῥούστικον μὲν εὐθὺς ἐς Ἀψαροῦντα ἔστειλε τὴν πόλιν, καὶ τῷ ἐκείνῃ δεσμωτηρίῳ ἐγκαθείρξας ἐφρούρει· Ἰωάννῃ δὲ τῷ βασιλέα μὲν φενακίσαντι, αὐτουργῷ δὲ τοῦ μιάσματος γεγενημένῳ, ἀποδράντι πως ἐν τῷ τότε λαθραιότατα καὶ φυγῇ τὴν σωτηρίαν καρπώσασθαι πειρωμένῳ, ἀλλ' ἐκείνῳ γε τῷ Ἰωάννῃ ἐπὶ τοῖσδε πορευομένῳ ὑπαντιάζει οὕτω παρασχὸν ὁ Μετριανός, εἷς δέ γε ἦν οὗτος τῶν
P. 90 ἀμφὶ τὰ βασίλεια δορυφόρων, οὓς δὴ σκρίβωνας ὀνομάζουσιν· ἔσταλτο δὲ αὐτόσε τούτου δὴ ἕνεκα,

ρ' ᾧ ἐξυπηρετήσασθαί τε τῷ Ἀθανασίῳ καὶ ἅττα a. C. 554 Iustiniani 28
ν ὑπ' ἐκείνου κριθείη, τόνδε ταῦτα ἐπιτελέσαι·
υλλαβὼν δὴ οὖν ὁ Μετριανὸς τὸν Ἰωάννην παρὰ
ὸν διαιτητὴν ἀπεκόμισεν. ὁ δὲ καὶ τοῦτον ἐς Ἀψα-
ιοῦντα ἐξέπεμψεν, ἐν εἱρκτῇ τε καὶ ποδοκάκῃ με-
ιοῦντα, ἕως ὁ ἐν ποσὶν ἀγὼν διανυσθείη.

15. Ἅμα γὰρ τῷ ἦρι ἀρξαμένῳ παρῆν ὁ Ναχο- a. C. 555 Iustiniani 29
ραγὰν ἐς Μουχείρισιν, καὶ αὐτίκα τά τε στρατεύ-
ματα ἤθροιζε καὶ πλείστῃ ὅσῃ χρώμενος προθυμίᾳ
τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. τοιγάρτοι καὶ οἱ Ῥω-
μαῖοι ἀμφὶ τὴν Νῆσον ἀγειρόμενοι παρεσκευάζοντο,
καὶ τὰ τῆς κρίσεως εἰκότως ἀνεκόπτετο. τί γὰρ ἂν
αὐτοῖς ἐν τῷ τότε προυργιαίτερον κατεφάνη τῆς
περὶ τὸν πόλεμον εὐκοσμίας; ἤδη δὲ καὶ ὁ Τζάθης B
ἅμα Σωτηρίχῳ τῷ στρατηγῷ ἐκ Βυζαντίου ἀφῖκτο,
τήν τε πατρῴαν ἀρχὴν καὶ τὰ ταύτης παράσημα πρὸς
τοῦ βασιλέως Ῥωμαίων, ᾗπερ ἐκ παλαιοῦ νενόμισται,
δεδεγμένος. εἰσὶ δέ γε ταῦτα στέφανος χρυσοῦς
λιθοκόλλητος καὶ χιτώνιον ποδῆρες ὑπόχρυσον πέ-
διλά τε κοκκοβαφῆ καὶ μίτρα ὁμοίως χρυσῷ τε καὶ
λίθοις πεποικιλμένη. χλαμύδα δὲ ἁλουργῆ τοῖς βασι-
λεῦσι τῶν Λαζῶν οὐ θέμις ἀμπίσχεσθαι, λευκὴν δὲ
μόνον· οὐ μέντοι παντάπασί γε κοινὴν οὕτω καὶ
ἰθισμένην, ἀμφὶ γὰρ τὸ μεσαίτατον ἐκείνη χρυσῷ
ὑφάσματι ἑκατέρωθεν καταλάμπεται. βασιλικὸν δὲ
καὶ τὸ ἐμπερόνημα τῆς χλαμύδος λίθοις τε ἐκκρεμέσι C
καὶ τῇ ἄλλῃ κατασκευῇ. ἐπιβάντα δὴ οὖν τὸν
Τζάθην τῆς ὑπηκόου καὶ τῇ βασιλείῳ στολῇ
κεκοσμημένον, αὐτίκα οἵ τε στρατηγοὶ καὶ ἅπας ὁ
τῶν Ῥωμαίων στρατὸς δεξιούμενοί τε καὶ τὰ εἰκότα
χαίροντες προηγοῦντο, ἐξωπλισμένοι ὡς εὐπρε-
πέστατα, καὶ ἐπὶ τῶν ἵππων οἱ πλεῖστοι ὀχούμενοι.

a. C. 555 Iustiniani 29 οἱ δὲ Λαζοὶ ἐς τὸ χαῖρον μεταβαλόντες, καὶ μόλις ἀποπαυσάμενοι τῆς ἀνίας, στοιχηδόν οἱ παρωμάρτουν, σάλπιγγές τε πανταχόθεν ἐπήχουν καὶ τὰ σημεῖα ἐς ὕψος ἐπῆρτο. καὶ ἦν ἡ πομπὴ φαιδρά τε
V. 65 ἐπιεικῶς καὶ γαυροτάτη καὶ πλέον ἢ κατὰ τὴν Λαζῶν βασιλείαν ἐξωγκωμένη. Τζάθης μὲν οὖν ἐς τὴν ἀρχὴν καταστὰς ἔταττεν ἕκαστα τὸ λοιπὸν καὶ διε-
D κόσμει τὸ ὁμόφυλον, ὡς αὐτῷ τε ἦν βουλομένῳ καὶ ὁ πάτριος ὑπηγόρευεν τρόπος. Σωτήριχος δὲ ὁ στρατηγὸς αὐτίκα εἴχετο τῆς πορείας, ἐφ' ἧπερ καὶ ἔσταλτο. χρυσίον γὰρ ἐκ βασιλέως ἐκόμιζεν, ἐφ' ᾧ τοῖς προσοίκοις βαρβάροις κατὰ τὸ ξυμμαχικὸν διανέμοι, εἰθισμένον γε τοῦτο ἐκ πλείστου καὶ ἀν' ἔτος γιγνόμενον. εἵποντο δὲ αὐτῷ καὶ τῶν παίδων οἱ πρεσβύτεροι, Φιλάγριός τε καὶ Ῥωμύλος, ὡς ἂν εὐθὺς ἀφ' ἑστίας μοχθεῖν ἐν δέοντι παιδευθεῖεν, ἐπεὶ καὶ ἐς ἥβης μέτρον ἤδη ἄμφω ἐληλυθέτην καὶ ἤστην οἵω διαπονεῖσθαι. ὁ γὰρ δὴ τρίτος αὐτῷ Εὐστράτιος ἐν Βυζαντίῳ ἐλέλειπτο, νέος γε ὢν ἔτι
P. 91 κομιδῇ καὶ ἄλλως τὸ σῶμα οὐ ῥωμαλέος. ὡς δὲ ἐς τὴν τῶν καλουμένων Μισιμιανῶν χώραν ὁ Σωτήριχος ἀφίκετο, οἳ δὴ κατήκοοι μὲν τοῦ βασιλέως τῶν Κόλχων τυγχάνουσιν ὄντες καθά που καὶ οἱ Ἀψίλιοι, γλώττῃ δὲ ὅμως χρῶνται ἀποκεκριμένῃ καὶ νόμοις ἑτέροις· εἰσὶ δὲ τούτου δὴ τοῦ Ἀψιλίων γένους βορειότεροι καὶ τετραμμένοι ἠρέμα ἐς ἥλιον ἀνιόντα· ἐπειδὴ οὖν ἐς τούσδε παραγέγονεν, ἔννοιά τις αὐτοὺς ἐσῆλθεν ὡς ἄρα ἕν τι τῶν σφετέρων φρουρίων ἀμφ' αὐτὰ δὴ τὰ Λαζῶν ὅρια ἱδρυμένον, ὃ δὴ Βούχλοον ὀνομάζουσιν, τοῦτο δὲ ὅγε βούλοιτο τοῖς Ἀλανοῖς καταπροέσθαι, ὡς ἂν οἱ τῶν ἐθνῶν πρέσβεις τῶν ἀπωτέρω οἰκούντων αὐτοῦ ἀγειρόμενοι τὸν μισθὸν

:οφέροιντο, καὶ μηκέτι ἀνάγκη τις εἴη τῷ τὰ χρή- a. C. 555 Iustiniani 29
ιτα παρεχομένῳ τὰς τοῦ Καυκάσου περινοστεῖν
τωρείας καὶ αὐτὸν ἐπ' ἐκείνους ἰέναι. B

16. Ταῦτα δὴ οἱ Μισιμιανοὶ εἴτε γνόντες εἴτε ιὶ ὑποτοπήσαντες, στέλλουσιν ἄνδρας δύο τῶν ηρὰ σφίσι λογίμων, Χάδον ὄνομα καὶ Θυάνην. οἱ ἐ εὑρόντες αὐτὸν ἀγχοῦ που ἐκείνου δὴ τοῦ ἐρύκτος αὐλιζόμενον, καὶ πλέον ἐς τὴν δόκησιν ιρρωσθέντες, "ἀλλ' οὐ δίκαια δράσειν ἡμᾶς" ἔφαιν "ὦ στρατηγέ, διενοήθης· χρὴ γάρ σε μηδὲ ἄλλῳ ῳ ἐπιέναι τὰ ἡμέτερα παραιρουμένῳ, μήτι γε καὶ ὐτὸν οὕτως ἐθέλειν. εἰ δέ σε ὡς ἀληθῶς μὴ ταῦτα ρέσκει, ἄγε ὅπως ἐνθένδε ὡς τάχιστα μεταβὰς ἐν C τέρῳ ἀποδιατρίψεις χωρίῳ, καί σε τὰ ἐπιτήδεια ἥκιστα. ἐπιλείψουσιν, ἀλλ' ἡμεῖς ἅπαντα οἴσομεν. ἐνταῦθα γάρ σοι οὐ μενετέα παντάπασιν, οὐδὲ ἀνεξόμεθά σου μέλλοντος ἐς τόδε καὶ σκηπτομένου." οὕτω δὲ αὐτῶν αὐθαδιζομένων, οὐκ ἀνεκτὰ ἡγησάμενος ὁ Σωτήριχος, εἰ τοῖς τῶν Κόλχων κατηκόοις ἐξείη κατὰ Ῥωμαίων θρασύνεσθαι τῶν ὑφ' οὓς οἱ Κόλχοι τετάχαται, παρακελεύεται τοῖς ὀπαδοῖς παίειν αὐτοὺς αἷς ἐπεφέροντο βακτηρίαις. οἱ δὲ καθίκοντο αὐτῶν ἀφειδῶς, καὶ ἐς τοὐπίσω ἡμιθνῆτας ἀπέπεμψαν. τούτου δὲ γεγενημένου, Σωτήριχος μὲν ᾤετο μηδὲν ἀντίπαλον ἔσεσθαι, ἀλλ' ὥσπερ ἀμέλει οἰκέτας οἰκείους ἡμαρτηκότας διαχειρισάμενος, καὶ οὐδὲν ὁτιοῦν εὐλαβητέον αὐτῷ, ἔμενέ τε κατὰ χώραν, καὶ εἶτα νυκτὸς ἐπιγενομένης ἐκάθευδε σφόδρα ἀδεῶς D καὶ ἀφυλάκτως· οὕτω δὲ οἵ τε παῖδες καὶ οἱ δορυφόροι καὶ ὁπόσον ἄλλο αὐτῷ θητικὸν εἵπετο ἢ καὶ φῦλον ἐκμελέστερον καὶ οὗτοι ἅπαντες ἢ ὡς ἐν πολεμίων κατεσκηνημένοι ἀνεπαύοντο. ἐν τούτῳ δὲ

a. C. 555 Iustiniani 29 οἱ Μισιμιανοί, τὴν ὕβριν οὐκ ἐνεγκόντες, ἐ τῶσιν αὐτοῖς καρτερώτατα ἐξωπλισμένοι, καὶ ἐπὶ τὸ δωμάτιον χωρήσαντες, οὗ δὴ ὁ στρ ἀνεκέκλιτο, κατακτείνουσι προτέρους τοὺς ναστῆρας τῶν θεραπόντων. θορύβου δέ, εἰκὸς, καὶ πατάγου πολλοῦ κινηθόντος, ξυναί μὲν τοῦ κακοῦ αὐτῷ τε Σωτηρίχῳ καὶ τοῖς αὐτὸν ἅπασιν ἐγίγνετο· καὶ τοίνυν ὑπὸ δέ τῶν εὐνῶν ἀνεπάλλοντο, ἔτι δὲ τῷ ὕπνῳ κι
P. 92 ροῦντες καὶ παρειμένοι ἀμύνεσθαι αὐτοῖς οὔτ παρῆν. οἱ μὲν γὰρ ταῖς σισύραις τὼ πόδε περιε μενοι εἴργοντο τῆς πορείας, οἱ δὲ καὶ ἤδη ξίφη ὁρμήσαντες καὶ σχεδιάζειν πειρώμενοι τὰ μια ἀλύοντες ἦσαν οἰκτρότατα οἷα ἐν σκότ ἀπορίᾳ, ἔς τε τοὺς τοίχους περιρρηγνύμενοι κ ἐτύγχανον κείμενα τὰ ὅπλα ἐπιλελησμένοι· ἔ
V. 66 αὐτῶν καὶ τῷ ἤδη ξυνειλῆφθαι ἀπειρηκότες, ὅτι ἐμηχανῶντο, ἐβόων τε μόνον ἄλλος ἄλλ ὠλοφύροντο, οὐκ ἔχοντες ὅ τι καὶ δράσαιεν. δὲ αὐτῶν καταπεπληγμένων, ἐπεισπεσόντες ο βαροι αὐτόν τε Σωτήριχον κατακτείνουσι κα
B παῖδας καὶ πρός γε ξύμπαντας τοὺς ἄλλους, εἰ μή τις ἔκ τινος τυχὸν ἁλάμενος ὀρσοθύρας ἑτέρῳ ὁποίῳ δὴ τρόπῳ λαθὼν διεσώθη. ται δράσαντες οἱ ἀλιτήριοι ἐσκύλευσαν τοὺς κειμ τά τε ἄλλα ὁπόσα ἐπήγοντο κτήματα, καὶ π τὸ βασιλέως ἀφελόμενοι χρυσίον, καθάπερ πολεμίους ὡς ἀληθῶς, ἀλλ' οὐχὶ φίλους ἡγεμόνας ἀπεκτονότες.

17. Ἐπεὶ δὲ αὐτοῖς τὰ τῆς μιαιφονίας ἀπειρ καὶ τὸ ἀνοιδαῖνον τέως τῆς γνώμης καὶ ὀργιζ τῷ ἀποπλησθῆναι τὴν ἐπιθυμίαν, ὑποχαλᾶν

ὶ περιστέλλεσθαι, τότε δὴ μόνον τὸ πραχθὲν ἐφ' a. C. 555
ῷ διασκοποῦντες ἀνελογίζοντο καὶ ξυνίεσαν Iustiniani 29
οῖος αὐτοῖς ἀνέρριπτο κύβος, ὅτι τε οὐκ ἐς μακρὰν
ουσιν οἱ Ῥωμαῖοι τιμωρησείοντες, καὶ ὅτι αὐτοὺς
εῖνοι οὐχ ὑποστήσονται. τοιγάρτοι ἀναφανδὸν ἀπο-
άντες, προσεχώρουν τοῖς Πέρσαις, καὶ ἐπρεσβεύ- C
το, ὑποδέχεσθαί τε σφᾶς αἰτούμενοι καὶ ὡς δὴ
τηκόοις τὸ λοιπὸν ἐπαρήγειν. τούτων δὲ ἁπάντων
ῖς τῶν Ῥωμαίων στρατηγοῖς ἀπηγγελμένων, ἐχα-
αινον μὲν οἵγε καὶ ἐδυσφόρουν, τίσασθαι δὲ
ραυτίκα τοὺς Μισιμιανοὺς οὐ μάλα ἠδύναντο,
εξόμενοι τῇ περὶ τοῦ μείζονος ἀσχολίᾳ. ἤδη γὰρ
Ναχοραγὰν ἑξήκοντά που χιλιάδας μαχίμων ἀνδρῶν
αγόμενος ἐπὶ τὴν Νῆσον ἐφοίτα, ἵνα Μαρτῖνός τε
ὶ Ἰουστῖνος ὁ Γερμανοῦ καὶ τὰ ἀμφ' αὐτοὺς
ρατεύματα ἐτύγχανον ξυνειλεγμένα· οἱ δὲ ἐκ τῶν
ύννων μισθοφόροι, τῶν δὴ Σαβείρων ὀνομαζομέ-
ν, παρῆσαν γὰρ τοῖς Ῥωμαίοις ὁπλιτῶν ἀπόμοιρα D
πολλῷ ἐλάττους τῶν δισχιλίων· ἡγοῦντο δὲ αὐτῶν
λμάχ τε καὶ Κούτιλζις καὶ Ἴλιγερ, ἄνδρες τῶν
ρὰ σφίσιν ὀνομαστοτάτων, οὗτοι δὴ οὖν οἱ
ίβειροι ἀμφὶ τὴν Ἀρχαιόπολιν καὶ τὰ ἐκείνῃ πεδία,
οστεταγμένον αὐτοῖς ὑπὸ Μαρτίνου, ἐστρατοπε-
ύσαντο, ἐφ' ᾧ τοὺς πολεμίους, ἐνθένδε γὰρ ἤμελ-
ν διαβήσεσθαι, ὡς ἂν οἷοί τε εἶεν πημαίνοντες
λεπωτέραν αὐτοῖς καὶ σφαλερωτέραν ποιήσοιντο
ν πορείαν. ὁ δὲ Ναχοραγάν, ἐπειδὴ ἐς τοῦτο
άχθαι τοὺς Σαβείρους ἐπέπυστο, ἀπολεξάμενος
τῶν ξυστρατευομένων Διλιμνιτῶν ἄνδρας ἐς
σχιλίους, αὐτίκα ἐπ' αὐτοὺς ἔστειλε, παρακε-
σάμενος, ἦν γὰρ ἀλαζὼν καὶ ὑψηγόρος, ἄρδην
αντας διαφθεῖραι, ὡς ἂν μή οἱ ἰόντι ἐπὶ τὸν P. 93

a. C. 555 πόλεμον ὄπισθεν ἐκεῖνοι ἐφεδρεύοντες ὑπολειφθεῖεν
Iustiniani 29 οἱ δὲ Διλιμνῖται, μέγιστον ἔθνος τῶν ἐντὸς Τίγρητο
ποταμοῦ τῇ Περσίδι χώρᾳ προσοικούντων, μαχιμώ
τατοί τέ εἰσιν ἐν τοῖς μάλιστα καὶ οὐ λίαν τοξότα
καὶ ἐκηβόλοι, ὥσπερ ἀμέλει οἱ πλεῖστοι τῶν Μήδω
ξυστούς τε γὰρ ἐπιφέρονται καὶ σαρίσας καὶ ξίφο
ἐκκρεμὲς ἀπὸ τοῦ ὤμου, μαχαιρίδα τέ τινα ἐλαχίστη
τῷ λαιῷ βραχίονι ἀναδούμενοι ἀσπίδας καὶ πέλτα
προβέβληνται· φαίης τε ἂν αὐτοὺς οὔτε παντάπασ
ψιλοὺς οὔτε μὲν οὖν ὁπλίτας καὶ ἀγχεμάχους
πόρρωθέν τε γὰρ οὕτω τυχὸν ἀκοντίζουσι καὶ ἐ
B χειρὸς αὖ διαμάχονται, ἀγαθοὶ δὲ καὶ ξυρράξα
φάλαγγι πολεμίᾳ καὶ ὠθισμῷ χρώμενοι τὰς πυκνώ
σεις διαρρηγνύναι, ἔς τε τὸ μετατάξασθαι εὐπετεῖ
καὶ ἁρμοσθῆναι τῷ προσπεσόντι. αὐτοὶ δὲ καὶ ἐ
τὰ προσάντη γεώλοφα ῥᾳδίως ἀναθέοντες προκατα
λαμβάνουσι τὰ ὑπερδέξια τῶν χωρίων, τρεπόμενο
τε ὠκύτατα διαφεύγουσι καὶ ἐπιόντες ἑτέροις ἐμμε
λέστατα ἐς τὴν δίωξιν ἔγκεινται, καὶ σχεδόν τ
ἅπασαν ἰδέαν πολέμου μετιόντες καὶ ἐξησκημένο
μέγιστα σίνονται τοὺς ἀντιπάλους· ὡς δὲ ἐπὶ πλεῖ
στον ξυμπολεμεῖν τοῖς Πέρσαις εἰώθασιν, οὐ μὴ
ἠναγκασμένοι, ὥσπερ κατήκοοι. αὐτόνομοί τε γά
εἰσι καὶ ἐλεύθεροι καὶ ἄγεσθαι ὑπό του πρὸς βία
οὐ πεφυκότες.

C 18. Τούτων δὴ οὖν τῶν Διλιμνιτῶν ὁ ἀπ
V. 67 δασμὸς νυκτὸς ἐπελθούσης κατὰ τῶν Σαβείρω
ἐχώρουν, ἄμεινον εἶναι δοκοῦν ἔτι καθευδουσ
αὐτοῖς ἐπιστῆναι, οὕτω τε ἅπαντας εὐκολώτερ
κατακτεῖναι· καί, οἶμαι, οὐκ ἂν διήμαρτον τῆς ἐ
πίδος, εἰ μή τις αὐτοὺς ἔσφηλε τύχη. ἰόντες γ
δήπου ἐς τοῦτο, ἀνήρ τις αὐτοῖς Κόλχος ἐν σκό

ἐρημίᾳ ὧδέ πως ξυνενεχθὲν ὑπαντιάζει· καὶ a. C. 555 Iustiniani 29
ἀσμενέστατα ξυλλαβόντες ἀναγκάζουσι τῆς ἐπὶ
ς Σαβείρους ἡγεῖσθαι πορείας. ὁ δὲ προθυμό-
α ὑποστὰς τὸ ἐπίταγμα, καὶ ἤδη προπορευόμενος,
ιδὴ νάπης τινὰς λασίας ἐκύρησεν, ὑφιζάνει τε
μα καὶ ὑποδύεται· οὕτω τε διαδρὰς τοὺς ἑπομέ-
ς καὶ προτερήσας, ἧκε δρομαῖος παρὰ τοὺς D
ννους· εὑρὼν δὲ ἅπαντας ἀνειμένως οὑτωσὶ
ιπαυομένους καὶ ὑπορρέγχοντας "ὦ δείλαιοι" ἔφη
τίκα μάλα ἀπολεῖσθε", τορόν τι ἐμβοήσας καὶ
ρύσιον. οὕτω τε αὐτοὺς μόλις ἀνακαλεσάμενος
ἐγρήγορσιν ἀγγέλλει τοὺς πολεμίους ὅσον οὔπω
ιεσομένους. οἱ δὲ ξὺν θορύβῳ διαναστάντες καὶ
ὅπλα περιβαλόμενοι, ἐκτὸς τοῦ χαρακώματος
χώρουν καὶ ὑπεκρύπτοντο διχῇ μεμερισμένοι·
έλιπον δὲ τήν τε ἔσοδον ἀφύλακτον καὶ οὕτω
ὰ χώραν ἑστῶτας τοὺς ἐκ τῶν ξύλων τε καὶ
στρίδων ἐσκευασμένους οἰκίσκους. οἱ δὲ Διλι-
ται πλείστας μὲν ὅσας ἀτραποὺς τῇ ἀπειρίᾳ τῶν
ων ἀναμετρήσαντες, πλὴν ἀλλ' ἔτι ὑπὸ τὸ κνέφας
ὸ τῶν Οὔννων στρατόπεδον ἀφιγμένοι ἐσβάλλουσι P. 94
ραλέοι ἐπὶ κακῷ τῷ σφετέρῳ, καὶ εἴσω ἅπαντες
νονται. πάταγος δὲ οὐκ ἦν οὐδὲ βοή, ὡς ἂν μὴ
νοι ξυναίσθοιντο δῆθεν καὶ ἀφυπνισθεῖεν, ἀλλ'
μαῖοι τὰ δόρατα ἔς τε τὰς εὐνὰς καὶ τὰς καλύβας
ντιζον, ὡς τοὺς καθεύδοντας ἀναιροῦντες. ἤδη
οντο ἅπαν αὐτοῖς ἠνύσθαι τὸ ἔργον, ἀλλὰ τότε
Σάβειροι ἐκ τῆς ἐνέδρας ἑκατέρωθεν ὁρμηθέντες
ίπτουσιν αὐτοῖς ἐξαπιναίως καὶ ἐπιφέρονται. οἱ
ἀθρόον τῷ ἀπροσδοκήτῳ καταπλαγέντες καὶ ἐς
αντία τῶν ἐλπισθέντων περιηγμένοι διηπόρουν
ἐταράττοντο· οὔτε γὰρ φεύγειν αὐτοὺς ῥᾷστα B

a. C. 555 Iustiniani 29 ἐνῆν ἐν ἐλαχίστῳ χωρίῳ ξυνειλημμένους οὔτε μὴ ἐς τὸ ἀκριβὲς τοὺς δυσμενεῖς διαγιγνώσκειν, οἷα ἐν νυκτομαχίᾳ καὶ φόβῳ. τοιγάρτοι χύδην ὑπὸ τῶν Σαβείρων ἐκτείνοντο, οὐδ' ὅσον ἐς πεῖραν ἐλθεῖν ἀμυνόμενοι· καὶ ὀκτακόσιοι μὲν ἄνδρες ἔνδον ἐν τῷ στρατοπέδῳ διεφθάρησαν, οἱ δὲ ἄλλοι μόλις ὑπεκβάντες ἡλῶντο σποράδην, οὐκ ἐπιστάμενοι ὅποι χωρήσαιεν· ἤδη τε πόρρω που πεφευγέναι δοκοῦντες αὖθις ἐς ταὐτὸν ἀνεκυκλοῦντο, καὶ περιέπταιον τοῖς πολεμίοις. καὶ ταῦτα μὲν τῆς νυκτὸς ἁπάσης ἐγίγνετο· ἤδη δὲ τοῦ ὄρθρου χαραττομένου καὶ ἡμέρας ἐπιφανείσης, αὐτίκα τῶν Διλιμνιτῶν οἱ σωζόμενοι ἐπε-
C γίγνωσκον τὰς πορείας, καὶ ἰθὺ τῶν Περσικῶν ἔθεον στρατευμάτων, ἐγκειμένων σφίσι καὶ ὧς τῶν Σαβείρων. Βάβας δὲ ὁ στρατηγός, ὃς δὴ τῶν ἐν τῇ Κολχίδι χώρᾳ ἱδρυμένων ἐκ πλείστου Ῥωμαίων ἡγεῖτο, ἀλλ' οὗτός γε ὁ Βάβας, ἐτύγχανε γὰρ ἐν τῷ τότε κατὰ τὴν Ἀρχαιόπολιν διανυκτερεύσας, τῷ μὲν θορύβῳ καὶ τῇ βοῇ πάντοθεν περιεβομβεῖτο. ἕως δὲ σκότος ἦν καὶ ἀδηλία τῶν ποιουμένων, ὁ δὲ ἀφασίᾳ εἴχετο πολλῇ καὶ ἔνδον ἠρέμει· ὡς δὲ τοῦ ἡλίου ἐπαυγάσαντος τὰς ἀκρωρείας κατεῖδε τὸ ἀτρεκὲς τῶν τελουμένων, καὶ τοὺς Διλιμνίτας ὑπὸ τῶν Σαβείρων ἐλαυνομένους, τότε δὲ καὶ αὐτὸς ἐκδραμὼν τοῦ ἄστεος ἅμα τῷ ξυμπαρόντι ὁμίλῳ οὐκ ἐλάχιστόν τι αὐτῶν διεχρήσατο μέρος, ὡς μόλις ἐκ το-
D σούτων οὔπω χιλίους τοὺς ξύμπαντας παρὰ τὸν Ναχοραγὰν ἀφικέσθαι.

19. Ὁ δέ, ἐπειδὴ τῇσδε διήμαρτεν τῆς πείρας, αὐτίκα ᾤχετο ἐπὶ τὴν Νῆσον, καὶ ἀγχοῦ που τῶν Ῥωμαίων στρατοπεδευσάμενος προυκαλεῖτο ἐς λόγους ἀφικέσθαι οἱ τὸν Μαρτῖνον. καὶ παραγενομένῳ "σὺ

' ἔφη "ὦ στρατηγέ, ἐς τοσοῦτον ἀγχινούστατός γε a.C.555 Iustiniani 29
' καὶ φρενήρης καὶ τῶν παρὰ Ῥωμαίοις δυνατω-
των εἶτα οὐκ ἐθελήσεις ἀποπαῦσαι πόνου τε καὶ
σμενείας ἄμφω τὼ βασιλέε, ἀλλὰ μεθῆκας αὐτοὺς
τω δὴ ἐπὶ πλεῖστον τὴν ἀλλήλων ἐπιλυμαινομένους. V. 68
δὴ οὖν νῦν γοῦν ἐστί σοι βουλομένῳ διαλλαγὰς
ιήσασθαι καὶ ξυνθήκας, ἄγε ὅπως αὐτὸς μὲν ἐς
ιαπεξοῦντα τὴν πόλιν τὴν Ποντικὴν ἅμα τῷ
ρατῷ μεταβήσῃ, ἐνθάδε δὲ ἡμεῖς μενοῦμεν οἱ
ἔρσαι· οὕτω τε τὰ τῆς ἐκεχειρίας σχολαίτερον δια-
ξόμεθα, πιστοῖς χρώμενοι ἀγγελιαφόροις. εἰ γὰρ P. 95
ἑκὼν εἶναι ἀπάξεις ἐνθένδε τὸ στράτευμα, ἴσθι,
γενναῖε, ὡς πρὸς ἀνάγκης ἀπελαθήσῃ. βεβαιότατα
ρ ἐγὼ τὴν νίκην ἔχω, καὶ περιβέβλημαι οὐ χαλε-
ὡτερον ἢ τόδε τὸ κτῆμα." καὶ ἅμα λέγων τὸν
κτύλιον ἐπεδείκνυεν ὃν ἐπεφέρετο. πρὸς ταῦτα
ὑπολαβὼν "ἀλλ' ἔμοιγε" ὁ Μαρτῖνος "εὐκτὸν μὲν
εἰρήνη δοκεῖ καὶ τιμιώτατον, καὶ ξυλλήψομαί σοι
οσαγομένῳ τε αὐτὴν καὶ καθιστῶντι· ἄμεινον δέ,
ιαι, ταῦτα δράσοιμεν ἄν, εἴ γε σὺ μὲν ὡς τάχιστα
Ἰβηρίαν μεταχωρήσεις, ἐγὼ δὲ ἐλεύσομαι ἐς
ουχείρισιν, οὕτω τε τὰ ἐν ποσὶ διασκεψόμεθα. τῆς
νίκης πέρι σοὶ μὲν ἐξέστω μεγαλαυχεῖν τῷ λόγῳ
ὶ αὐθαδίζεσθαι καὶ τῶν ἀγοραίων αὐτὴν καὶ αὐ-
ιρέτων ἡγεῖσθαι κτημάτων· ἐγὼ δὲ καὶ τοῦτό B
μι τῇ τοῦ κρείττονος ταλαντεύεσθαι γνώμῃ, καὶ
παρὰ τοὺς μέγα βρενθυομένους ἰέναι, ἀλλ' ἐφ'
ς ἂν ὁ πάντων προαγωγὸς ἐπινεύσῃ." οὕτω δὲ
ῦ Μαρτίνου ἀνδρειότατά τε καὶ μάλα ὁσίως ἀπο-
ιναμένου καὶ τῇ τοῦ βαρβάρου νεμεσήσαντος
αξονείᾳ, οὐδὲν δὲ ὁτιοῦν προελθὸν εἰρηναῖον,
κρίθησαν ἀπ' ἀλλήλων. καὶ ὁ μὲν ἐς τὸ στρατό-

a. C. 555 Iustiniani 29 πεδον ἐπανῆκε, Μαρτῖνος δὲ ἐς τὴν Νῆσον. τῷ δὲ Ναχοραγὰν μενετέα μὲν αὐτοῦ ἥκιστα ἐδόκει, ἐς δὲ τὸν Φᾶσιν τὴν πόλιν ἰέναι διενοεῖτο, ἐκεῖσέ τε μᾶλλον ἐκκαλέσασθαι τοὺς Ῥωμαίους. ἐπιμαχώτατον γὰρ τὸ ἐκείνῃ ἔρυμα εἶναι ἐπέπυστο, ἅτε δὴ ξύλοις ἅπαν C ἐσκευασμένον, καὶ τὰ ἐχόμενα πεδία εὐόμαλά τε καὶ ἀγαθὰ ἐνστρατοπεδεύσασθαι. ἤδη δὲ ἡ πόλις ὁ Φᾶσις ἅπασιν, οἶμαι, διαδηλότατον ὡς ἐκ τοῦ ποταμοῦ εἴληφε τὴν ἐπωνυμίαν, πλησιαίτατα ὑπορρέοντος καὶ ἀμφ' αὐτὴν. ἐς τὸν Εὔξεινον πόντον ἀπερευγομένου. πρὸς γὰρ τῷ αἰγιαλῷ καὶ ταῖς ἐκβολαῖς τὸ πόλισμα ἵδρυται· ἀφέστηκε δὲ τῆς Νήσου ἓξ μάλιστα παρασάγγαις ἐπὶ δυόμενον ἥλιον.

20. Εὐθὺς δὴ οὖν ὁ Ναχοραγὰν πόρρω τῶν νυκτῶν τὰς ἀκάτους ὁπόσας ἐφ' ἁμαξῶν ἐπήγετο, D ἐς τὸν ποταμὸν ἐμβαλὼν καὶ ξυζεύξας, λανθάνει τοὺς Ῥωμαίους γέφυράν τέ τινα ἐξ αὐτομάτου πηξάμενος καὶ ἅπαν τὸ πλῆθος ἐς τὸ ἀντιπέραν διαβιβάσας· ἐβούλετο γὰρ ἐς τὰ πρὸς νότον ἄνεμον ἱκέσθαι τοῦ ἄστεος, ὅθεν δὴ αὐτῷ οὐδαμῶς ἤμελλε τὰ ῥεῖθρα τοῦ ποταμοῦ κώλυμα ἔσεσθαι τῷ περιβόλῳ πελάζοντι· ὑπὸ γὰρ τὸ ἀρκτῷον καταρρεῖ καὶ παρατείνεται μέρος. καὶ ὁ μὲν ἀμφὶ τὸ περίορθρον ἄρας ἐκ τῆς ὄχθης εἴχετο τῆς πορείας, καὶ τὴν Νῆσον ὡς ἀπωτάτω παραμειψάμενος ἀνὰ τὰ πρόσω ἐχώρει· μόλις δὲ περὶ πλήθουσαν ἀγορὰν οἱ Ῥωμαῖοι τὴν διάβασιν ἐγνωκότες διεταράχθησάν τε καὶ περὶ πλείστου ἐποιοῦντο προτερῆσαι ἀνὰ τὸ ἄστυ τοὺς P. 96 πολεμίους. τοιγάρτοι τάς τε τριήρεις καὶ ὅσοι τριακόντοροι παρώρμουν πληρώσαντες ὀξύτατα τοῦ ποταμοῦ τῷ ῥῷ κατεφέροντο. ἀλλὰ φθάσας ὁ Ναχοραγὰν ἀμφὶ τὸ μεσαίτατον τῆς τε Νήσου καὶ τοῦ ἄστεος

ἐτύγχανεν ἤδη ξύλοις τε καὶ λέμβοις τὸ εὖρος ἅπαν a. C. 555 Iusti-
τῆς δίνης διαφραξάμενος τό τε τῶν ἐλεφάντων στῖφος niani 29
ὄπισθεν ἐπιστήσας, ἐς ὅσον οἷόν τε ἦν αὐτοῖς τῆς
βάσεως ἐφικνεῖσθαι. ὁ δὲ τῶν Ῥωμαίων στόλος
ταῦτα πόρρωθεν ἰδόντες αὐτίκα πρύμναν ἐκρούοντο,
πολλῇ τε χρώμενοι ἐς τοὔμπαλιν τῇ εἰρεσίᾳ χαλε-
πώτατα πρὸς τὸ ἀντίπορόν τε καὶ ῥοῶδες τῆς φορᾶς
ἀνταναγόμενοι ἀπεχώρησαν. δύο δὲ ὅμως ναῦς κενὰς
τῶν ἐμπλεόντων εἷλον οἱ Πέρσαι. οἱ γὰρ δὴ ἄνδρες
ξυλλαμβάνεσθαι μέλλοντες τοῖς ὕδασι παραδοῦναι B
σφᾶς αὐτοὺς εὐτολμότατα κατεθάρρησαν, ἀντὶ τοῦ
μείζονος, οἶμαι, καὶ προύπτου κινδύνου τὸ ἔλαττον
δεινὸν δήπου ἑλόμενοι, καὶ μετέσχον μᾶλλον τῶν ἐκ
τῆς τύχης ἀδήλων. τοιγάρτοι ἀφήλαντό τε κουφό-
τατα καὶ ὑποβρύχιοι ἐπὶ πλεῖστον διανηξάμενοι μόλις
ὡς τοὺς οἰκείους ἀπεκομίσθησαν. τότε δὴ οὖν οἱ V. 69
Ῥωμαῖοι Βούζην μὲν τὸν στρατηγὸν ἀνὰ τὴν Νῆσον
κατέλιπον, ἅμα τῷ οἰκείῳ στρατεύματι ἐπιμελησό-
μενόν τε τῶν τῇδε ἁπάντων καὶ ἀλεξήσοντα ἐς ὅ τι
δεήσοι· οἱ δὲ ἄλλοι ἅπαντες κατὰ τὸ ἐγκάρσιον τὸν
ποταμὸν περαιωθέντες, καὶ διὰ τῆς χέρσου ἑτέραν
τινὰ ὁδὸν πορευόμενοι, ὡς μὴ κατ' αὐτὰ τοῖς πολε-
μίοις χωρῆσαι, παραγίγνονται ἐς ἐκεῖνο δὴ τὸ τοῦ
Φάσιδος ἐπώνυμον ἄστυ καὶ εἴσω τῶν πυλῶν παρελ- C
θόντες διεδάσαντο στοιχηδὸν οἱ στρατηγοὶ τὴν
φρουρὰν τοῦ περιβόλου. οὐ γὰρ ᾤοντο ἀξιόμαχοι
ἔσεσθαι, εἴ γε ξυστάδην παρατάξασθαι πειραθεῖεν.
πρῶτος μὲν οὖν Ἰουστῖνος ὁ Γερμανοῦ καὶ ὁ ἀμφ'
αὐτὸν ὅμιλος ἐν τῷ ἀκροτάτῳ μέρει τῷ πρὸς θά-
λατταν νεύοντι ἐτετάχατο· βραχὺ δέ τι ἀπωτέρω
Μαρτῖνος εἱστήκει ὁ στρατηγὸς καὶ αἱ Μαρτίνου
δυνάμεις· ἀμφὶ δὲ τὸ μεσαίτατον Ἀγγίλας μὲν ἔχων

184, 22–186, 6 N.

a. C. 555 Iustiniani 29 Μαυρουσίους πελταστὰς καὶ λογχοφόρους, Θεόδωρος δὲ Τζάνους ὁπλίτας καὶ Φιλομάθιος Ἰσαύρους σφενδονήτας καὶ ἀκοντοβόλους. ὀλίγῳ δὲ τούτων ἀποκεκριμένοι ἐφρούρουν Λογγιβάρδων ἀπόμοιρα καὶ D Ἐρούλων, Γίβρος δὲ ἡγεῖτο ἀμφοτέρων. τὸ δὲ λοιπὸν ἅπαν τοῦ τείχους καὶ πρὸς ἀπηλιώτην ἄνεμον ἀπολῆγον τοῖς ἑῴοις τάγμασιν ἐπεφρόντιστο, ὑπὸ Βαλεριανῷ στρατηγῷ τεταγμένοις. οὕτω μὲν ὑπὲρ τοῦ ἐρύματος ἡ τῶν Ῥωμαίων στρατιὰ ἐν κόσμῳ παρίστατο.

21. Ἦν δὲ αὐτοῖς καὶ χαράκωμα ἔμπροσθεν καρτερώτατα ἐξειργασμένον, ὡς ἀντέχειν εὐθὺς πρὸς τὰς ἐπιδρομὰς καὶ ὂν ἐν προβόλου μοίρᾳ ἐγκεῖσθαι τῷ τείχει. ἐδεδίεσαν γὰρ εἰκότως ἐπ' αὐτῷ, ἅτε δὴ ξύλοις τε πεποιημένῳ καὶ ἄλλως ὑπὸ χρόνου πολλαχοῦ διερρυηκότι. τῷ τοι ἄρα αὐτοῖς καὶ τάφρος μάλα εὐρεῖα πέριξ ὠρώρυκτο, ὕδατός τε ἤδη μεστὴ καὶ ὑπερχειλὴς ἐγεγόνει, ὡς καὶ τοὺς σκόλοπας, οὓς P. 97 δὴ ἐτύγχανον ξυνεχέστατα ἐμπεπηγότες, διαλανθάνειν καὶ ἀποκεκρύφθαι· τῆς γὰρ λίμνης, ἣν δὴ σμικρὰν θάλατταν ὀνομάζουσι, τὴν ἐς τὸν Εὔξεινον Πόντον ἐκροὴν φερομένην ἐνταῦθα μετοχετεύσαντες, ῥᾳδίως ἅπαντα ἔπλησαν. νῆες δὲ φορτίδες μεγάλαι πρὸς τῇ κυματωγῇ τῆς θαλάττης καὶ ταῖς ἐκβολαῖς τοῦ Φάσιδος πλησιαίτατα τοῦ ἄστεος ἐφορμοῦσαι, μετεώρους εἶχον τὰς ἀκάτους, καὶ ἀμφ' αὐτὰ δήπου τὰ καρχήσια τῶν ἱστῶν ἀνιμηθείσας καὶ βεβαιότατα αἰωρουμένας, ὡς πολλῷ ἀνέχειν τὰ μεγέθη τῶν πύργων καὶ ὑπερφέρεσθαι. ἄνω δὲ στρατιῶται εἱστήκεσαν καὶ τῶν ναυτῶν ὁπόσοι εὐθαρσεῖς τε καὶ πολεμικώτεροι, τόξα τε φέροντες καὶ σφενδόνας, μηχανάς τε ἐκηβόλους ἐνθέμενοι, πρὸς τὸ ἐνεργὸν B ἤδη ἐσκευασμένας. ἀλλὰ γὰρ καὶ ἕτεραι νῆες διὰ

τοῦ ποταμοῦ ἀνηγμέναι ἐπὶ θάτερον μέρος παρῆσαν, a. C. 555 Iustiniani 29
ᾧ δὴ Βαλεριανὸς ἐφειστήκει, ὁμοιότατα ταῖς ἄλλαις ἐξηρτυμέναι, ὡς ἂν ἑκατέρωθεν οἱ πολέμιοι ἐξ ὑπερδεξίων βαλλόμενοι ἀποκρούοιντο, πελασείοντες τῇ πολιορκίᾳ. ὥστε δὲ ταύτας δὴ τὰς ἐν τῷ ποταμῷ ναῦς ἥκιστα ὑπό του πημαίνεσθαι, Δαβραγέζας, Ἄντης ἀνήρ, ταξίαρχος, καὶ Οὖννός τις λοχαγός, Ἐλμίγγειρος ὄνομα, οὗτοι δή, προστεταγμένον αὐτοῖς ὑπὸ τῶν στρατηγῶν, ἐπακτρίδας τινὰς ἀμφιπρύμνους δέκα πληρώσαντες ἐκ τῆς ἀεὶ σφίσιν ἑπομένης δυνάμεως, καὶ ὡς ἀνωτέρω προελθόντες, ἐφρούρουν ξὺν ἀγρυπνίᾳ καὶ περιεσκόπουν τὰς διαβάσεις ἐπιπλέοντες, νῦν μὲν ἐν μέσῳ τῷ ῥείθρῳ, νῦν δὲ ἐφ' ἑκα- C
τέρας τῆς ὄχθης. καὶ τοίνυν ἐνταῦθα ξυνηνέχθη τερπνόν τι λίαν καὶ ἐπίχαρι ὡς ἐν πολέμῳ καὶ παρατάξει. ἔτι γὰρ τούτων ἀνωτέρω αἱ Ῥωμαϊκαὶ δύο τριακόντοροι, ἃς δὴ ἔμπροσθεν ἔφην κενὰς ἀνδρῶν ὑπὸ τῶν Περσῶν ἀφῃρῆσθαι, αὗται δὴ οὖν αἱ τριακόντοροι, ὁπλίτας ἔχουσαι Μήδους, ἐν τῷ ποταμῷ ἐναυλοχοῦντο καλῳδίοις τῆς γῆς ἐξημμέναι. νυκτὸς δὲ ἐπιλαβομένης, οἱ μὲν ἄνδρες ἐν αὐταῖς ἐκάθευδον ἅπαντες· τοῦ δὲ ῥοῦ πολλοῦ φερομένου, καὶ τὰ πείσματα διατείνοντος τῇ ὑπαγωγῇ τῶν ὁλκάδων, ἀπορρήγνυται τῇ μιᾷ ὁ δεσμὸς ἐξαπιναίως· ἄφετον V. 70
δὲ αὐτὴν ἡ δίνη λαβοῦσα καὶ ἐλευθέραν, καὶ οὔτε εἰρεσίας ἀντιπραττούσης οὔτε πηδαλίου ἑτέρωθι που D
ἰθύνοντος, κατάγει πως αὐτὴν ὀξύτατα ἐς τὸ πρόσω καὶ παραδίδωσι τοῖς ἀμφὶ Δαβραγέζαν Ῥωμαίοις. οἱ δὲ ἐσιδόντες ἄσμενοι εἷλον τὸ θήραμα, καὶ ἐπετέρποντο τῇ ξυντυχίᾳ, ὅτι γε αὐτοῖς ἥδε ἡ ναῦς κενὴ πρότερον ἀπελθοῦσα τότε δὴ ἀνδρῶν ἀνάπλεως ἐπανῆκεν.

a.C. 555 Iustiniani 29 22. Ἐν τούτῳ δὲ ὁ Ναχοραγὰν ἁπάσῃ τῇ δυνάμει ἄρας ἐκ τοῦ στρατοπέδου τῷ ἄστει ἐπέλαξεν, ἀκροβολίσασθαί τε βουλόμενος καὶ ἀπόπειραν ποιήσασθαι τῶν Ῥωμαίων, εἰ ἐπεξίασι, ταύτῃ τε σαφέστατα διαγνῶναι ὅπως αὐτῷ ἐς ἑτέραν τὰ ἐς τὸν πόλεμον παρασκευαστέα. τότε δὴ οὖν οἱ Πέρσαι, ἐπειδὴ ἐς τόξου βολὴν ἀφίκοντο, αὐτίκα οἵγε, τοῦτο δὴ αὐτοῖς τὸ εἰθισμένον, θαμὰ ἐπετοξάζοντο· πολλοί τε τῶν Ῥωμαίων τρωθέντες, οἱ μὲν ἔτι ἀμυνόμενοι
P. 98 ἀντεῖχον, ἔνιοι δὲ καὶ ἀπόμαχοι ἐγίγνοντο. Ἀγγίλας δὲ καὶ Φιλομάθιος καὶ τῶν ἀμφ' αὐτοὺς ταγμάτων ἄνδρες ἐς διακοσίους, καὶ ταῦτα προειρημένον ἁπάσῃ τῇ στρατιᾷ ὑπὸ Μαρτίνου μένειν ἕκαστον κατὰ χώραν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀπομάχεσθαι, οἱ δὲ τὴν καθ' αὐτοὺς πύλην ἀναπετάσαντες κατὰ τῶν πολεμίων ἐχώρουν. Θεόδωρος δὲ ὁ τοῦ Τζανικοῦ ὁμίλου ταξίαρχος ἐπεῖχε μὲν τὰ πρῶτα καὶ ἀνέκοπτε τὴν ὁρμήν, νεμεσῶν αὐτοῖς τῆς προπετείας. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, ὑπήγετο καὶ αὐτὸς τοῖς πλείστοις
B οὔτι ἑκὼν καὶ ἐνεδίδου, εὐθύς τε ἐφοίτα ξὺν ἐκείνοις, ὡς μὴ ἀποδειλιᾶν νομισθείη, τούτου τε ἕνεκα μόνου τὸ εὐπρεπὲς τῆς εὐβουλίας προΐσχεσθαι· ἤρεσκε μὲν γὰρ αὐτὸν οὐδαμῶς τὰ ποιούμενα, μετέχειν δὲ ὅμως αὐτῶν ἠνείχετο ἐς ὅ τι ἄρα καὶ τελευτήσαιεν. καὶ μικροῦ γε ἅπαντες αὐτοῦ διεφθάρησαν, εἰ μή τις αὐτοὺς ἑτέρα διέσωσε γνώμη ἐκ τοῦ κρείττονος ἐπιρρωσθεῖσα. οἱ γὰρ Λιλιμνῖται ἀνὰ τὸν ἐκείνῃ χῶρον ἑστῶτες καὶ ἐς φάλαγγα ξυντεταγμένοι, ἐπειδὴ κατεῖδον τὴν ὀλιγότητα τῶν ἐπερχομένων, ὑπεδέχοντό γε αὐτοὺς ἡσυχῇ καὶ ἀνέμενον. ὡς δὲ ἀγχοῦ ἤδη παρῆσαν, αὐτίκα οἵγε ἠρέμα τὰ κέρα ἐπι-
C κολπώσαντες περιβάλλουσιν ἅπαντας καὶ ἐς ἀκριβῆ

κύκλωσιν ἐγκατεῖργον. οἱ δὲ Ῥωμαῖοι πάντοθεν a.C.55
περιειλημμένοι, δρᾶσαι μὲν τὸ λοιπὸν οὐδὲν ὁτιοῦν Iustiniani 2
τοὺς πολεμίους διενοοῦντο· εὐκτὸν δέ τι αὐτοῖς ἐδόκει καὶ ἄπιστον, εἴ γε ἀμωσγέπως διαδράσαιεν. καὶ δὴ ἐπὶ σφᾶς ἑλιχθέντες καὶ τὰ δόρατα προβεβλημένοι ἐμπίπτουσιν ἀθρόον τῶν πολεμίων τοῖς πρὸς τῷ ἄστει ἐφεστηκόσιν. οἱ δὲ ἐσιδόντες αὐτοὺς πολλῇ τῇ ῥύμῃ φερομένους καὶ οἷον ταῖς ἐλπίσιν ἀπειρηκότας, διέστησαν εὐθὺς ἀπ' ἀλλήλων καὶ ἀπεκρίθησαν, οὐκ ἐνεγκόντες ἄνδρας δυσθανατοῦντας καὶ ὅποι αὐτοῖς τὸ θράσος χωρήσει οὐ λογιζομένους. οὕτω δὲ ἐκείνων ἐφέντων, ἐκδραμόντες οἱ Ῥωμαῖοι D
κατὰ τὸ παρεῖκον ἄσμενοι αὖθις εἴσω τοῦ περιβόλου ἐγένοντο καὶ τὴν πύλην προσήραξαν. παρὰ τοσοῦτον μὲν κινδύνου ἵκοντο οὐκ ἐπ' ἄλλῳ τῷ ἀριστεύσαντες ἢ μόνῳ τῷ διαφυγεῖν καὶ ἀποσωθῆναι.

23. Τοῖς δὲ τῶν Περσῶν ἀχθοφόροις ἐκ πλείστου διαπονουμένοις ἐς τὸ τὴν τάφρον καταχωννύναι, τότε δὴ ἅπασα αὐτοῖς ἀνεπέπληστο καὶ ξυνῆπτο ἁπανταχόθεν τὸ ἀπερρωγὸς καὶ μεμερισμένον, ὡς καὶ βάσιμον εἶναι τὸ χωρίον στρατιᾷ τειχομαχούσῃ καὶ τὰς ἑλεπόλεις μηχανὰς οὐ χαλεπῶς ἐνθένδε προσάγεσθαι. μακρὸς δὲ αὐτοῖς ὁ κατὰ τὴν πολυχειρίαν ἐν τῷδε τῷ ἔργῳ χρόνος ἐτρίβη. λίθους γὰρ κατὰ τὸ μᾶλλον καὶ χοῦν ἐμβαλόντες οὐ ῥᾳδίως πρὸς τὰς ξυγκλείσεις ἐξήρκουν, ξύλων οὐ μάλα παρόντων, P. 9
ὅτι μὴ ὁπόσα πόρρωθεν ἐκ τῆς νάπης κατατέμνοντες ξὺν πόνῳ πολλῷ διεκόμιζον. οἱ γὰρ Ῥωμαῖοι ἐτύγχανον ἤδη πρότερον ἅπαντας τοὺς ἀμφὶ τὸ ἄστυ ἀγροὺς ἐμπρήσαντες καὶ πρός γε τὰς τῶν ὁδοιπόρων καταλύσεις καὶ εἴ τι ἕτερον ἐνδιαίτημα ὡς πλησιαίτατα ἵδρυτο. τοῦτο δὲ ἔδρασαν, ὡς ἂν μὴ τὴν

a.C.555 Iustiniani 29 22. Ἐν τούτῳ δὲ ὁ Ναχοραγὰν ἁπάσῃ τῇ δυνά-
μει ἄρας ἐκ τοῦ στρατοπέδου τῷ ἄστει ἐπέλαζεν,
ἀκροβολίσασθαί τε βουλόμενος καὶ ἀπόπειραν ποιή-
σασθαι τῶν Ῥωμαίων, εἰ ἐπεξίασι, ταύτῃ τε σαφέ-
στατα διαγνῶναι ὅπως αὐτῷ ἐς ἑτέραν τὰ ἐς τὸν
πόλεμον παρασκευαστέα. τότε δὴ οὖν οἱ Πέρσαι,
ἐπειδὴ ἐς τόξου βολὴν ἀφίκοντο, αὐτίκα οἵγε, τοῦτο
δὴ αὐτοῖς τὸ εἰθισμένον, θαμὰ ἐπετοξάζοντο· πολλοί
τε τῶν Ῥωμαίων τρωθέντες, οἱ μὲν ἔτι ἀμυνόμενοι
P. 98 ἀντεῖχον, ἔνιοι δὲ καὶ ἀπόμαχοι ἐγίγνοντο. Ἀγγίλας
δὲ καὶ Φιλομάθιος καὶ τῶν ἀμφ' αὐτοὺς ταγμάτων
ἄνδρες ἐς διακοσίους, καὶ ταῦτα προειρημένον ἁπάσῃ
τῇ στρατιᾷ ὑπὸ Μαρτίνου μένειν ἕκαστον κατὰ
χώραν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀπομάχεσθαι, οἱ δὲ
τὴν καθ' αὐτοὺς πύλην ἀναπετάσαντες κατὰ τῶν
πολεμίων ἐχώρουν. Θεόδωρος δὲ ὁ τοῦ Τζανικοῦ
ὁμίλου ταξίαρχος ἐπεῖχε μὲν τὰ πρῶτα καὶ ἀνέκοπτε
τὴν ὁρμήν, νεμεσῶν αὐτοῖς τῆς προπετείας. ἐπεὶ
δὲ οὐκ ἐπείθοντο, ὑπήγετο καὶ αὐτὸς τοῖς πλείστοις
B οὔτι ἑκὼν καὶ ἐνεδίδου, εὐθύς τε ἐφοίτα ξὺν ἐκεί-
νοις, ὡς μὴ ἀποδειλιᾶν νομισθείη, τούτου τε ἕνεκα
μόνου τὸ εὐπρεπὲς τῆς εὐβουλίας προΐσχεσθαι·
ἤρεσκε μὲν γὰρ αὐτὸν οὐδαμῶς τὰ ποιούμενα, μετέ-
χειν δὲ ὅμως αὐτῶν ἠνείχετο ἐς ὅ τι ἄρα καὶ τελευ-
τήσαιεν. καὶ μικροῦ γε ἅπαντες αὐτοῦ διεφθάρησαν,
εἰ μή τις αὐτοὺς ἑτέρα διέσωσε γνώμη ἐκ τοῦ κρείτ-
τονος ἐπιρρωσθεῖσα. οἱ γὰρ Λιλιμνῖται ἀνὰ τὸν
ἐκείνῃ χῶρον ἑστῶτες καὶ ἐς φάλαγγα ξυντεταγμένοι,
ἐπειδὴ κατεῖδον τὴν ὀλιγότητα τῶν ἐπερχομένων,
ὑπεδέχοντό γε αὐτοὺς ἡσυχῇ καὶ ἀνέμενον. ὡς δὲ
ἀγχοῦ ἤδη παρῆσαν, αὐτίκα οἵγε ἠρέμα τὰ κέρα ἐπι-
C κολπώσαντες περιβάλλουσιν ἅπαντας καὶ ἐς ἀκριβῆ

κλωσιν ἐγκατεῖργον. οἱ δὲ Ῥωμαῖοι πάντοθεν a. C. 555 Iusti-
ριειλημμένοι, δρᾶσαι μὲν τὸ λοιπὸν οὐδὲν ὁτιοῦν niani 29
ὺς πολεμίους διενοοῦντο· εὐκτὸν δέ τι αὐτοῖς ὀκει καὶ ἄπιστον, εἴ γε ἀμωσγέπως διαδράσαιεν. ὶ δὴ ἐπὶ σφᾶς ἑλιχθέντες καὶ τὰ δόρατα προβεβλημένοι ἐμπίπτουσιν ἀθρόον τῶν πολεμίων τοῖς πρὸς ἄστει ἐφεστηκόσιν. οἱ δὲ ἐσιδόντες αὐτοὺς πολλῇ ῥύμῃ φερομένους καὶ οἷον ταῖς ἐλπίσιν ἀπειρηκότας, διέστησαν εὐθὺς ἀπ' ἀλλήλων καὶ ἀπεκρίθησαν, οὐκ ἐνεγκόντες ἄνδρας δυσθανατοῦντας καὶ ποι αὐτοῖς τὸ θράσος χωρήσει οὐ λογιζομένους. ὕτω δὲ ἐκείνων ἐφέντων, ἐκδραμόντες οἱ Ῥωμαῖοι D
ατὰ τὸ παρεῖκον ἄσμενοι αὖθις εἴσω τοῦ περιβόλου γένοντο καὶ τὴν πύλην προσήραξαν. παρὰ τοσοῦτον ὲν κινδύνου ἵκοντο οὐκ ἐπ' ἄλλῳ τῳ ἀριστεύσαντες μόνῳ τῷ διαφυγεῖν καὶ ἀποσωθῆναι.

23. Τοῖς δὲ τῶν Περσῶν ἀχθοφόροις ἐκ πλείστου διαπονουμένοις ἐς τὸ τὴν τάφρον καταχωννύναι, τότε δὴ ἅπασα αὐτοῖς ἀνεπέπληστο καὶ ξυνῆπτο πανταχόθεν τὸ ἀπερρωγὸς καὶ μεμερισμένον, ὡς αὶ βάσιμον εἶναι τὸ χωρίον στρατιᾷ τειχομαχούσῃ αὶ τὰς ἑλεπόλεις μηχανὰς οὐ χαλεπῶς ἐνθένδε ροσάγεσθαι. μακρὸς δὲ αὐτοῖς ἢ κατὰ τὴν πολυειρίαν ἐν τῷδε τῷ ἔργῳ χρόνος ἐτρίβη. λίθους γὰρ ατὰ τὸ μᾶλλον καὶ χοῦν ἐμβαλόντες οὐ ῥᾳδίως πρὸς ὰς ξυγκλείσεις ἐξήρκουν, ξύλων οὐ μάλα παρόντων, P. 99
τι μὴ ὁπόσα πόρρωθεν ἐκ τῆς νάπης κατατέμνοντες ὺν πόνῳ πολλῷ διεκόμιζον. οἱ γὰρ Ῥωμαῖοι ἐτύγανον ἤδη πρότερον ἅπαντας τοὺς ἀμφὶ τὸ ἄστυ γροὺς ἐμπρήσαντες καὶ πρός γε τὰς τῶν ὁδοιπόρων καλύσεις καὶ εἴ τι ἕτερον ἐνδιαίτημα ὡς πλησιαίτατα ἵδρυτο. τοῦτο δὲ ἔδρασαν, ὡς ἂν μὴ τὴν

a. C. 555 Iustiniani 29 ἐνθένδε ὕλην οἱ πολέμιοι πρόχειρον ἔχοντες εὐκόλως
τὰς ἐπιτεχνήσεις τῶν ἔργων ποιοῖντο. ἐκείνης μὲν
V. 71 οὖν τῆς ἡμέρας οὐδέν τι ἀξιαφήγητον ἄλλο ἐπράχθη,
ἀλλὰ νυκτὸς ἐπιφοιτώσης ὁ Ναχοραγὰν ἅμα τοῖς
πλήθεσιν ἐς τὸ στρατόπεδον ἐπανῆκεν. τῇ δὲ ὑστε-
B ραίᾳ ὁ Μαρτῖνος τά τε τῶν οἰκείων φρονήματα
ἐπιρρῶσαι βουλόμενος καὶ τοὺς ἐναντίους ἐκπλῆξαι,
ἤθροισε μὲν ἐς ταὐτὸ ἅπασαν τὴν τῶν Ῥωμαίων
στρατιάν, ὡς δή τι τῶν παρόντων πέρι διασκεψό-
μενος· ἐσφοιτᾷ δὲ ἀθρόον ἐς μέσον, οὕτω πρὸς
αὐτοῦ μεμελετημένον, ἀνήρ τις τῶν οὐ λίαν γνωρί-
μων, κονιορτοῦ τε ἀνάπλεως καὶ οἷος ἐκ μακρᾶς
ὁδοιπορίας εἰκάζεσθαι, ἥκειν τε ἔλεγεν αὐτίκα ἐκ
Βυζαντίου καὶ γράμμα τοῦ βασιλέως ἐπιφέρεσθαι.
λαβὼν δὲ τοῦτο ἀσμενέστατα δῆθεν ὁ στρατηγὸς καὶ
ἀνελίξας οὐκ ἐν ἀπορρήτῳ καθ' αὑτὸν ἀνελέγετο
οὐδὲ μόνοις τοῖς ὄμμασιν ἡσυχῇ διιὼν τῷ νῷ ἐσῆγε
C τὰ γεγραμμένα, ἀλλ' ἀνεβόα λαμπρᾷ τῇ φωνῇ, ὡς
ἂν ἅπαντες ἐπαΐοιεν. καὶ τῷ μὲν βιβλιδίῳ ἐκείνῳ
ἴσως ἄλλο τι ἐνεγέγραπτο, ἦν δὲ ὅμως τὰ βοώμενα
τάδε· "ἐστάλκαμέν σοι καὶ ἑτέραν στρατιὰν οὐ μείονα
τῆς προσούσης· καίτοι εἰ καὶ πολλῷ πλείους οἱ
δυσμενεῖς τυγχάνοιεν ὄντες, ἀλλ' οὐκ ἐς τοσοῦτον
ὑμᾶς ὑπερβαλοῦνται τῷ πλήθει ὁπόσον ὑμεῖς τῇ
ἀνδρείᾳ, ὥστε ξυμβήσεται τήν τε ὀλιγότητα καὶ τὴν
ἀμετρίαν τῶν ἴσων μὴ ἀφεστηκέναι. ὡς ἂν δὲ μηδὲ
ταύτῃ ἐκεῖνοι μεγαλαυχοῖεν, δέχου καὶ τοῦτον δὴ
τὸν στρατόν, ὥσπερ φιλοτιμίας μᾶλλον καὶ ἐπιδεί-
ξεως, ἀλλ' οὐ τοῦ ἀναγκαίου χάριν ἀπεσταλμένους.
θαρρεῖν τοίνυν καὶ ἔργου ἔχεσθαι ξὺν προθυμίᾳ,
D ὡς ἡμῶν οὐδὲν ὁτιοῦν τῶν δεόντων περιοψομένων."
εὐθὺς δὴ οὖν ἀνεπυνθάνετο ὅπῃ εἴη τὸ στράτευμα.

ὁ δὲ "οὐ πόρρω" εἶπεν "ἀφεστήκασιν, ἢ μόνον a.C.555 Iustiniani 29 τέτταρσι Λαζικοῖς παρασάγγαις." καταλελοιπέναι γὰρ αὐτοὺς ἀμφὶ τὸν Νέοκνον ποταμὸν ἔτι αὐλιζομένους. καὶ ὁ Μαρτῖνος ὀργήν τινα τῷ προσώπῳ ὑποκρινόμενος, "ἀπίτωσαν αὖθις" ἔφη "ὡς τάχιστα, καὶ οἴκαδε ἀναστρεφόντων, ὡς ἔγωγε οὐκ ἄν ποτε αὐτοῖς ἐφείην ἐνθάδε γενέσθαι. δεινὸν γὰρ εἰ τῶνδε τῶν ἀνδρῶν τῶν ἐκ πλείστου ἡμῖν ξυστρατευομένων, πολὺν ὅσον χρόνον διαπονηθέντων καὶ πολλάκις πρὸς τοὺς πολεμίους παραταξαμένων, ἤδη τε οὐ πόρρω ἡκόντων ἐκποδὼν ποιήσασθαι τὸ ἀντίπαλον καὶ τελεωτάτην ἀναδήσασθαι νίκην, οἱ δὲ οὕτω P.100 κατόπιν τοῦ ἀναγκαίου παρέσονται καὶ μόνον οὐχὶ ἀπογευσάμενοι τῶν κινδύνων εἶτα τὴν ὁμοίαν ἀποίσονται δόξαν καὶ ἐς ἐκείνους ἀνενεχθείη τὸ πέρας, καὶ τὸ δὴ πάντων ἀδικώτερον, τὰ γέρα ἐπ' ἴσης καρπώσονται τοῖσδε. ἀλλ' ἐκείνοις μὲν αὐτοῦ μενετέα ἐς ὅσον ἐς τὴν ἀποπορείαν παρασκευάσασθαι, ἀποχρήσουσι δὲ ἡμῖν οὗτοι τὸ λειπόμενον τοῦ πολέμου ἄριστα κατεργάσασθαι." καὶ ἅμα ἐς τὰ πλήθη ἐπιστραφείς· "ἦ οὐχὶ καὶ ὑμῖν ταῦτα" ἔφη "δοκεῖ, ὦ ἄνδρες ξυστρατιῶται;" οἱ δὲ ἐπευφήμησαν ξὺν βοῇ καὶ δίκαια εἶναι ἀνέκραγον τὰ τῷ στρατηγῷ βεβουλευμένα. καὶ οἱ μὲν θαρραλεώτεροι ἐγεγένηντο καὶ οἷοι ἑτέρων οὐ δεῖσθαι προσβοηθησόντων. μάλιστα B γὰρ αὐτοὺς ἐς ἔριν ἐκίνει καὶ φιλοτιμίαν ἡ τῶν λαφύρων ἐλπὶς καὶ ὅτι αὐτοὶ οὐκ ἐς μακρὰν ἅπαντα ᾤοντο κομιεῖσθαι, ὥσπερ ἤδη τοὺς δυσμενεῖς ἀνελόντες, καὶ τοῦτο μόνον πεφροντισμένον αὐτοῖς ὅπως τὴν λείαν διανεμοῦνται.

24. Ἀπέβη δὲ ὅμως καὶ θάτερον τῶν Μαρτίνου διανοημάτων. ὁ γὰρ λόγος οὗτος διὰ τοῦ πλήθους

a.C.555 Iustiniani 29 ἐξολισθήσας καὶ πανταχοῦ περιηγμένος καὶ παρ' αὐτοὺς ἀφῖκται τοὺς Πέρσας, ὡς ἄρα στρατιὰ ἑτέρα Ῥωμαϊκὴ πρὸς τῷ Νεόκνῳ ποταμῷ παραγέγονε καὶ ὅσον οὔπω τοῖς προτέροις ἀναμεμίξεται. ἀφασίᾳ δὴ οὖν ἅπαντες εἴχοντο, δεδιότες εἰ μέλλοιεν τοσούτοις ἤδη πόνοις τετρυχωμένοι πρὸς νέους ἄλλους καὶ C ἀκμῆτας παρατάττεσθαι πολεμίους. ὁ δὲ Ναχοραγὰν οὐδέν τι μελλήσας καὶ ἴλην τινὰ μετρίαν ἐκ τῶν Περσικῶν ἔστειλε ταγμάτων ἀνὰ τὴν ἀτραπὸν ἐκείνην, καθ' ἣν ᾤετο διαβήσεσθαι τοὺς περὶ ὧν ἐτύγχανε τῇ φήμῃ ἐξηπατημένος. οἱ δὲ παραγενόμενοι σπουδῇ τε καὶ ἀγρυπνίᾳ οὐκ ἐν δέοντι ἐχρῶντο. καταλαβόντες γὰρ τὰ ἐπίκαιρα τῶν χωρίων ὑπεκρύπτοντο αὐτοῦ καὶ ἀνέμενον τοὺς οὐδαμῶς παρεσομένους, γνώμην ἔχοντες ἀφυλάκτως αὐτοῖς V. 72 τῷ ἀπροσδοκήτῳ τυχὸν προϊοῦσιν ἐπιπεσεῖσθαι καὶ τὸ τάχος ἀνακόψαι τῆς πορείας, ἕως οἱ ἐν τῷ ἄστει ἐκπολιορκηθεῖεν. οὕτω μὲν οὖν δύναμις οὐ λίαν D ἐλαχίστη τῶν Περσῶν μάτην ἠσχόλητο, τοῦ ἄλλου πλήθους ἀφῃρημένη. εὐθὺς δὲ ὁ Ναχοραγὰν ἐξῆγε καὶ ὧς τὸν στρατόν, φθάσαι τὴν ἐπήλυσιν δῆθεν βουλόμενος τῶν οὐδαμῶς παρεσομένων, καὶ πολλῷ ξὺν φρονήματι κατὰ τῶν Ῥωμαίων ἐχώρει, ἐπικομπάζων ἀναφανδὸν καὶ ἐπομνύμενος ἦ μὴν αὐθημερὸν τὴν πόλιν ἅπασαν αὐτοῖς ἀνδράσιν ἐμπρῆσαι. ἐπελέληστο γάρ, ὡς ἔοικεν, ὑπὸ αὐθαδείας ὁ ἔμπληκτος ὡς ἄρα ἐπὶ πόλεμον ᾔει, πρᾶγμα οὕτως ἀφανές τε καὶ ἀδηλότατον καὶ πολλὰς ἐπιδεχόμενον ἐφ' ἑκάτερα ῥοπὰς καὶ μεταβάσεις, μάλιστά τε πάντων θείας τινὸς καὶ ὑπερτέρας ἀνάγκης ἀπηρτημένον, ὅσον P.101 καὶ σμικρὸν οὐδὲν ἐν ταὐτῷ γίγνεται, ἀλλ' ἔθνη τε ἀνθρώπων μυρία καὶ πόλεις συχναὶ καὶ πολιτεία

ξύμπασα οὕτω παρασχὸν ἀνακινεῖται καὶ διαταράτ- a.C.555 τεται, καὶ τὰς ὑπὲρ τῶν ὅλων ἐλπίδας σαλεύει. Iustiniani 29 ὁ δὲ ἐς τοσοῦτον ἐπῆρτο ἀλαζονείας ὡς καὶ τοῖς ἐργοπόνοις καὶ ὑπηρέταις, οἳ δὴ ἀνὰ τὴν ὕλην σκεδαννύμενοι τὰ δένδρα κατέτεμνον, τυχὸν μὲν ξυλείας ἕνεκα, τυχὸν δὲ καὶ ἐπισκευῆς τῶν πολεμικῶν μηχανημάτων, τούτοις δὴ οὖν ἅπασιν ἐκέλευεν, ἐπειδὰν καπνὸν ἀρθέντα θεάσοιντο, τοὺς δὲ γιγνώσκειν ὡς πῦρ ἤδη τῷ τῶν Ῥωμαίων περιβόλῳ εἴη ἐμβεβλημένον, καὶ μεθεῖναι μὲν τὰ ἐν χερσὶν ἔργα, δρομαίους δὲ ὡς αὐτὸν ἥκειν καὶ ξυνεπιβάλλειν τὴν φλόγα, ὡς ἂν ῥᾳδίως ἅπαντα πυρποληθείη. καὶ ὁ B μὲν τοιαῦτα ἐφ' ἑαυτῷ βρενθυόμενος εἴχετο τῆς ἐφόδου. Ἰουστῖνον δὲ τὸν Γερμανοῦ, οὐ γὰρ ᾤετο ἐν τῷ τότε τὸν Ναχοραγὰν παρέσεσθαι, ἔννοιά τις θεόθεν, οἶμαι, ἐσῆλθε πρός τινα νεὼν τῶν παρὰ Χριστιανοῖς σεμνοτάτων, οὐ πόρρω τῆς πόλεως ἀφεστηκότα, παραγενέσθαι ὡς τάχιστα καὶ ἐπιθειάσαι. καὶ τοίνυν ἀπολεξάμενος ἐκ τῆς Μαρτίνου καὶ τῆς οἰκείας δυνάμεως ὅ τι καρτερόν τε καὶ μαχιμώτατον καὶ πεντασχιλίους ἱππότας ἀγείρας, ἅπαν- C τάς τε ὡς ἐς πόλεμον ἄριστα ἐξοπλίσας, ὁ δὲ ξὺν ἐκείνοις ἀπήλαυνε, τῶν τε σημείων οἱ ἑπομένων καὶ τῆς ἄλλης στρατηγικῆς εὐκοσμίας. οὕτω δὲ ξυνενεχθέν, οὔτε οἱ Πέρσαι κατεῖδον τούτους πορευομένους, οὐ μὲν οὖν οὐδὲ οἱ ἀμφὶ Ἰουστῖνον ἐκείνους ἐπιφοιτῶντας, ἀλλ' ἑτέρωθεν γὰρ ἀφιγμένοι, ἀθρόον τῷ περιβόλῳ προσέβαλλον, πλείονί τε ἢ πρότερον τοξείᾳ ἐχρῶντο, ὡς οὕτω δὴ καὶ μᾶλλον τοὺς Ῥωμαίους ἐκπλήξοντες καὶ τάχιστα τὴν πόλιν ἁρπασόμενοι.

25. Τοιγάρτοι βέλη ἐφέρετο ἅμα συχνά, καὶ εἶτα D

a.C.555 Iustiniani 29 ἕτερα καὶ ἄλλα ἐπὶ τούτοις ἅπαντά τε τὸν μεταξὺ ἀέρα ἐπεκάλυπτον τῇ ξυνεχείᾳ, ὥσπερ ἀλλήλοις ξυμπεφυκότα. εἴκασεν ἄν τις τὸ χρῆμα νιφετῷ μεγάλῳ ἢ χαλάζῃ πολλῇ ξὺν βιαίῳ πνεύματι καταρραγείσῃ. ἄλλοι δὲ τάς τε μηχανὰς ἐκίνουν καὶ βέλη πυρφόρα ἠκόντιζον, ἔς τε τοὺς καλουμένους σπαλίωνας ὑπεισδυόμενοι πελέκεσι κατὰ τοῦ τείχους ἐπεφέροντο, ὡς ξύλινόν τε ὂν καὶ ταύτῃ ῥᾳδίως διατεμνόμενον. οἱ δὲ τὸ δάπεδον διορύττειν ἐπειρῶντο καὶ τῆς πρώτης βάσεως ἐφικνεῖσθαι, οὕτω τε ἀνατρέπειν καὶ διασπαράττειν τὸ ξυμπεπηγὸς καὶ ἐνηρμοσμένον. ἀλλὰ γὰρ καὶ οἱ Ῥωμαῖοι, ἔς τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις ἑστῶτες, ἀντεῖχον ξὺν προθυμίᾳ καὶ ἀπεμάχοντο, ὥσπερ τῇ πείρᾳ δεικνύναι βουλόμενοι τὸ μὴ χρῆναι αὐτοῖς ἑτέραν δύναμιν προσγενέσθαι. ἥ τε τοῦ Μαρτίνου ἀπάτη ἐν αὐτῷ
P.102 δὴ τῷ ἔργῳ διεφάνη ὡς χρήσιμός τε ἦν καὶ ἐνεργοτάτη. ἅπαντες γὰρ ἀφειδῶς διεπονοῦντο, οὐδένα ὅντινα τρόπον ἀμυντήριον μεθιέντες. δόρατα μὲν γὰρ πολλὰ ἐκ τοῦ μετεώρου ἀκοντιζόμενα τοὺς πολεμίους ἐτίτρωσκεν, ἅτε δὴ πλήθει γυμνῷ ἐρυμάτων προσπίπτοντα καὶ οὐδὲ ἑνὸν ἑτέρωθι φέρεσθαι, λίθοι δὲ ἁμαξιαῖοι κατὰ τῶν σπαλιώνων ἐρρίπτοντο τὰ πλέγματα καταγνύντες. μειονές τε ἄλλοι διασφενδονώμενοι τὰ κράνη τῶν Μήδων καὶ τὰς ἀσπίδας κατέθραυον, πελάζειν τε αὐτοῖς ἐν χρῷ τῷ τείχει οὐ μάλα ἐφίεσαν, βιαιότερον ἐνοχλοῦντες. τῶν δὲ
V. 73 ταῖς ἀκάτοις, ᾗπερ μοι ἤδη ἐρρήθη, ἐφεστηκότων, οἱ μὲν τόξοις χρώμενοι πλείστους ἐσίνοντο, ἅτε
B ἄνωθεν βάλλοντες, οἱ δὲ τῶν μηχανῶν δαημονέστατα ἥπτοντο, τά τε ὑπόπτερα ἐκεῖνα τὰ καὶ ἐς τοῦτο ἐσκευασμένα δοράτια, πολλῇ ξὺν ἀνάγκῃ

ἐκτιναϲϲόμενα ἐπὶ πλεῖϲτον ἐφέρετο, ὡς καὶ πολλοὺς a.C.555 Iustiniani 29 τῶν βαρβάρων πόρρωθεν ἔτι ἐπερχομένους ἐκ τοῦ ἀφανοῦς αὐτοῖς ἵπποις διαπερονᾶσθαι καὶ καταπίπτειν ἐξαπιναίως. βοή τε ἐπὶ μέγα ἐπῆρτο καὶ σάλπιγγες ἑκατέρωθεν πολεμιστήριόν τι μέλος ἐπῇδον. οἱ δὲ Πέρσαι καὶ τοῖς τυμπάνοις ἐβόμβουν καὶ σφοδρότερον ἐπηλάλαζον ἐκπλήξεως ἕνεκα, ὅ τε τῶν ἵππων χρεμετισμὸς καὶ τῶν ἀσπίδων ὁ πάταγος καὶ αἱ τῶν θωράκων ξυντρίψεις παμμιγῆ τινα καὶ ἄγριον ἀνέπλεκον ἦχον. ἐν τούτῳ δὲ Ἰουστίνῳ τῷ Γερμανοῦ ἐκ τοῦ νεὼ ἐπανιόντι ξυναίσθησις γίγνεται τῶν C δρωμένων τῇ τε ταραχῇ καὶ τῷ κτύπῳ. καὶ αὐτίκα τοὺς ἀμφ' αὐτὸν ἱππότας ξυστρέψας καὶ ἐς τάξιν τινὰ ἐν κόσμῳ καταστησάμενος τά τε σημεῖα ἐς ὕψος ἀρθῆναι ἐκέλευε καὶ ἅπαντας ἔχεσθαι ἔργου, γιγνώσκοντας ὡς οὐκ ἀθεεὶ ἔτυχον τοῦ ἄστεος ἐξεληλυθότες, ἀλλ' ἐφ' ᾧ δεδίξασθαι τοὺς πολεμίους τῷ ἀπροσδοκήτῳ καὶ ἀπελάσαι τῆς πολιορκίας. ὡς δὲ βραχύ τι προελθόντες κατεῖδον τοὺς Πέρσας ἐγκειμένους τῷ περιβόλῳ, τότε δὴ ἀθρόον ἐμβοήσαντες ἐμβάλλουσι τῷ μέρει τῷ πρὸς τῇ θαλάττῃ παρατεταμένῳ· ἐνθένδε γὰρ καὶ ἐτύγχανον ἀφιγμένοι. καὶ αὐτίκα οἱ μὲν κοντοῖς, οἱ δὲ σαρίσαις, οἱ δὲ καὶ D ξίφεσι παίοντες, τὸ παρεμπῖπτον διέφθειρον, βιαιοτέρας τε τὰς ἐπελάσεις ἀνὰ τὰς στίχας τῶν ἐναντίων ποιούμενοι καὶ ταῖς ἀσπίσιν ἐξωθοῦντες παρερρήγνυσαν τὸ ξυνεχὲς καὶ ξυντεταγμένον.

26. Οἱ δὲ Πέρσαι τοῦτον ἐκεῖνον εἶναι τὸν στρατὸν ὑποτοπήσαντες ὃν δὴ παρέσεσθαι ἠκηκόεσαν, καὶ ὅτι διαλαθόντες τοὺς ἐς τοῦτο ἀποκεκριμένους ἀφίκοντο, θορύβου καὶ δέους ἐνεπίμπλαντο, καὶ χύδην ἐς ἑαυτοὺς ἀνελιττόμενοι ἀπεχώρουν ἠρέμα

a. C. 555 Iustiniani 29 ἐς τὰ ὀπίσω καὶ ἐς ὑπαγωγὴν ἐκινοῦντο. ταῦτα δὲ πόρρωθεν οἱ Διλιμνῖται θεασάμενοι, ἀμφὶ γὰρ τὸ μεσαίτατον τοῦ τείχους ἐμάχοντο, ὀλίγους μὲν P. 103 αὐτοῦ κατέλιπον, οἱ δὲ ἄλλοι ἐχώρουν ἐπὶ τὸ πονούμενον. Ἀγγίλας δὲ καὶ Θεόδωρος οἱ τῶν Ῥωμαίων ταξίαρχοι, ὧν δὴ καὶ πρότερον ἐπεμνήσθην, ἐπιφρασάμενοι τὴν ὀλιγότητα τῶν μεμενηκότων ἐπεξίασιν ἀθρόον τοῦ ἄστεος ξὺν ἀποχρώσῃ δυνάμει· καὶ τὸ μέν τι αὐτῶν διαφθείρουσιν, ἔνιοι δὲ ἀποδράντες ᾤχοντο· τούτους τε οἱ Ῥωμαῖοι διώκοντες οὐκ ἀνίεσαν. οἱ δὲ ἄλλοι Διλιμνῖται ταῦτα ἰδόντες, οἵπερ ᾖεσαν ὡς δὴ τοῖς Πέρσαις πιεζομένοις ἐπαμυνοῦντες, ἐπιστρέφουσιν αὐτίκα ἐπὶ θάτερα, ὑπαντιάζειν βουλόμενοι τοῖς Ῥωμαίοις, ἄμεινον εἶναι ἡγούμενοι εἰ μᾶλλον τοῖς ὁμοφύλοις ἐς ὅ τι τάχιστα ἐπαρήξαιεν, σπουδῇ τε ἀτάκτῳ καὶ δρόμῳ πολλῷ ἐφέροντο, ὡς φεύγουσι μᾶλλον ἀπρεπῶς ἢ ὅτι ἑτέ- B ροις ἐπέρχονται εἰκασθῆναι. ἔθεον μὲν γὰρ ὡς δὴ τοῖς οἰκείοις προσβοηθήσοντες, πλέον δέ τι ὑπῆρχεν ἐν αὐτοῖς τοῦ ὀργιζομένου τὸ ταραττόμενον. ἡ δὲ τῶν Περσῶν στρατιά, ὁπόση δὴ ὡς πλησιαίτατα παρετάττετο, ἰδόντες τοὺς Διλιμνίτας οὕτω δή τι ξὺν ταραχῇ καὶ ἀκοσμίᾳ φοιτῶντας, ἕτερόν τε οὐδὲν ἢ ὅτι ἀποδιδράσκουσι διανοηθέντες, καὶ λογιζόμενοι ὡς οὐκ ἄν ποτε ἐκεῖνοι ἐς τοῦτο αἴσχους ἀφίκοντο, μὴ μεγάλου τινὸς καὶ ἀνυποίστου περιεστηκότος κινδύνου, τότε δὴ καὶ αὐτοὶ τραπέντες ἀγεννῶς ἐσκεδάννυντο. ἡ δὲ μελετωμένη τέως φυγὴ καὶ ὑπολανθάνουσα τότε δὴ αὐτοῖς ἐς τοὐμφανὲς ἀνερράγη. ἀλλὰ γὰρ καὶ οἱ Διλιμνῖται ταὐτὰ περὶ τῶν Περσῶν οἰηθέντες ξυνείποντό γε αὐτοῖς καὶ ξυνεξέθεον, C ἀπατήσαντές τε ἅμα καὶ ἐξηπατημένοι. τούτων δὲ

γιγνομένων, πλεῖστοι ὅσοι τῶν Ῥωμαίων τοῦ περιβόλου (a. C. 555 Iustiniani 29) διεκβάντες λαμπροτέραν τοῖς πολεμίοις εἰργάσαντο τὴν ἀναχώρησιν, ἐπισπόμενοί τε αὐτοῖς καὶ τὸ ἀεὶ λειπόμενον ἀναιροῦντες. ἄλλοι δὲ ἄλλοθεν ἐπεξιόντες πρὸς τὸ ἀντέχον ἔτι καὶ ξυνεστηκὸς (V. 74) διεπονοῦντο. τὸ μὲν γὰρ λαιὸν κέρας τῶν βαρβάρων οὕτω δή τι περιφανῶς ἐκεκμήκει καὶ διελέλυτο. οἱ δὲ ἐπὶ τῷ ἑτέρῳ ξυντεταγμένοι καρτερώτατα ἀπεμάχοντο. οἵ τε γὰρ ἐλέφαντες ἀντ' ἐρύματος προβεβλημένοι καὶ ἐπεισπηδῶντες διετάραττον αὐτίκα τὸν ξυνασπισμὸν τῶν Ῥωμαίων εἴ που ξυσταίη· οἵ τε ὑπὲρ τούτων ὀχούμενοι τοξόται λίαν ἐσίνοντο (D) τοὺς ἐπιόντας, οἷα ἐς ὕψος ἠρμένοι καὶ τῷ ὑπερανέχειν εὐσκοπώτατα βάλλοντες, αἵ τε τῶν ἱππέων ἶλαι διεκτρέχουσαι ῥᾳδίως προσέβαλλον καὶ ἠνώχλουν ἀνδράσι πεζοῖς καὶ ἐμβριθέστερον ὡπλισμένοις, ἤδη τε οἱ ταύτῃ Ῥωμαῖοι ἐς φυγὴν ἐκκλίναντες ἀπηλαύνοντο.

27. Ἀνὴρ δέ τις ἐν αὐτοῖς τῶν Μαρτίνου δορυφόρων, Ὄγναρις ὄνομα, ἐν στενωτάτῳ χωρίῳ ξυνειλημμένος, ὡς μηδὲ τὸ ἀποδιδράσκειν αὐτῷ ἐλεύθερον εἶναι καὶ ἐφειμένον, αὐτίκα ὅγε ἀπειρηκὼς τοῖς ξυνενεχθεῖσι καὶ ὥσπερ τῆς τύχης ἀποπειρώμενος ἐπιόντα οἱ δεινῶς τὸν θρασύτερον τῶν ἐλεφάντων πλήττει βιαίως ἀνὰ τὴν ὀφρῦν τῷ δόρατι καὶ ἐμπήγνυσι (P. 104) τὴν αἰχμήν, ὡς ἅπαν τὸ λοιπὸν ἀπῃωρῆσθαι. ὁ δὲ πρός τε τὴν πληγὴν δυσανασχετῶν καὶ πρός γε τοῦ δορατίου ἀμφὶ τὸν ὀφθαλμὸν κραδαινομένου ἐκταραττόμενος, ὑπεξήγετο ἀθρόον ἐς τοὔμπαλιν ἀνασκιρτῶν καὶ περιδονούμενος, τήν τε προνομαίαν νῦν μὲν ὥσπερ ὕσπληγγα περιτινάσσων ἔπληττε πολλοὺς τῶν Περσῶν καὶ ἐξηκόντιζε, νῦν δὲ ἐς

a. C. 555 Iustiniani 29 μῆκος ἐκτείνων τραχύν τινα καὶ ἄγριον ἦχον ἀφίει. αὐτίκα δὲ τοὺς ὕπερθεν ἑστῶτας ἀποσεισάμενος κατέβαλε καὶ ἐμπατήσας διέφθειρεν. ἔπειτα δὲ καὶ ἅπαντα τὸν Περσικὸν ὅμιλον ἀνεσόβει, τούς τε ἵππους ἀναχαιτίζων οἷς ἂν ἐμπελάσειε καὶ τοῖς ὀδοῦσι τὸ B ἐπιψαῦον διατεμνόμενος καὶ ἀναχαράττον. καὶ ἦν ἅπαντα ὀλοφυρμοῦ ἀνάπλεα καὶ θορύβων. οἱ μὲν γὰρ ἵπποι τῇ χαλεπότητι τοῦ θηρίου ἐπτοημένοι οὐ μάλα τοῖς ῥυτῆρσιν ἐπείθοντο, ἀλλὰ τὰς ἐμπροσθίους μετεωρίζοντες ὁπλὰς ἐξεκύλιον τοὺς ἐλατῆρας, οὕτω τε ἄτακτα διὰ τοῦ πλήθους ἐξήλλοντο, πνευστιῶντες θαμὰ καὶ φριματτόμενοι. τῶν δὲ ἀνδρῶν ἐς ἑαυτοὺς ἀναχωρούντων, ἁπάντων τε ὠθούντων ἀλλήλους καὶ παραγκωνιζομένων, καὶ ἑκάστου προτερῆσαι τὸν πέλας ἐπειγομένου, πλεῖστοι ὅσοι ἐκτείνοντο ὑπὸ σφῶν, τοῖς τῶν φιλτάτων τε καὶ ὁμοφύλων ξίφεσι περιπταίοντες. οὕτω δὲ τῆς ταραχῆς ἐπὶ μέγα ἰούσης, C οἱ Ῥωμαῖοι, ὁπόσοι τε ἤδη ἐτύγχανον ὑπεκβάντες τοῦ περιβόλου καὶ εἴ πού τι αὐτῶν ἔνδον ἐλέλειπτο, τότε δὴ ἅπαντες ἐς μίαν τινὰ φάλαγγα ξυσπειραθέντες, καὶ τὸ μέτωπον ὡς καρτερώτατα ταῖς ἀσπίσι φραξάμενοι, ἐμπίπτουσι ξυγκεχυμένοις ἔτι τοῖς πολεμίοις. οἱ δὲ τῷ ἤδη προπεπονηκέναι τὴν προσβολὴν οὐκ ἐνεγκόντες ὠκύτατα ἔφυγον, οὐδὲ τοῦτο δρῶντες ἐν τάξει, οὐδὲ ὥστε καὶ ἀμύνεσθαι τοὺς ἐπιόντας, ἀλλ' ἐσκεδάννυντο ἄλλος ἄλλοθι ὥς πῃ ἑκάστῳ προυχώρει. ὁ δὲ Ναχοραγὰν ἀλλὰ γὰρ καὶ αὐτὸς τῷ παραλόγῳ τῶν γιγνομένων καταπεπληγμένος ἐς τὰ ὀπίσω δρομαῖος ἀπήλαυνε, σημαίνων ἅπασι τῇ μάστιγι καὶ ἐγκελευόμενος ὡς τάχιστα φεύγειν, τοῦτο D δὴ τὸ πρὸς ἐκείνων ἤδη πραττόμενον. οὕτως ἄρα αὐτῷ τὰ τῆς ὑψηγορίας ἐς τοὐναντίον ἀπέβη. οἱ δὲ

Ῥωμαῖοι οὐ πρότερον ἀνῆκαν διώκοντες τοὺς βαρβάρους a.C. 555 Iustiniani 29 καὶ ἀναιροῦντες πρίν γε δὴ ὁ Μαρτῖνος, ἀποχρῆναι ἡγούμενος, ἀνεκαλεῖτό τε αὐτοὺς ὑπὸ τῇ σάλπιγγι καὶ τὸν θυμὸν ἐξημέρου. οὕτω δὲ οἱ Πέρσαι μόλις εἰς τὸ οἰκεῖον στρατόπεδον ἀπεσώθησαν, οὐ μεῖον ἢ δέκα χιλιάδας μαχίμων ἀνδρῶν ἐν τῷδε τῷ ἔργῳ ἀποβεβληκότες.

28. Οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς διώξεως ἐπανελθόντες τούς τε σπαλίωνας ἐνέπρησαν καὶ ὁπόσα ἄλλα Περσικὰ μηχανήματα ἀμφὶ τὸ τεῖχος ἐλέλειπτο. ἐντεῦθεν δὲ φλογὸς μεγάλης ἀρθείσης, οἱ τὴν ὕλην κατατέμνοντες P.105 ὑπηρέται τῶν Περσῶν καὶ ἀχθοφόροι, ἰδόντες πόρρωθεν καπνὸν ἐς ὕψος ἀνέρποντα καὶ ἐπὶ πολὺ τοῦ ἀέρος ἀνελιττόμενον, αὐτίκα οἱ δείλαιοι ἐπὶ τὸ ἄστυ ἐχώρουν, οἰηθέντες, ὥς που τῷ Ναχοραγὰν πρότερον ἐκεκόμπαστο, τὸν περίβολον πυρπολεῖσθαι. τοιγάρτοι ξὺν πολλῷ τῷ δρόμῳ ἐφέροντο, δεδιότες, οἶμαι, μὴ σφᾶς παραδράμοι ὁ τοῦ ἔργου καιρὸς καὶ ἅπαντα τεφρωθείη, πρὶν δὴ αὐτοὺς V. 75 ἀφικέσθαι. ἅμιλλά τε ἦν αὐτοῖς ὑπὲρ τοῦ τάχους, οὐκ ἐπισταμένοις ὡς τῷ νικῶντι ξυμβήσεται πρώτῳ τεθνάναι. ἅπαντες γὰρ ἀμοιβαδὸν ὑπὸ τῶν Ῥωμαίων ἁλισκόμενοι κατεκτείνοντο, ὥσπερ τοῦδέ γε ἕνεκα B μόνου παραγιγνόμενοι. ἀπολώλασι τοιγαροῦν οὐ πολλῷ ἐλάττους τῶν δισχιλίων. τοσούτοις ἀνδράσιν ἐργοπόνοις καὶ τὰ πολέμια ἥκιστα μεμελετηκόσιν ἔς τε παράταξιν οὐπώποτε ἀφιγμένοις αὐτομάτου τινὸς καὶ παραλόγου ὀλέθρου ὁ Ναχοραγὰν αἰτιώτατος γέγονεν, ἀνόητα παρακελευσάμενος. οὕτως ἄρα ἡ ἀλαζονεία οὐ μόνον αὐτοὺς σίνεται τοὺς κεκτημένους, ἀλλὰ γὰρ καὶ οὓς ἂν ἐκείνοις ὑπηρετεῖν ξυμβαίη καὶ πείθεσθαι. τούτων δὲ ὧδε ξυνενεχθέντων, οἱ

a. C. 555 Iustiniani 29 μὲν Ῥωμαῖοι εὐέλπιδες ὑπῆρχον ἐς τὰ μάλιστα, ὡς καὶ αὖθις ῥᾳδίως περιεσόμενοι εἴ γε ἄρα καὶ ἀναC μαχεῖσθαι οἱ βάρβαροι πειραθεῖεν. ὅσοι δὲ αὐτῶν ἐν τῇ μάχῃ ἐτεθνήκεσαν, ἦσαν δὲ οὐ πλείους ἢ διακόσιοι, τούτους δὴ εὐπρεπέστατα ἔθαψαν, ὑπεραγάμενοι τῆς προθυμίας, ὡς ἄνδρας ἀγαθοὺς ἀποδεδειγμένους· τοὺς δὲ τῶν πολεμίων νεκροὺς σκυλεύσαντες ὅπλων τε ἄφθονον πλῆθος καὶ ἄλλων χρημάτων περιεβάλοντο. οὐ γὰρ μόνον ἀσπίδας καὶ θώρακας τυχὸν καὶ γωρυτοὺς βελῶν ἔνιοι τῶν κειμένων ἐπεφέροντο, ἀλλὰ στρεπτοὺς γὰρ παγχρύσους καὶ περιδέραια καὶ ἐλλόβια καὶ ἄλλα ἄττα τοιάδε θηλυπρεπῆ ποικίλματα καὶ περίεργα, ὁποίοις οἱ D ἐντιμότεροι τῶν Μήδων ἐναγλαΐζονται τοῦ μᾶλλον εἶναι ἀρίδηλοι καὶ τοῦ ἄλλου ὁμίλου ἀποκεκρίσθαι. ὁ δὲ Ναχοραγάν, ἐπειδὴ αὐτὸν τά τε ἐπιτήδεια ἐλελοίπει καὶ ἤδη χειμῶνος ὥρα ἐπεγίγνετο, ἐῴκει μὲν αὖθις πολεμησείοντι καὶ ἐς τόδε ξυσκευαζομένῳ. οὐ μὴν ἔργῳ τὸ βούλευμα ἐπετέλει, ἀλλὰ τὸ τῶν Διλιμνιτῶν στῖφος τῇ ὑστεραίᾳ ἐκπέμψας ἀνὰ τὸ στάδιον καὶ ἐς ἐκείνους ὁρᾶν τοὺς Ῥωμαίους ἀναπείσας, ταύτῃ τε δόκησιν παρασχόμενος τοῦ ἐπελεύσεσθαι, αὐτίκα ὅγε σχολαίτερον ἅμα τοῖς ἄλλοις στρατεύμασιν ἐπὶ Κοταΐσιν καὶ Μουχειρισιν ἐπορεύετο. ὡς δὲ πλεῖστον ἤδη τῆς ὁδοῦ προεληλύθει, τότε δὴ καὶ οἱ Διλιμνῖται λύσαντες τὴν τάξιν εὐκολώτατα ἀπεχώρουν, ἅτε δὴ κούφως ἀεὶ ἐσταλμένοι καὶ ἄλλως ἄλκιμοι καὶ ποδώκεις. παρῆσαν δὲ αὐτοῦ καὶ ἡ ἄλλη Περσικὴ ἀπόμοιρα, οἳ δὴ ἐτύγχανον παρὰ τὸν P. 106 Νέοκνον ποταμὸν πρότερον ἀπεσταλμένοι διὰ τὴν Μαρτίνου ἀπάτην, ἧπέρ μοι ἤδη ἐρρήθη. γνόντες γὰρ ὡς ἐνενίκηντο μὲν οἱ Πέρσαι, οἱ δὲ Ῥωμαῖοι

ἁπάσης ἤδη τῆς χώρας ἐκράτουν, αὐτίκα οἵγε a.C. 555 Iustiniani 29 πορείαν τινὰ διαλανθάνουσαν καὶ τῶν λεωφόρων ἀποκεκριμένην διανύσαντες ἐς Μουχείρισιν ἵκοντο, τῶν μὲν ἀγώνων ἥκιστα μετασχόντες, τοῦ δὲ τῆς φυγῆς αἴσχους πολλῷ ἔτι ἀκλεέστερον μετειληφότες. ἐπειδὴ οὖν ἅπας ὁ στρατὸς ἐνταῦθα ἐτύγχανε ξυναγηγερμένος, τότε δὴ τὸ πλεῖστον τῆς ἱππικῆς δυνάμεως B καταλιπὼν ἰλάρχην τε αὐτοῖς ἐπιστήσας Οὐαφρίζην, ἄνδρα τῶν παρὰ Πέρσαις γνωριμωτάτων, αὐτὸς ξὺν ὀλίγοις ἐς Ἰβηρίαν ἀπενόστησεν, ὡς ἐκεῖσε διαχειμάσων.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Δ.

---

a. C. 555 Iustiniani 29 1. Ἐς τοῦτο δὲ νίκης τοῖς Ῥωμαίοις τοῦ πολέμου κεχωρηκότος, καὶ ὥσπερ ἀνακωχῆς τῶν δεινῶν P. 107 V. 76 γεγενημένης, τῶν τε ὅπλων τὸ παραυτίκα ἠρεμηκότων, τότε δὴ ἐς ζήτησιν ἤγετο τὰ ἐπὶ Γουβάζῃ πρότερον τετολμημένα. καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ θάκου τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα ἐνειμένος, ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμόνων. παρῆσαν δὲ αὐτῷ ἄνδρες γράφειν τε ἐς τάχος πεπαιδευμένοι καὶ ἐπιτροχάδην ἀναλέγεσθαι τὰ γεγραμμένα· ἄλλοι τε ὑπηρέται σοβαρώτεροι καὶ δαη- B μονέστατοι τῆς τῶν δικαστηρίων κομψείας, κήρυκές τε μεγαλοβόαι καὶ οἱ τῶν μαστίγων ἐπιστάται. ἅπαντες δὲ οὗτοι ἐκ τῶν ἐν Βυζαντίῳ ἀρχείων ἐτύγχανον ἀπολελεγμένοι. ἐπεφέροντο δέ, οἷς τοῦτο ἀνεῖτο, δεσμούς τε σιδηροῦς περιαυχενίους κλινοστρόφιά τε καὶ ποδοστράβας, καὶ ἄλλα ἄττα ὄργανα κολαστήP. 108 ρια. καί μοι δοκεῖ βασιλεὺς Ἰουστινιανὸς οὐκ ἀπεικὸς οὐδὲ αὐτομάτως, ἀλλ' ἐμφρονέστατα τοῦ δέοντος ἐστοχασμένος ξὺν τοιᾷδέ τινι τάξει καὶ εὐκοσμίᾳ τὴν κρίσιν προελθεῖν παρακελεύσασθαι, οὐ μόνον ὅπως οἱ ἐκείνῃ βάρβαροι, τῶν Ῥωμαϊκῶν σφίσι νο-

μίμων κομπωδέστερον ἀναδεικνυμένων, θαυμάζοιέν a. C. 555 Iustiniani 29
τε αὐτὰ καὶ ἐπὶ πλέον ἄρχεσθαι ὑπὸ τούτων ξυνεθι-
σθεῖεν, ἀλλὰ καὶ ὅπως, εἰ μὲν ὡς μηδίσας πρότερον
ὁ Γουβάζης δικαιότατα φανείη ἀνηρημένος, μηκέτι
ἀνιῷντο οἱ Κόλχοι, μηδὲ ὥς τι δεινὸν πεπονθότες
ἀγανακτοῖεν. εἰ δέ γε ἅπαντα καταψευσάμενοι καὶ
ἄδικον μίασμα δράσαντες ἁλοῖεν οἱ ἀπεκτονότες,
οὕτω τε καταδιαιτηθέντες καὶ ὑπὸ κήρυκι πομπῷ
ἀνὰ τὰ πλήθη περιηγμένοι, εἶτα τῷ παλαμναίῳ ξί- B
φει ἁπάντων θεωμένων καρατομηθεῖεν, τότε δὴ
μεῖζόν τι δόξειεν εἶναι τὸ πέρας καὶ διπλασίων ἡ
τιμωρία. ἠπίστατο γὰρ ὡς, εἰ μὲν οὕτω πως ἐν
ἀπορρήτῳ βαρβαρικώτερον Ῥουστικόν τε καὶ Ἰωάν-
νην διαφθαρῆναι παρακελεύσοιτο, οὐκ ἀποχρώντως
ἡγήσασθαι ἂν τοὺς Κόλχους τὴν ὕβριν αὐτοῖς ἀπε-
σκευάσθαι οὐδὲ προσήκουσαν ποινὴν κομίσασθαι
τῶν ἡμαρτημένων. δικαστηρίου δὲ καταστάντος,
καὶ ἀντιλογίας ἑκατέρωθεν προελθούσης, καὶ τῶν
ὑπηρετῶν ἄνω τε καὶ κάτω διαττόντων, καὶ ὅπως
τῶν κρινομένων ἕκαστος ἐν κόσμῳ ἑστήξει καὶ ἀπο-
κρινεῖται διαταττομένων, ὄγκου τε δικαστικοῦ φαι- C
νομένου καὶ μεγαληγορίας ἀκουομένης, καὶ ἐπὶ τού-
τοις τοῦ ὀλέθρου φρικωδεστέρου ἐπιγιγνομένου,
τούτων δὴ οὖν οὕτω πραττομένων ἕτερόν τι αὐτοῖς V. 77
μεῖζον καὶ μάλα εἰκότως φανεῖσθαι τὸ χρῆμα ἐγί-
γνωσκε καὶ τάχα τὴν ἀξίαν τοῦ ἐπικλήματος ὑπερ-
βάλλον. ταῦτα γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς,
καίτοι θαμὰ ἐκεῖσε γιγνόμενα, καταπλήττει καὶ ἐξί-
στησι τῶν φρονημάτων, μήτι γε βαρβάρους καὶ οὐκ
εἰθισμένους. τούτων μὲν οὖν ἕνεκα, οἶμαι, Ῥωμαϊ-
κὸν δικαστήριον, μᾶλλον μὲν οὖν Ἀττικώτατον, ὑπὸ
τῷ Καυκάσῳ ξυνεκροτήθη.

a. C. 555 Iustiniani 29 2. Τότε δὲ Ῥουστικός τε καὶ Ἰωάννης, ἐκ τοῦ δεσμωτηρίου ἠγμένω, ἀνὰ τὸ λαιὸν μέρος ἑστήκατον, D οἷα δὴ φεύγοντε. ἐπὶ θάτερα δὲ παρῆσαν κατηγορησείοντες τῶν Κόλχων οἱ ἐμφρονέστατοι καὶ ἤδη ἐκ πλείστου τὴν Ἑλλάδα φωνὴν ἐκμεμαθηκότες. ἐδέοντο δὲ πρότερον τὴν παρὰ βασιλέως ἐπιστολὴν ἐν κοινῷ ἀνακηρύττεσθαι, ἥνπερ ἐτύγχανε πρότερον ὁ Ἰωάννης τούτων δὴ πέρι τοῖς στρατηγοῖς διακομίσας· ἀλλὰ γὰρ καὶ τῷ διαιτητῇ ξυνδοκοῦν, γεγωνότερόν τις αὐτὴν τῶν ἐς τοῦτο τεταγμένων διεξῄει, ὧδέ πως ἔχουσαν· "ἄπιστον μὲν καὶ παράλογον τὸ πρὸς ὑμῶν ἀνηγγελμένον ὡς ἄρα βουλομένῳ ἐστὶ τῷ Γουβάζῃ τὰ πάτρια ἔθη καταπροεμένῳ καὶ τοὺς ἐν ἅπασιν ὁμόφρονας καὶ ἀνέκαθεν ἡγεμόνας, τοὺς P. 109 Ῥωμαίους φαμέν, ἐπὶ τοὺς ἐχθίστους τε καὶ ἀλλοτριωτάτους καὶ πρός γε τὰ ἐς θεὸν ἑτερογνώμονας μεταχωρῆσαι, καὶ ταῦτα οὐδὲν ὁτιοῦν ἐξ ἡμῶν ἄχαρι προπεπονθότι. πλὴν ἀλλ' ἐπειδὴ γιγνώσκομεν τὰ ἀνθρώπεια παλίμβολά τε καὶ ὀλισθηρὰ καὶ τῇ ποικιλίᾳ τῶν παρεμπιπτόντων ξυμπεριάγεσθαι πεφυκότα, οὐ παντάπασιν ἀπιστεῖν ᾠήθημεν χρῆναι, οὐδὲ μεθεῖναι μὲν τὸ φυλάξασθαι τὰ παρ' ἐκείνου εἴτε ἴσως εἴτε πάντως βεβουλευμένα, καταλιπεῖν δὲ ἐν ἡμῖν αὐτοῖς φροντίδα περιττὴν καὶ ἀμφιρρόπους ἐννοίας, ἐπ' ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους. καίτοι ἀλλόκοτόν τι καὶ ταραχῶδες τὸ μηδαμῶς ἐφ' ὁτῳοῦν βεβαιότατα πεποιθέναι, ἀλλ' ὑποψίας ἀεὶ καὶ δείματος εἶναι μεστόν, καὶ ἐπ' αὐτοῖς δήπου B τοῖς ξυνηθεστάτοις. ὅμως, ἐν ἅπασι γὰρ τοῦτο νικᾷ, ἑπόμεθα καὶ ἡμεῖς τῇ φύσει, καὶ ἀπιστοῦμεν. ὡς ἂν δὲ μήτε προπετῶς ὠμόν τι καὶ ἀπηνὲς δράσοιμεν ἐπὶ Γουβάζῃ, μήτε τῷ οὐκ εἰκότι δῆθεν ἀναπεπει-

σμένοι μαλθακισθείημεν, ἀλλ' ἐκφύγοιμεν τὰς ἑκατέρωθεν μεταμελείας, εὔβουλόν τι ἡμῖν κατεφάνη καὶ μέσως πως ἔχον ἐνταῦθα τὸν ἄνδρα παραγενέσθαι. στέλλειν τοίνυν αὐτὸν τὴν ταχίστην, εἴτε βουλόμενον εἴτε ἠναγκασμένον. εἰ δέ γε ὑμᾶς ταῦτα ἐθέλειν ἐγνωκὼς ἀντισταίη καὶ ἀπαναίνοιτο τὴν πορείαν, ἐπιλαμβανομένων τε ὑμῶν καὶ ἑλκόντων, καὶ γὰρ τοῦτο ποιεῖν ὑμῖν τοὐντεῦθεν ἐξέσται, εἰ δὲ διωθοῖτο καὶ ἀντεπιφέροιτο, καὶ ὅτῳ οὖν τρόπῳ τὰς χεῖρας ἀντάροι, τότε δὴ ἕξομεν περιφανεῖς τοὺς ἐλέγχους τῶν μελετωμένων καὶ τὸ λοιπὸν ἐν τοῖς πολεμιωτάτοις τετάξεται, ὥστ', εἴ πού τις αὐτὸν τοιαῦτα τολμῶντα καὶ ἀποκτείνοι, οὐδὲ τοῦτο ἡμῖν ἐσόμενον ἀπὸ τρόπου, οὐκοῦν οὐδὲ ποινὰς ὁ δράσας ὑφέξει τοῦ ἐγχειρήματος. οὐ γὰρ ὡς μιαιφόνον αὐτὸν κολαστέον, ἀλλ' ὡς τυραννοκτόνον ἐπαινετέον." ἡ μὲν οὖν παρὰ βασιλέως ἐπιστολὴ τοιάδε ἄττα ἐγκελευσαμένη διέγνωστο.

(margin: a. C. 5.. Iustiniani; C; D)

3. *Αὐτίκα* δὲ οἱ ἄνδρες τῶν Κόλχων, οἳ δὴ πρὸς τὸ κατηγορεῖν ἐτετάχατο, ἐπειδὴ αὐτοὺς ὁ δικαστὴς ἐψηφίζετο τὰ σφέτερα αὐτῶν δικαιώματα ᾗ βούλοιντο προτιθέναι, οἱ δὲ προθύμως εἴχοντο τοῦ ἐπικλήματος, καὶ ἔλεξαν τοιάδε· "Ἀπόχρη μέν, ὦ δικαστά, τὸ τετολμημένον, εἰ καὶ μηδὲν ὁτιοῦν φήσαιμεν, ποιναῖς ταῖς μεγίσταις ὑπάγειν τοὺς δεδρακότας· πλὴν ἀλλὰ τοῖς ὑμετέροις νόμοις δοκοῦν τὸ χρῆναι καὶ τῶν ἐμφανῶν πέρι καὶ μεγίστων ἀδικημάτων μὴ πρότερον τὰς κρίσεις ἐκφέρειν, πρὶν ἂν καὶ λόγῳ τὰ πραχθέντα διαγορεύειν, ἥκομεν νῦν ἐροῦντες μόνον ἀμωσγέπως τὰ γεγενημένα. οὕτω γὰρ ἂν καὶ ἡμῖν διανυσθήσεται τὸ νενομισμένον, εἰ καὶ τὰ τῶν λόγων εἶεν ἁπλᾶ καὶ ἥκιστα κεκομψευ-

C. 555 usti-ani 29 . 78 . 110

μένα, καὶ οἷα τοῦ μεγέθους τῶν εἰργασμένων μὴ ἐξικνεῖσθαι. ποία γὰρ αὐτοῖς λελείψεται σκῆψις, ἄνδρα τοσοῦτον, φίλον ὑμῖν καὶ ξυνήθη καὶ ξύμμαχον καὶ ὁμοδίαιτον καὶ ὁμόσπονδον καὶ ταὐτὰ περὶ τὸ κρεῖττον φρονοῦντα, καὶ τί δὲ οὐχὶ τῶν οἰκειοτάτων κεκτημένον, ἀνέδην οὕτω διαχειρισαμένοις καὶ πολλῇ τῇ δυσμενείᾳ χρῆσθαι καθ' ὑμῶν φωραθεῖσι, τῷ τοὺς ἐχθροὺς τεθεραπευκέναι; βασιλεὺς γὰρ ὁ ἀνῃρημένος, ὦ δικαστά, καὶ ἔθνους οὐκ ἀγεννοῦς καὶ πρὸς ἀρετὴν ἐνεργότατος καὶ τὰ Ῥωμαίων στέργων ἀεὶ πολλῷ μᾶλλον τῶν ἀπεκτονότων. ἀνατετράφαται δὲ τὰ Κόλχων πράγματα καὶ διερ- B ρύη, ἀληθέστερον δὲ τὰ κοινά, εἴ γε μέρος τι καὶ ἡμεῖς οὐκ ἐλάχιστον τῆς ὑπηκόου τυγχάνομεν ὄντες. καὶ διόλωλεν ὑμῖν τὸ ἀκραιφνὲς τῶν καθεστώτων καὶ ἄπταιστον καὶ κατὰ πολὺ τῆς οἰκείας δυνάμεως μειονεκτεῖσθε· πολιτεία δὲ μὴ διὰ πάντων ἐρρωμένη, ἀλλὰ βραχείᾳ γοῦν τινι μοίρᾳ σφαλεῖσα οὐκέτι ξυνεστάναι δόξειεν ἂν προσηκόντως, τοὐναντίον μὲν οὖν καὶ αὐτὴν ψεύδεσθαι τὴν ἐπωνυμίαν τὸ ἐντελῶς ἔχειν ἀφῃρημένη. ταῦτα δὴ οὖν ἅπαντα δράσαντες οὔ φασι δεῖν ὑμᾶς τὸ πραχθὲν εἰ καὶ δεινὸν εἴη σκοπεῖν, μόνην δὲ τὴν γνώμην καθ' ἣν εἴργασται C διερευνᾶν καὶ προσίεσθαι, καὶ διά τινων ἀφανῶν τεκμηρίων καὶ οἷον εἰκότων χωροῦντας, ἀναπλάττειν ταῖς ἐννοίαις εὐεργεσίαν ὑμῖν αὐτοῖς ἐντεῦθεν προσγεγενημένην, ἢ τῷ σαφεῖ μᾶλλον τῆς βλάβης καὶ τοῖς ἔργοις ἀποδεδειγμένῳ πιστεύειν αἱρεῖσθαι. ταῦτα γὰρ δὴ τὰ σοφίσματα καὶ πρὸ τῆς δίκης πολλάκις διαθρυλοῦντες παράγειν τοὺς πλείστους ἡγοῦντο. εἰ τοίνυν καὶ παρὰ τοὺς ἀγῶνας τοιαῦτα προσθεῖεν, γιγνωσκόντων, ὦ δικαστά, ὡς οὐ Ῥωμαΐ-

κὸν οὐδὲ δίκαιον τὸ μὲν ἐμφανὲς οὕτω καὶ προὖπτον ἀδίκημα παραλιπεῖν, ἀδήλοις δὲ μᾶλλον αἰτίαις ἄλλως αὐτοῖς μεμηχανημέναις ἐξαπατηθῆναι. οὐ γὰρ ἀνεκτέον αὐτῶν ὡς μὲν ἀπεκτόνασι τὸν ἄνδρα διαρρήδην φασκόντων, ὠφέλειαν δὲ μεγίστην ἐνθένδε τοῖς κοινοῖς πεπορίσθαι πράγμασι τερατευομένων. πῶς γὰρ ἂν τἀναντία ξυσταῖεν σφίσιν αὐτοῖς, ἢ πῶς τὴν πρᾶξιν δεινὴν ἀποκαλοῦντες ἐπαινεσόμεθα τὴν δράσασαν γνώμην, ὡς τοῦ ξυνοίσοντος ἐστοχασμένην; πάλαι γὰρ ἀλλήλοιν ἀποκεκριμένω τυγχάνετον ὠφέλεια καὶ παρανομία, ὠμότης τε καὶ δικαιοσύνη διεστηκότα καὶ ἄμικτα καὶ ὁμόσε χωρεῖν οὐπώποτε πεφυκότα. (a. C. 5.. Iustiniani) D

4. "Εἰ δέ γε καὶ γυμνὴν τὴν διάνοιαν ἐξεταστέον, φανήσονται καὶ ταύτῃ δύσνοι καὶ κάκιστοι, ὡς δὴ τὰ τοὺς Πέρσας ἀρέσκοντα βεβουλευμένοι· ὥστε οὐδὲ Ῥωμαίους ὀνομάζειν τούσδε τοὺς μιαιφόνους προσήκει οὐδὲ ὡς ὁμοφύλοις μετ' εὐνοίας διαιτητέον αὐτοῖς, ὅτι μὴ καθάπερ λίαν ἐχθίστοις, ἐπεὶ P. 1.. καὶ ἤδη τῷ κοινῷ τῆς φύσεως νόμῳ μεμερισμένοι τυγχάνουσι, κἂν μήπω τῷ παρ' ὑμῖν γεγραμμένῳ. τὸ γὰρ ἀντίπαλον καὶ ἀλλότριον τοῖς ἔργοις γνωρίζεσθαι χρὴ οὐ τῷ πορρωτέρω τετάχθαι. ὁ δέ, οἷς ἂν ἥσθεῖεν οἱ δυσμενεῖς, ταῦτα προὔργου ποιούμενος, πολέμιος ἂν κριθείη δικαίως, κἂν ξυμπαρῇ κἂν ξυστρατεύοιτο κἂν ὡς ἐγγύτατα τῷ γένει ξυνῆπται. ἀλλὰ γὰρ οὐ φίλον οὐδὲ βασιλέα φασὶν ἀπεκτονέναι, πολέμιον δὲ μᾶλλον καὶ τύραννον καὶ τὰ Περσῶν ἐπουδακότα. πρὸς τοῦτο γὰρ ἐληλάκασι παρανομίας, ὡς μηδισμοῦ διώκειν τὸν κείμενον· καὶ περιέστηκε τῷ δειλαίῳ μηδὲ τεθνηκότι τῶν δεινῶν ἀπηλλάχθαι, ἀλλὰ νῦν προδοσίας φεύγειν γραφὴν ὅτε μηδὲν B

O.555 asti- πλέον ἕξει νικῶν. ποῖος δὲ νόμος ἢ παρ' ὑμῖν ἢ
ani 29 παρὰ βαρβάροις ἐπαινέσειεν ἂν κατηγορίαν ἐν ὑστέ-
ρῳ τῆς κρίσεως γιγνομένην; κριταὶ γὰρ αὐτοὶ καὶ
δυσμενεῖς καὶ κατήγοροι καὶ ἅμα πάντα καταστάν-
τες, τιμωρίαν μὲν ἀνεξετάστως τῷ μηδὲν ἡμαρτη-
κότι προσήγαγον, ὁποίαν εἰκὸς ἦν ὑποσχεῖν τὸν ὡς
ἀληθῶς τυραννίδος ἁλόντα. ἥκουσι δὲ νῦν, δέον
ἀπολογεῖσθαι, καταιτιώμενοι τὸν ἠδικημένον· καίτοι
ἐχρῆν αὐτοὺς πρὶν ἀνελεῖν, εἴ γε ταῖς αἰτίαις ἐπε-
ποίθεσαν, ἐμφανῶς τὴν πρὸς αὐτὸν ἐνστήσασθαι
δίκην, καὶ πρώτους ἐγκαλεῖν, ἀλλὰ μὴ νῦν κατηγο-
C ρημένους ἀντεγκαλεῖν. εἰ γὰρ τοῦτο πᾶσιν ἐφεῖται,
79 τί δήποτε ἄρα μὴ καὶ ἡμεῖς τούσδε τοὺς μιαιφόνους
αὐτοχειρίᾳ διεχρησάμεθα; παρὸν ἡμῖν, πρὸς δίκην
τυχὸν ἀγομένοις, ἀντεπιφέρειν αὐτοῖς καὶ τεθνη-
κόσι τὰ παρ' αὐτῶν πρότερον ἡμαρτημένα, καὶ ταύτῃ
πειρᾶσθαι δεικνύειν τὸ εὐλόγως ἀνθημαρτηκέναι;
μᾶλλον γὰρ ἡμεῖς ἐπὶ σαφέσι τοῖς προϋπηργμένοις
χαλεπήναντες, ἐνδίκως ἂν ἠμυνόμεθα τούτους, καὶ
τὰ τῆς ἀντιλογίας προσηκόντως ἐχώρει. ἀλλ' οὐδὲ
πρὸς ἡμῶν οὐδὲ πρὸς ἑτέρων τὰ τοιάδε τολμᾶσθαι
χρεών, εἴ γε κατὰ τοὺς πατρίους ὑμῖν νόμους πολι-
D τευτέον. φέρε γὰρ εἰ τοῖς βουλομένοις ἐξῇ τοὺς οἰ-
κείους δυσμενεῖς οὕτω πως ἀθρόον ἀποκτιννύναι,
καὶ τοῦτο πολλάκις γιγνόμενον μέχρι τοῦ ἐπ' ἄπει-
ρον ἤδη τολμᾶσθαι προσενεχθείη, πῶς ἂν ὑμῖν τὸ
γοῦν κρίνειν ἀδεῶς ἐν βεβαίῳ διαμένοι; ἁπάντων
γὰρ ἀναιρούντων τε καὶ ἀναιρουμένων καὶ ταῖς ἀν-
τεπιβουλαῖς χρῆσθαι κατ' ἀλλήλων θαρρούντων, οὐκ
ἂν φθάσοιτε τὰς τιμωρίας ἐπάγοντες, ἀλλὰ διαφθα-
ρεῖται μὲν εἰκῇ τὸ ὁμόφυλον, προαφαιρήσει δὲ τὸν

τῆς ἐξετάσεως καιρὸν ἢ τῶν ἀντιδρώντων ἑκάστοτε παρανομία. a. C.555 Iustiniani 29

5. "Καίτοι τί δεινὸν εἶναί φασιν, εἴπερ ἑνὸς ἀνδρὸς καὶ τούτου προδότου διαφθαρέντος ἅπαν ὑμῖν τὸ ξυμμαχικὸν σωφρονέστερον καθεστήξει; προδοτῶν μὲν οὖν ὡς ἀληθῶς καὶ πλείστων ὅσων ἀπολλυμένων, εἰ καὶ μηδὲν ἕτερον τῶν ὠφελίμων τοῖς P. 112 ἀνῃρηκόσι προσγένοιτο, ἀλλ' αὐτό γε τὸ τοὺς τοιούτους θνήσκειν ἀρκούντως ἔχει πρὸς ὄνησιν. εἰ δὲ προδοσίας μηδαμῶς ἀποδεδειγμένης ἠφάνισταί τις ἀθρόον τῶν σφόδρα λογίμων καὶ τετιμώρηται, καθάπερ διαφανῶς ἐγνωσμένος, πῶς ἂν ὑμῖν ἐνθένδε τὸ ξυμμαχικὸν σωφρονήσειε; πῶς δὲ οὐκ ἂν μᾶλλον καὶ διαλύσαιεν τὰ ξυγκείμενα, εἴ γε κοινωνοὺς ὑμᾶς ὑπάρχειν τοῦ μιάσματος οἰηθεῖεν; λογιζόμενοι ὡς εἴ γε πρὸς τοὺς οἰκειοτάτους ὑμῖν καὶ ξυνήθεις φειδοῦς ἥκιστα μέτεστι καὶ δικαιοσύνης, σχολῇ γε ἂν βέβαιοι διαμενεῖτε πρὸς τοὺς ἀλλογενεῖς καὶ ὀθνείους καὶ τῆς προσπεσούσης χρείας οὐ περαιτέρω γνωριζομένους. ἀλλ' οὔτε μετειλήφατε τοῦ βουλεύματος οὔτε τὸ τούτοις ἰδίᾳ προσκείμενον ἄγος ἐπὶ τὸ B ξύμπαν τῶν Ῥωμαίων ἔθνος ἀναδραμεῖται· οὔτε τὴν πάλαι περὶ ὑμῶν κρατήσασαν δόξαν, ὡς ἄρα πιστοὶ τὰ ἤθη καὶ βέβαιοι καθεστήκατε καὶ δικαίοις χρῆσθε νόμοις, ἡ τούτων νικήσει κακοδαιμονία. τοὐναντίον γὰρ καὶ ἡγούμεθα τὸ παρὸν δικαστήριον ὑπὲρ τῆς κοινῆς τοῦ γένους εὐκλείας ξυνεστηκέναι, ὅπως ἂν ἅπαντες ἄνθρωποι γνοῖεν ὡς οὐδαμῶς ἦν ὑμῖν βουλομένοις τοιαῦτα τοὺς Κόλχους δεινὰ καὶ βίαια πεπονθέναι. νῦν μὲν γὰρ ἴσως ἐφ' ἑκάτερα τῶν πολλῶν φοιτῶσιν αἱ γνῶμαι, καὶ τὰ τῆς δοκήσεως ἐπ' ἀδήλῳ φέρεται τρόπῳ. ἐκ δὲ τῆς σῆς, ὦ

a. C. 555 Iustiniani 29 δικαστά, κρίσεως τούτων ὅσον οὔπω διαφθειρομένων, γενήσεται καὶ νῦν γνωριμώτερον ὡς οὐ προδόται τῶν οἰκείων, ἀλλὰ σωφρονισταὶ τῶν ἀδικούντων εἶναι πεφύκατε. εἰ γὰρ καὶ τοῖς λόγοις ἀπολογεῖσθαι δοκοῦσιν, ἀλλ' ἔργῳ κατηγοροῦντες σφῶν αὐτῶν ἀποδείκνυνται καὶ τὸ παράλογον τῆς μιαιφονίας ὁμολογοῦντες. τὸ μὲν γὰρ βασίλειον γράμμα παρακελεύεται τοῖς στρατηγοῖς στέλλειν κατὰ τὸ Βυζάντιον τὸν Γουβάζην, πειθοῖ μὲν τὸ πρῶτον, ἀνηκουστοῦντα δὲ καὶ πρὸς ἀνάγκης, ἐναντιούμενον δὲ καὶ βιαζομένοις· ἀποκτεῖναι δὲ μηδαμῶς πρὶν ἂν ἐκεῖνος ἐς τελεωτάτην ἀπόστασιν ἀφιγμένος τὰ πολεμίων δρᾶν προαχθείη. οἱ δέ, καὶ ταῦτα μήτε στρατηγοὶ καθεστῶτες μήτε ἄλλως ἐφειμένον αὐτοῖς ἀδεῶς ἃ βούλοιντο πράττειν, παραχρῆμα τὸν δείλαιον ἀπεκτόνασιν, οὔτε κατὰ τὸ Βυζάντιον αὐτὸν γενέσθαι προτρέψαντες οὔτε μὴν ὥσπερ ἀπειθοῦντι μετρίαν γοῦν ἀνάγκην ἐπαγαγόντες οὔτε τὴν ἀρχὴν ἐς πεῖράν τινα καταστάντες, εἴπερ ὅτῳ δὴ οὖν τρόπῳ τοῦ προστάγματος ὀλιγωρήσει. καίτοι μεγαλαυχοῦσι καὶ βρενθύονται, ὡς τὰ βασιλεῖ δοκοῦντα διανύσαντες, οἵγε καὶ τὴν ἐκείνου περιορῶντες πεφήνασι γνώμην, ψευδέσι τε χρῆσθαι πρότερον κατὰ Γουβάζου διαβολαῖς τετολμηκότες, καὶ τἀναντία τῶν εὖ διατεταγμένων αὐτεπαγέλτως ἐξειργασμένοι, καὶ τὸ δὴ πάντων παρανομώτερον

C

D

V. 80 οὐδὲ τὴν ἐπιστολὴν ἐπιδείξαντες, ὥστε τῶν ἐγγε-
P. 113 γραμμένων γνωσθέντων τὸ πρακτέον ἑλέσθαι.

6. "Πῶς οὖν οὐ παντὸς ὀλέθρου καὶ τιμωρίας ὑπέρτερα πάσης τὰ τετολμημένα δόξοιεν ἄν; ἀδικία γὰρ καὶ κατ' ἄλλου του γιγνομένη φευκτόν τι καὶ ἀπειρημένον, μάλιστα δὲ εἰ φίλον καὶ εὔνουν καὶ

a.C. 555 Iustiniani 29

πολλάκις προκεκινδυνευκότα τῶν πέλας εἶναι ξυμβαίη τὸν ἠδικημένον. τίς γὰρ ὁ τοῦ Περσῶν πλούτου καὶ τῶν προτεινομένων ἁπάντων τὴν πρὸς ὑμᾶς εὔνοιαν ἀλλαξάμενος; τίς ὁ τὴν Χοσρόου φιλίαν ὑπεριδών, καὶ παρὸν ἐκεῖσε πρὸς μεγίστην εὐδαιμονίαν χωρῆσαι τὸ παρ' ὑμῖν ἔλαττον ἀγαπήσας; τίς ὁ πρότερον τῆς χώρας ὑπὸ Μήδων ἐπὶ πλεῖστον B χρόνον πιεζομένης καὶ τῆς παρ' ὑμῶν ἐπικουρίας ἔτι μελλούσης, μεταστὰς ἀθρόον καὶ μετοικισάμενος ἐπ' αὐτὰς δήπου τὰς ὑπερβολὰς τοῦ Καυκάσου ἐνταῦθά τε θηριώδη τινὰ δίαιταν μᾶλλον ὑποστὰς μετιέναι ἢ προσηκάμενος τὴν τῶν πολεμίων φιλοφροσύνην καὶ καταβὰς οἴκοι μένειν ἐν εὐπαθείᾳ; τίς δὴ οὖν οὗτος; ἐκεῖνος ὁ μηδὲν τῶν δεινῶν, ἥν τι παθεῖν ὑπὲρ ὑμῶν ἔδει, κατορρωδήσας, Γουβάζης, ὦ νόμοι καὶ δίκη, ὁ μηδίσας, ὁ τύραννος, ὁ τὰ Ῥωμαίων καταπροέμενος· καὶ τέθνηκεν ὑπὸ Ῥουστίκου τε καὶ Ἰωάννου, βδελυρῶν οὕτω καὶ καταπτύστων ἀνθρώπων, ἀνὴρ βασιλεύς· ᾧπερ εἰ καὶ τοιούτου μετῆν ὡς ἀληθῶς ἐπικλήματος, ἀλλ' οὐχ ὑπὸ τού- C των αὐτὸν ἐχρῆν εὐθὺς ἀνηρπάσθαι, κριθέντα δὲ μᾶλλον σχολαίτερον ὑπὸ τοῦ κοινοῦ Ῥωμαίων τε καὶ Κόλχων βασιλέως, ἅτε δὴ μεγίστου καὶ τῷ παντὶ κρείττονος, προσηκόντως τιμωρηθῆναι. ἀλλ' ἐπειδὴ ταύτης δὴ τῆς μιαιφονίας αἰτία μὲν αὐτοῖς ἔνδικος οὐχ ὑπῆν, δυσμένεια δὲ μᾶλλον παράλογος ὑπὸ βασκανίας ἐς τοῦτο κακοῦ προηγμένη, εἰκότως εὐβουλίᾳ μὲν καὶ λογισμῷ σώφρονι καὶ τῇ τοῦ ξυνοίσοντος ἐπιγνώσει οὐδένα παρῆκαν καιρόν, μόνῳ δὲ τῷ αὐθαδιζομένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι πολλὴν παρέσχον αὐτονομίαν, καὶ τὸ μελετηθὲν ἐκ πλείστου καὶ ὠδινόμενον οὕτω πως ἐκ τοῦ παρείκοντος ἔδρα- D

a. C. 555 Iustiniani 29 σαν, ὡς μήτε τὴν ἀκμὴν τοῦ παρόντος χρόνου φυλάξασθαι μήτε μὴν διανοηθῆναι. πολέμου γὰρ τοσούτου περιεστηκότος, ἐμφρόνων μὲν ἀνδρῶν ἔργον ἂν ἦν καὶ τὰ ξένα καὶ οὔπω γνώριμα τῶν ἐθνῶν εὐνοίᾳ προσάγεσθαι. οὗτοι δὲ καὶ τοὺς πρῴην οἰκειοτάτους ἐκπολεμῶσαι Ῥωμαίοις περὶ πλείστου πεποίηνται· καὶ τό γε ἧκον ἐς αὐτοὺς προσκεχωρήκαμεν τοῖς ἐναντίοις, ἐπιβουλεύομεν τοῖς πάλαι φιλτάτοις, ἡ χώρα Περσῶν, τὰ πατρῷα νόμιμα φροῦδα, πάντα ξυμβέβηκεν ἀτεχνῶς, ὁπόσα στάσεώς τε καὶ
P. 114 ταραχῆς ἐμφυλίας γνωρίσματα μανιώδη. οὐκοῦν ὡς τούτων ἁπάντων ἔργῳ προελθόντων καὶ πανταχόθεν ἡμῖν τῶν πραγμάτων διαρρυέντων, οὕτω ποινὰς ἀξίας αὐτοῖς, εἴπερ ἄρα καὶ εὑρεῖν ἔνεστιν, ἐπακτέον. εἰ γὰρ καὶ ἡμεῖς πιστοὶ πρὸς Ῥωμαίους καὶ βέβαιοι τυγχάνομεν ὄντες, ἀλλ' οὐ δίκαιον, ὦ δικαστά, τῆς ἡμετέρας ἐπιεικείας τούτους ἀπόνασθαι, καὶ ἧττόν τι παθεῖν ἢ καθ' ὅσον ἡ τοῦ ἐγχειρήματος βούλεται φύσις."

7. Οὕτω δὲ τῶν κατηγόρων τοῖς ἐπικλήμασι χρησαμένων τὰ πλήθη τῶν Κόλχων, αὐτοῦ γὰρ ξυνήθροιστο, ἐπαΐειν μὲν οὐ μάλα ἠδύναντο τῆς τῶν λόγων ἀπαγγελίας ἢ τῆς τῶν νοημάτων δεινότητος· ὅμως δὲ τὸ χρῆμα γιγνώσκοντες ἐφ' ᾧπερ ἕκαστα
B ἐτύγχανε προηγμένα, ἀγωνιζομένοις τε αὐτοῖς ἔτι ξυνεμόχθουν τῇ προθυμίᾳ καὶ ξυμπεριήγοντο ταῖς μεταβολαῖς τῶν σχημάτων· οὕτω τε τὰς ψυχὰς διέκειντο ὡς ἂν αὐτοῖς ἐκεῖνοι φρονήματος ἔχειν ἢ οἴκτου ἐδόκουν. καὶ εἶτα ἐπειδὴ τοῦ ῥητορεύειν ἐπέπαυντο, αὐτίκα οἵγε ἐπισχόντος βραχὺ τοῦ δικαστοῦ καὶ βουλευομένου κατεμέμφοντο ἡσυχῇ καὶ ἠγανάκτουν ὅτι δὴ μὴ εὐθὺς οἱ ἐναντίοι ἀνῄρητο·

τοῦ δὲ παρακελευσαμένου καὶ λέγειν αὐτοῖς ἅττα a. C. 5 Iust niani ἂν ἐθελήσαιεν, τότε δὴ καταβοᾶν ἐς τὸ ἐμφανὲς ἵεντο, καὶ ἤδη ὑπετονθόρυζον, καὶ ἤδη ἡ φωνὴ ἐς τὸ σαφέστερον διεκρίνετο. ἀλλ' οἱ πρὸς τὸ κατηγορεῖν τεταγμένοι ταῖς χερσὶ καταπαύοντες ἀνέκοψαν τὴν περαιτέρω φορὰν τοῦ θορύβου. καὶ τοίνυν σιγῆς V. γεγενημένης, παρελθὼν καὶ Ῥούστικος ἐν μέσῳ ἅμα C Ἰωάννῃ τῷ ἀδελφῷ ἔλεξε τοιάδε· "Μετήγαγε μὲν ἡμῖν ἀθρόον καὶ περιέστησεν ἐς τοὐναντίον τὰς τῶν δοκηθέντων ἐκβάσεις ἡ τύχη, καὶ δέον μεγίστων γερῶν ἀπόνασθαι πάρεσμεν θανάτου φευξούμενοι δίκην· πλὴν ἀλλ' ἥδιστος ἡμῖν ὁ ἀγὼν καταφαίνεται καὶ πλείστης ὅσης μεγαλαυχίας ἀνάπλεως. γενήσεται γὰρ ἅπασι γνωριμώτερον ὡς μόνοις ἡμῖν διήνυσται τὸ προδότην ἄνδρα καὶ τύραννον ἀπολωλέναι καὶ τὰ βασιλέως πράγματα τὸ μέρος διασεσῶσθαι· ὥστε εἰ καὶ τεθνάναι ξυμβαίη, στέρξοιμεν ἂν καὶ ὡς ἅσμενοι καθάπερ τι προσφιλὲς καὶ αὐθαίρετον τὸ ἀνιαρὸν καὶ ἠναγκασμένον· καὶ οἰχησόμεθα κάλλιστον D τοῦτο πρὸς εὐθυμίαν ἐφόδιον ἔχοντες, τὸ γιγνώσκειν ἐν ἡμῖν αὐτοῖς ὡς τοὺς Ῥωμαίους κρατοῦντας ἔτι τῶν Κόλχων καταλελοίπαμεν καὶ οὔπω παρ' ἑτέρων ἀφῃρημένους. εἰ μὲν γὰρ Περσικὸν ἦν τὸ παρὸν δικαστήριον, καὶ παρ' ἐκείνοις ἐκρινόμεθα, πάντως ἂν ἡμῖν ἀρνήσεώς τε προσέδει τῶν εἰργασμένων, καὶ δεδιέναι παρῆν τοὺς ἐλέγχους, καὶ δεδειγμένοις τυχὸν διαπορεῖν ὁποίοις ἂν καὶ χρησαίμεθα λόγοις ὑπὸ δικασταῖς πολεμιωτάτοις, καὶ τῷ πραχθέντι λίαν ἀχθομένοις τῷ τῆς ἐλπίδος ἡμαρτηκέναι. Ῥωμαίου δὲ ἀνδρὸς διαιτῶντος, τίνος ἂν χάριν ἡμῖν τὸ γεγενημένον ἀπαρνηθείη; τί δὲ καὶ P. 1 ἀπολογεῖσθαι χρεὼν παρ' ὑμῖν αὐτοῖς, ἀνθ' ὧν

A.C. 555 Iusti- ὑμᾶς εὖ πεποιήκαμεν τὸν τύραννον ἀνελόντες;
niani 29 οὐδὲ γὰρ μεταδοτέον αὐτῷ τοῦ σεμνοῦ τῆς βα-
σιλείας ὀνόματος, ἀλλοτριωτάτῳ διὰ τῶν ἔργων
φανέντι· καίτοι μέγα κεκράγασιν οἱ κατήγοροι καὶ
δεινὰ τετολμῆσθαί φασιν, ὡς δὴ βασιλέως ἀνῃρη-
μένου· χρὴ δὲ οὐ τῇ πόρπῃ καὶ τῷ χλαμυδίῳ καὶ
τοῖς ἐκτὸς φαινομένοις ἐγκαλλωπίσμασι ταύτην προσ-
νέμειν τὴν ἐπωνυμίαν, ἀλλ' ἔνθα τὸ δίκαιον ἐνερ-
γὸν καὶ τοῦ προσήκοντος μὴ ὑπερφρονοίη τὸ ἐφιέ-
μενον καὶ μόνοις τοῖς καθεστῶσι τὸ φρόνημα τῆς
ψυχῆς ἀναμετροῖτο. εἰ μὲν οὖν τοιοῦτον ἀπεκτόνα-
B μεν ἄνδρα, παράνομα τετολμήκαμεν, ἔνδικος ἡ κα-
τηγορία, εἰκότως βίαιοι καὶ ἀλαζόνες καὶ μιαιφόνοι
παρὰ τῶν Κόλχων ὀνομαζόμεθα. εἰ δὲ τούτων μὲν
ὡς πορρωτάτω τοῖς τρόποις ἀπῴκιστο, μέτριον δὲ
οὐδὲν ἦν αὐτῷ βεβουλευμένον, ἀλλ' ἢ τοὺς Πέρσας
καθ' ἡμῶν λαθραίως ἐπάγειν καὶ καταπροέσθαι τὴν
χώραν ἐκείνοις· πῶς οὐ μᾶλλον ἐχρῆν φθάσαι τὸν
τοῦ δεινοῦ καιρὸν τῷ προτερήματι ἢ τὴν βασίλειον
στολὴν αἰδεσθέντας ὑπὸ τοῖς πολεμίοις γενέσθαι;
τοῖς γὰρ κίνδυνόν τινα μελετώμενον ὑπό του προε-
γνωκόσιν, ἐνὸν μὲν ἐκκλῖναι τὸ παραυτίκα τὴν ἐπι-
βουλὴν καὶ τὸ παρὸν ἁμωσγέπως παρακρουσαμέ-
νοις σχολαίτερον ἐν ὑστέρῳ τοῖς προσπεσοῦσιν ἁρ-
C μόσασθαι, πολλὴ ὠμότης προεπιφέρειν τὴν τιμωρίαν
καὶ μὴ μᾶλλον ἀρκεῖσθαι τῇ τοῦ ἀντεπιβουλεύειν
τυχὸν ἐξουσίᾳ. ἔνθα δέ, τῶν βεβουλευμένων ἐς ἔρ-
γον ἀχθέντων, οὐδὲν ἔτι λείπεται πρὸς ἐπικουρίαν,
ἀλλ' ἄρδην εὐθὺς ἅπαντα οἴχεται, ξυναφαιρουμένων
τῇ κοινῇ σωτηρίᾳ καὶ αὐτῶν δήπου τῶν ὑπὲρ ταύ-
της ἐλπίδων, ἐνταῦθα τὸ τάχος αἱρετέον τοῖς ἔμ-

φροσι, καὶ ὅπως μηδὲν ὁτιοῦν τῶν ἀνηκέστων πεί- a. C. 555 Iustiniani 29
σονται παρασκευαστέον.

8. "Εἰ τοίνυν καὶ διαρραγεῖεν οἱ κατήγοροι,
μίασμα βοῶντες καὶ ἄγος καὶ μιαιφονίαν καὶ τοῖς
τοιούτοις ὀνόμασιν ἐκτραγῳδοῦντες τὸ γεγενημένον,
καὶ πρὸς μόνον τὸ πραχθὲν ἀφορᾶν ἐκβιαζόμενοι·
ἀλλὰ σὸν ἔργον, ὦ δικαστά, μνήμην ποιεῖσθαι τῶν
προϋπαρξάντων, τὰς αἰτίας ἀναθεωρεῖν δι' ὧν ἐπὶ
τὴν πρᾶξιν ὡρμήθημεν, καὶ τῷ εὐλόγῳ τοῦ ἐγχει-
ρήματος τὸ εὔνουν διαγιγνώσκειν τῆς γνώμης. ἐπεὶ
καὶ πολλαχοῦ κατὰ τὰς πόλεις ἀγύρτας τινὰς τυχὸν
ἢ καὶ λωποδύτας ἢ καὶ ἄλλο τι τῶν ἀνοσίων ἔργων
πεπλημμεληκότας, ὁρῶντες νῦν μὲν τῆς κεφαλῆς
ἀφαιρουμένους, νῦν δὲ τὼ πόδε διατεμνομένους, οὐ
τοῦ φαινομένου κατηγοροῦμεν, καὶ ταῦτα λίαν ἀπάν-
θρωπον εἶναι δοκοῦν, οὐδὲ τοῖς ἄρχουσιν, οἷς τὰ
τῶν τιμωριῶν τούτων ἀνεῖται, νεμεσῶμεν, ἐναγεῖς P. 116
αὐτοὺς καὶ μιαροὺς καὶ κακοδαίμονας ἀποκαλοῦντες,
ἀλλὰ τὰ πρότερον παρ' ἐκείνων τετολμημένα λογι-
ζόμενοι, καὶ ὡς ποινὰς τίνουσι τῶν ἀδικημάτων ἐπι- V. 82
μνησθέντες, ἡδόμεθα τῇ ὠμότητι. οὐ γὰρ εἰκῇ τὸ
κολάζον ἐξεύρηται, τοῦ ἁμαρτάνοντος ἥκιστα παυο-
μένου. ἀνῄρηται τοίνυν πρὸς ἡμῶν ὁ Γουβάζης·
καὶ τί δεινόν, εἰ προδότην ἄνδρα καὶ πολέμιον ἀπε-
κτόναμεν; καίτοι τὴν τοῦ δυσμενοῦς ἐπωνυμίαν οἱ
κατήγοροι διευκρινήσαντες οὐ τῷ πορρωτέρω ταχ-
θέντι προσήκειν φασίν, ἀλλ' ὅτῳ ἄν, εἰ καὶ ὁμό-
φυλος ᾖ, τὰ τοῖς ἐναντίοις κεχαρισμένα σπουδάζοιτο·
καὶ τήνδε τὴν δόξαν καὶ ἡμεῖς ἀρίστην ἡγούμεθα
καὶ ἀληθεστάτην καὶ οἵαν τῆς τοῦ πράγματος φύ-
σεως ἐστοχάσθαι. οὐκοῦν, ἑκατέρους οὕτως ἀρέ-
σκον, φέρε πολέμιον ἀποδείξωμεν τὸν Γουβάζην τῷ B

a.C. 555 Iustiniani 29 ἐξολισθήσας καὶ πανταχοῦ περιηγμένος καὶ παρ'
αὐτοὺς ἀφῖκται τοὺς Πέρσας, ὡς ἄρα στρατιὰ ἑτέρα
Ῥωμαϊκὴ πρὸς τῷ Νεόκνῳ ποταμῷ παραγέγονε καὶ
ὅσον οὔπω τοῖς προτέροις ἀναμεμίξεται. ἀφασίᾳ δὴ
οὖν ἅπαντες εἴχοντο, δεδιότες εἰ μέλλοιεν τοσούτοις
ἤδη πόνοις τετρυχωμένοι πρὸς νέους ἄλλους καὶ
C ἀκμῆτας παρατάττεσθαι πολεμίους. ὁ δὲ Ναχοραγὰν
οὐδέν τι μελλήσας καὶ ἴλην τινὰ μετρίαν ἐκ τῶν
Περσικῶν ἔστειλε ταγμάτων ἀνὰ τὴν ἀτραπὸν ἐκεί-
νην, καθ' ἣν ᾤετο διαβήσεσθαι τοὺς περὶ ὧν ἐτύγ-
χανε τῇ φήμῃ ἐξηπατημένος. οἱ δὲ παραγενόμενοι
σπουδῇ τε καὶ ἀγρυπνίᾳ οὐκ ἐν δέοντι ἐχρῶντο.
καταλαβόντες γὰρ τὰ ἐπίκαιρα τῶν χωρίων ὑπε-
κρύπτοντο αὐτοῦ καὶ ἀνέμενον τοὺς οὐδαμῶς
παρεσομένους, γνώμην ἔχοντες ἀφυλάκτως αὐτοῖς
V. 72 τῷ ἀπροσδοκήτῳ τυχὸν προϊοῦσιν ἐπιπεσεῖσθαι καὶ
τὸ τάχος ἀνακόψαι τῆς πορείας, ἕως οἱ ἐν τῷ ἄστει
ἐκπολιορκηθεῖεν. οὕτω μὲν οὖν δύναμις οὐ λίαν
D ἐλαχίστη τῶν Περσῶν μάτην ἠσχόλητο, τοῦ ἄλλου
πλήθους ἀφῃρημένη. εὐθὺς δὲ ὁ Ναχοραγὰν ἐξῆγε
καὶ ὧς τὸν στρατόν, φθάσαι τὴν ἐπήλυσιν δῆθεν
βουλόμενος τῶν οὐδαμῶς παρεσομένων, καὶ πολλῷ
ξὺν φρονήματι κατὰ τῶν Ῥωμαίων ἐχώρει, ἐπικομπά-
ζων ἀναφανδὸν καὶ ἐπομνύμενος ἦ μὴν αὐθημερὸν
τὴν πόλιν ἅπασαν αὐτοῖς ἀνδράσιν ἐμπρῆσαι. ἐπε-
λέληστο γάρ, ὡς ἔοικεν, ὑπὸ αὐθαδείας ὁ ἔμπληκτος
ὡς ἄρα ἐπὶ πόλεμον ᾔει, πρᾶγμα οὕτως ἀφανές τε
καὶ ἀδηλότατον καὶ πολλὰς ἐπιδεχόμενον ἐφ' ἑκάτερα
ῥοπὰς καὶ μεταβάσεις, μάλιστά τε πάντων θείας
τινὸς καὶ ὑπερτέρας ἀνάγκης ἀπηρτημένον, ὅσον
P. 101 καὶ σμικρὸν οὐδὲν ἐν ταὐτῷ γίγνεται, ἀλλ' ἔθνη
τε ἀνθρώπων μυρία καὶ πόλεις συχναὶ καὶ πολιτεία

ξύμπασα οὕτω παρασχὸν ἀνακινεῖται καὶ διαταράττεται, a. C. 555 Iustiniani 29 καὶ τὰς ὑπὲρ τῶν ὅλων ἐλπίδας σαλεύει. ὁ δὲ ἐς τοσοῦτον ἐπῆρτο ἀλαζονείας ὡς καὶ τοῖς ἐργοπόνοις καὶ ὑπηρέταις, οἳ δὴ ἀνὰ τὴν ὕλην σκεδαννύμενοι τὰ δένδρα κατέτεμνον, τυχὸν μὲν ξυλείας ἕνεκα, τυχὸν δὲ καὶ ἐπισκευῆς τῶν πολεμικῶν μηχανημάτων, τούτοις δὴ οὖν ἅπασιν ἐκέλευεν, ἐπειδὰν καπνὸν ἀρθέντα θεάσοιντο, τοὺς δὲ γιγνώσκειν ὡς πῦρ ἤδη τῷ τῶν Ῥωμαίων περιβόλῳ εἴη ἐμβεβλημένον, καὶ μεθεῖναι μὲν τὰ ἐν χερσὶν ἔργα, δρομαίους δὲ ὡς αὐτὸν ἥκειν καὶ ξυνεπιβάλλειν τὴν φλόγα, ὡς ἂν ῥᾳδίως ἅπαντα πυρποληθείη. καὶ ὁ B μὲν τοιαῦτα ἐφ' ἑαυτῷ βρενθυόμενος εἴχετο τῆς ἐφόδου. Ἰουστῖνον δὲ τὸν Γερμανοῦ, οὐ γὰρ ᾤετο ἐν τῷ τότε τὸν Ναχοραγὰν παρέσεσθαι, ἔννοιά τις θεόθεν, οἶμαι, ἐσῆλθε πρός τινα νεὼν τῶν παρὰ Χριστιανοῖς σεμνοτάτων, οὐ πόρρω τῆς πόλεως ἀφεστηκότα, παραγενέσθαι ὡς τάχιστα καὶ ἐπιθειάσαι. καὶ τοίνυν ἀπολεξάμενος ἐκ τῆς Μαρτίνου καὶ τῆς οἰκείας δυνάμεως ὅ τι καρτερόν τε καὶ μαχιμώτατον καὶ πεντασχιλίους ἱππότας ἀγείρας, ἅπαν- C τάς τε ὡς ἐς πόλεμον ἄριστα ἐξοπλίσας, ὁ δὲ ξὺν ἐκείνοις ἀπήλαυνε, τῶν τε σημείων οἱ ἑπομένων καὶ τῆς ἄλλης στρατηγικῆς εὐκοσμίας. οὕτω δὲ ξυνενεχθέν, οὔτε οἱ Πέρσαι κατεῖδον τούτους πορευομένους, οὐ μὲν οὖν οὐδὲ οἱ ἀμφὶ Ἰουστῖνον ἐκείνους ἐπιφοιτῶντας, ἀλλ' ἑτέρωθεν γὰρ ἀφιγμένοι, ἀθρόον τῷ περιβόλῳ προσέβαλλον, πλείονί τε ἢ πρότερον τοξείᾳ ἐχρῶντο, ὡς οὕτω δὴ καὶ μᾶλλον τοὺς Ῥωμαίους ἐκπλήξοντες καὶ τάχιστα τὴν πόλιν ἁρπασόμενοι.

25. Τοιγάρτοι βέλη ἐφέρετο ἅμα συχνά, καὶ εἶτα D

a. C. 555 Iustiniani 29 ἕτερα καὶ ἄλλα ἐπὶ τούτοις ἅπαντά τε τὸν μεταξὺ ἀέρα ἐπεκάλυπτον τῇ ξυνεχείᾳ, ὥσπερ ἀλλήλοις ξυμπεφυκότα. εἴκασεν ἄν τις τὸ χρῆμα νιφετῷ μεγάλῳ ἢ χαλάζῃ πολλῇ ξὺν βιαίῳ πνεύματι καταρραγείσῃ. ἄλλοι δὲ τάς τε μηχανὰς ἐκίνουν καὶ βέλη πυρφόρα ἠκόντιζον, ἔς τε τοὺς καλουμένους σπαλίωνας ὑπεισδυόμενοι πελέκεσι κατὰ τοῦ τείχους ἐπεφέροντο, ὡς ξύλινόν τε ὂν καὶ ταύτῃ ῥᾳδίως διατεμνόμενον. οἱ δὲ τὸ δάπεδον διορύττειν ἐπειρῶντο καὶ τῆς πρώτης βάσεως ἐφικνεῖσθαι, οὕτω τε ἀνατρέπειν καὶ διασπαράττειν τὸ ξυμπεπηγὸς καὶ ἐνηρμοσμένον. ἀλλὰ γὰρ καὶ οἱ Ῥωμαῖοι, ἔς τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις ἑστῶτες, ἀντεῖχον ξὺν προθυμίᾳ καὶ ἀπεμάχοντο, ὥσπερ τῇ πείρᾳ δεικνύναι βουλόμενοι τὸ μὴ χρῆναι αὐτοῖς ἑτέραν δύναμιν προσγενέσθαι. ἥ τε τοῦ Μαρτίνου ἀπάτη ἐν αὐτῷ
P. 102 δὴ τῷ ἔργῳ διεφάνη ὡς χρήσιμός τε ἦν καὶ ἐνεργοτάτη. ἅπαντες γὰρ ἀφειδῶς διεπονοῦντο, οὐδένα ὅντινα τρόπον ἀμυντήριον μεθιέντες. δόρατα μὲν γὰρ πολλὰ ἐκ τοῦ μετεώρου ἀκοντιζόμενα τοὺς πολεμίους ἐτίτρωσκεν, ἅτε δὴ πλήθει γυμνῷ ἐρυμάτων προσπίπτοντα καὶ οὐδὲ ἐνὸν ἑτέρωθι φέρεσθαι, λίθοι δὲ ἁμαξιαῖοι κατὰ τῶν σπαλιώνων ἐρρίπτοντο τὰ πλέγματα καταγνύντες. μείονές τε ἄλλοι διασφενδονώμενοι τὰ κράνη τῶν Μήδων καὶ τὰς ἀσπίδας κατέθραυον, πελάζειν τε αὐτοῖς ἐν χρῷ τῷ τείχει οὐ μάλα ἐφίεσαν, βιαιότερον ἐνοχλοῦντες. τῶν δὲ
V. 73 ταῖς ἀκάτοις, ἧπερ μοι ἤδη ἐρρήθη, ἐφεστηκότων, οἱ μὲν τόξοις χρώμενοι πλείστους ἐσίνοντο, ἅτε
B ἄνωθεν βάλλοντες, οἱ δὲ τῶν μηχανῶν δαιμονέστατα ἥπτοντο, τά τε ὑπόπτερα ἐκεῖνα τὰ καὶ ἐς τοῦτο ἐσκευασμένα δοράτια, πολλῇ ξὺν ἀνάγκῃ

ισσόμενα ἐπὶ πλεῖστον ἐφέρετο, ὡς καὶ πολλοὺς a. C. 555 Iustiniani 29
ἰαρβάρων πόρρωθεν ἔτι ἐπερχομένους ἐκ τοῦ
νῦς αὐτοῖς ἵπποις διαπερονᾶσθαι καὶ κατα-
ιν ἐξαπιναίως. βοή τε ἐπὶ μέγα ἐπῆρτο καὶ
γγες ἑκατέρωθεν πολεμιστήριόν τι μέλος ἐπῆ-
οἱ δὲ Πέρσαι καὶ τοῖς τυμπάνοις ἐβόμβουν καὶ
ιότερον ἐπηλάλαζον ἐκπλήξεως ἕνεκα, ὅ τε τῶν
' χρεμετισμὸς καὶ τῶν ἀσπίδων ὁ πάταγος καὶ
ν θωράκων ξυντρίψεις παμμιγῆ τινα καὶ ἄγριον
εκον ἦχον. ἐν τούτῳ δὲ Ἰουστίνῳ τῷ Γερμα-
ι τοῦ νεὼ ἐπανιόντι ξυναίσθησις γίγνεται τῶν C
ίνων τῇ τε ταραχῇ καὶ τῷ κτύπῳ. καὶ αὐτίκα
ἀμφ' αὐτὸν ἱππότας ξυστρέψας καὶ ἐς τάξιν
'ν κόσμῳ καταστησάμενος τά τε σημεῖα ἐς ὕψος
ιαι ἐκέλευε καὶ ἅπαντας ἔχεσθαι ἔργου, γιγνώ-
κς ὡς οὐκ ἀθεεὶ ἔτυχον τοῦ ἄστεος ἐξεληλυ-
, ἀλλ' ἐφ' ᾧ δεδίξασθαι τοὺς πολεμίους τῷ
δοκήτῳ καὶ ἀπελάσαι τῆς πολιορκίας. ὡς δὲ
τι προελθόντες κατεῖδον τοὺς Πέρσας ἐγκει-
ς τῷ περιβόλῳ, τότε δὴ ἀθρόον ἐμβοήσαντες
λουσι τῷ μέρει τῷ πρὸς τῇ θαλάττῃ παρα-
ίνῳ· ἐνθένδε γὰρ καὶ ἐτύγχανον ἀφιγμένοι.
ιτίκα οἱ μὲν κοντοῖς, οἱ δὲ σαρίσαις, οἱ δὲ καὶ D
παίοντες, τὸ παρεμπῖπτον διέφθειρον, βιαιο-
τε τὰς ἐπελάσεις ἀνὰ τὰς στίχας τῶν ἐναντίων
ιενοι καὶ ταῖς ἀσπίσιν ἐξωθοῦντες παρερ-
σαν τὸ ξυνεχὲς καὶ ξυντεταγμένον.

ὶ. Οἱ δὲ Πέρσαι τοῦτον ἐκεῖνον εἶναι τὸν
ὶν ὑποτοπήσαντες ὃν δὴ παρέσεσθαι ἠκηκόεσαν,
ι διαλαθόντες τοὺς ἐς τοῦτο ἀποκεκριμένους
ντο, θορύβου καὶ δέους ἐνεπίμπλαντο, καὶ
ἐς ἑαυτοὺς ἀνελιττόμενοι ἀπεχώρουν ἠρέμα

a. C. 555 Iustiniani 29 μῆκος ἐκτείνων τραχύν τινα καὶ ἄγριον ἦχον ἀφίει. αὐτίκα δὲ τοὺς ὕπερθεν ἑστῶτας ἀποσεισάμενος κατέβαλε καὶ ἐμπατήσας διέφθειρεν. ἔπειτα δὲ καὶ ἅπαντα τὸν Περσικὸν ὅμιλον ἀνεσόβει, τούς τε ἵππους ἀναχαιτίζων οἷς ἂν ἐμπελάσειε καὶ τοῖς ὀδοῦσι τὸ
B ἐπιφαῦον διατεμνόμενος καὶ ἀναχαράττων. καὶ ἦν ἅπαντα ὀλοφυρμοῦ ἀνάπλεα καὶ θορύβων. οἱ μὲν γὰρ ἵπποι τῇ χαλεπότητι τοῦ θηρίου ἐπτοημένοι οὐ μάλα τοῖς ῥυτῆρσιν ἐπείθοντο, ἀλλὰ τὰς ἐμπροσθίους μετεωρίζοντες ὁπλὰς ἐξεκύλιον τοὺς ἐλατῆρας, οὕτω τε ἄτακτα διὰ τοῦ πλήθους ἐξήλλοντο, πνευστιῶντες θαμὰ καὶ φριματτόμενοι. τῶν δὲ ἀνδρῶν ἐς ἑαυτοὺς ἀναχωρούντων, ἁπάντων τε ὠθούντων ἀλλήλους καὶ παραγκωνιζομένων, καὶ ἑκάστου προτερῆσαι τὸν πέλας ἐπειγομένου, πλεῖστοι ὅσοι ἐκτείνοντο ὑπὸ σφῶν, τοῖς τῶν φιλτάτων τε καὶ ὁμοφύλων ξίφεσι περιπταίοντες. οὕτω δὲ τῆς ταραχῆς ἐπὶ μέγα ἰούσης,
C οἱ Ῥωμαῖοι, ὁπόσοι τε ἤδη ἐτύγχανον ὑπεκβάντες τοῦ περιβόλου καὶ εἴ πού τι αὐτῶν ἔνδον ἐλέλειπτο, τότε δὴ ἅπαντες ἐς μίαν τινὰ φάλαγγα ξυσπειραθέντες, καὶ τὸ μέτωπον ὡς καρτερώτατα ταῖς ἀσπίσι φραξάμενοι, ἐμπίπτουσι ξυγκεχυμένοις ἔτι τοῖς πολεμίοις. οἱ δὲ τῷ ἤδη προπεπονηκέναι τὴν προσβολὴν οὐκ ἐνεγκόντες ὠκύτατα ἔφυγον, οὐδὲ τοῦτο δρῶντες ἐν τάξει, οὐδὲ ὥστε καὶ ἀμύνεσθαι τοὺς ἐπιόντας, ἀλλ' ἐσκεδάννυντο ἄλλος ἄλλοθι ὥς πῃ ἑκάστῳ προυχώρει. ὁ δὲ Ναχοραγὰν ἀλλὰ γὰρ καὶ αὐτὸς τῷ παραλόγῳ τῶν γιγνομένων καταπεπληγμένος ἐς τὰ ὀπίσω δρομαῖος ἀπήλαυνε, σημαίνων ἅπασι τῇ μάστιγι καὶ ἐγκελευόμενος ὡς τάχιστα φεύγειν, τοῦτο
D δὴ τὸ πρὸς ἐκείνων ἤδη πραττόμενον. οὕτως ἄρα αὐτῷ τὰ τῆς ὑψηγορίας ἐς τοὐναντίον ἀπέβη. οἱ δὲ

'ωμαῖοι οὐ πρότερον ἀνῆκαν διώκοντες τοὺς βαρβά- a. C. 555 Iustiniani 29
ους καὶ ἀναιροῦντες πρίν γε δὴ ὁ Μαρτῖνος, ἀπο-
ρῆναι ἡγούμενος, ἀνεκαλεῖτό τε αὐτοὺς ὑπὸ τῇ
άλπιγγι καὶ τὸν θυμὸν ἐξημέρου. οὕτω δὲ οἱ
Ιέρσαι μόλις εἰς τὸ οἰκεῖον στρατόπεδον ἀπεσώ-
ησαν, οὐ μεῖον ἢ δέκα χιλιάδας μαχίμων ἀνδρῶν
ν τῷδε τῷ ἔργῳ ἀποβεβληκότες.

28. Οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς διώξεως ἐπανελθόντες
ούς τε σπαλίωνας ἐνέπρησαν καὶ ὁπόσα ἄλλα Περ-
ικὰ μηχανήματα ἀμφὶ τὸ τεῖχος ἐλέλειπτο. ἐντεῦθεν
ὲ φλογὸς μεγάλης ἀρθείσης, οἱ τὴν ὕλην κατα- P. 105
έμνοντες ὑπηρέται τῶν Περσῶν καὶ ἀχθοφόροι,
δόντες πόρρωθεν καπνὸν ἐς ὕψος ἀνέρποντα καὶ
τὶ πολὺ τοῦ ἀέρος ἀνελιττόμενον, αὐτίκα οἱ δεί-
αιοι ἐπὶ τὸ ἄστυ ἐχώρουν, οἰηθέντες, ὥς που τῷ
Ιαχοραγὰν πρότερον ἐκεκόμπαστο, τὸν περίβολον
υρπολεῖσθαι. τοιγάρτοι ξὺν πολλῷ τῷ δρόμῳ ἐφέ-
οντο, δεδιότες, οἶμαι, μὴ σφᾶς παραδράμοι ὁ τοῦ
ργου καιρὸς καὶ ἅπαντα τεφρωθείη, πρὶν δὴ αὐτοὺς V. 75
φικέσθαι. ἅμιλλά τε ἦν αὐτοῖς ὑπὲρ τοῦ τάχους,
ὐκ ἐπισταμένοις ὡς τῷ νικῶντι ξυμβήσεται πρώτῳ
θνάναι. ἅπαντες γὰρ ἀμοιβαδὸν ὑπὸ τῶν Ῥωμαίων
λισκόμενοι κατεκτείνοντο, ὥσπερ τοῦδέ γε ἕνεκα B
όνου παραγιγνόμενοι. ἀπολώλασι τοιγαροῦν οὐ
ολλῷ ἐλάττους τῶν δισχιλίων. τοσούτοις ἀνδράσιν
ιγοπόνοις καὶ τὰ πολέμια ἥκιστα μεμελετηκόσιν ἐς
παράταξιν οὐπώποτε ἀφιγμένοις αὐτομάτου τινὸς
:ὶ παραλόγου ὀλέθρου ὁ Ναχοραγὰν αἰτιώτατος
'γονεν, ἀνόητα παρακελευσάμενος. οὕτως ἄρα ἡ
αζονεία οὐ μόνον αὐτοὺς σίνεται τοὺς κεκτημένους,
λὰ γὰρ καὶ οὓς ἂν ἐκείνοις ὑπηρετεῖν ξυμβαίη
ὶ πείθεσθαι. τούτων δὲ ὧδε ξυνενεχθέντων, οἱ

a. C. 555 Iustiniani 29 μὲν Ῥωμαῖοι εὐέλπιδες ὑπῆρχον ἐς τὰ μάλιστα, ὡς καὶ αὖθις ῥᾳδίως περιεσόμενοι εἴ γε ἄρα καὶ ἀναC μαχεῖσθαι οἱ βάρβαροι πειραθεῖεν. ὅσοι δὲ αὐτῶν ἐν τῇ μάχῃ ἐτεθνήκεσαν, ἦσαν δὲ οὐ πλείους ἢ διακόσιοι, τούτους δὴ εὐπρεπέστατα ἔθαψαν, ὑπεραγάμενοι τῆς προθυμίας, ὡς ἄνδρας ἀγαθοὺς ἀποδεδειγμένους· τοὺς δὲ τῶν πολεμίων νεκροὺς σκυλεύσαντες ὅπλων τε ἄφθονον πλῆθος καὶ ἄλλων χρημάτων περιεβάλοντο. οὐ γὰρ μόνον ἀσπίδας καὶ θώρακας τυχὸν καὶ γωρυτοὺς βελῶν ἔνιοι τῶν κειμένων ἐπεφέροντο, ἀλλὰ στρεπτοὺς γὰρ παγχρύσους καὶ περιδέραια καὶ ἐλλόβια καὶ ἄλλα ἄττα τοιάδε θηλυπρεπῆ ποικίλματα καὶ περίεργα, ὁποίοις οἱ D ἐντιμότεροι τῶν Μήδων ἐναγλαΐζονται τοῦ μᾶλλον εἶναι ἀρίδηλοι καὶ τοῦ ἄλλου ὁμίλου ἀποκεκρίσθαι. ὁ δὲ Ναχοραγάν, ἐπειδὴ αὐτὸν τά τε ἐπιτήδεια ἐλελοίπει καὶ ἤδη χειμῶνος ὥρα ἐπεγίγνετο, ἐῴκει μὲν αὖθις πολεμησείοντι καὶ ἐς τόδε ξυσκευαζομένῳ. οὐ μὴν ἔργῳ τὸ βούλευμα ἐπετέλει, ἀλλὰ τὸ τῶν Διλιμνιτῶν στῖφος τῇ ὑστεραίᾳ ἐκπέμψας ἀνὰ τὸ στάδιον καὶ ἐς ἐκείνους ὁρᾶν τοὺς Ῥωμαίους ἀναπείσας, ταύτῃ τε δόκησιν παρασχόμενος τοῦ ἐπελεύσεσθαι, αὐτίκα ὅγε σχολαίτερον ἅμα τοῖς ἄλλοις στρατεύμασιν ἐπὶ Κοτάϊσιν καὶ Μουχείρισιν ἐπορεύετο. ὡς δὲ πλεῖστον ἤδη τῆς ὁδοῦ προεληλύθει, τότε δὴ καὶ οἱ Διλιμνῖται λύσαντες τὴν τάξιν εὐκολώτατα ἀπεχώρουν, ἅτε δὴ κούφως ἀεὶ ἐσταλμένοι καὶ ἄλλως ἄλκιμοι καὶ ποδώκεις. παρῆσαν δὲ αὐτοῦ καὶ ἡ ἄλλη Περσικὴ ἀπόμοιρα, οἳ δὴ ἐτύγχανον παρὰ τὸν P. 106 Νέοκνον ποταμὸν πρότερον ἀπεσταλμένοι διὰ τὴν Μαρτίνου ἀπάτην, ᾗπέρ μοι ἤδη ἐρρήθη. γνόντες γὰρ ὡς ἐνενίκηντο μὲν οἱ Πέρσαι, οἱ δὲ Ῥωμαῖοι

ἁπάσης ἤδη τῆς χώρας ἐκράτουν, αὐτίκα οἵγε a. C. 555 Iustiniani 29 πορείαν τινὰ διαλανθάνουσαν καὶ τῶν λεωφόρων ἀποκεκριμένην διανύσαντες ἐς Μουχείρισιν ἵκοντο, τῶν μὲν ἀγώνων ἥκιστα μετασχόντες, τοῦ δὲ τῆς φυγῆς αἴσχους πολλῷ ἔτι ἀκλεέστερον μετειληφότες. ἐπειδὴ οὖν ἅπας ὁ στρατὸς ἐνταῦθα ἐτύγχανε ξυναγηγερμένος, τότε δὴ τὸ πλεῖστον τῆς ἱππικῆς δυνά- B μεως καταλιπὼν ἰλάρχην τε αὐτοῖς ἐπιστήσας Οὐαφρίζην, ἄνδρα τῶν παρὰ Πέρσαις γνωριμωτάτων, αὐτὸς ξὺν ὀλίγοις ἐς Ἰβηρίαν ἀπενόστησεν, ὡς ἐκεῖσε διαχειμάσων.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

ΙΣΤΟΡΙΩΝ Δ.

206, 1—206, 18 N.

a. C. 555 Iustiniani 29 1. Ἐς τοῦτο δὲ νίκης τοῖς Ῥωμαίοις τοῦ πολέ-
μου κεχωρηκότος, καὶ ὥσπερ ἀνακωχῆς τῶν δεινῶν
P. 107 γεγενημένης, τῶν τε ὅπλων τὸ παραυτίκα ἠρεμηκό-
V. 76 των, τότε δὴ ἐς ζήτησιν ἤγετο τὰ ἐπὶ Γουβάζῃ πρό-
τερον τετολμημένα. καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ
θάκου τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα
ἐνειμένος, ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμό-
νων. παρῆσαν δὲ αὐτῷ ἄνδρες γράφειν τε ἐς τάχος
πεπαιδευμένοι καὶ ἐπιτροχάδην ἀναλέγεσθαι τὰ γε-
γραμμένα· ἄλλοι τε ὑπηρέται σοβαρώτεροι καὶ δαη-
B μονέστατοι τῆς τῶν δικαστηρίων κομψείας, κήρυκές
τε μεγαλοβόαι καὶ οἱ τῶν μαστίγων ἐπιστάται. ἅπαν-
τες δὲ οὗτοι ἐκ τῶν ἐν Βυζαντίῳ ἀρχείων ἐτύγχανον
ἀπολελεγμένοι. ἐπεφέροντο δέ, οἷς τοῦτο ἀνεῖτο,
δεσμούς τε σιδηροῦς περιαυχενίους κλινοστρόφιά τε
καὶ ποδοστράβας, καὶ ἄλλα ἄττα ὄργανα κολαστή-
P. 108 ρια. καί μοι δοκεῖ βασιλεὺς Ἰουστινιανὸς οὐκ ἀπει-
κὸς οὐδὲ αὐτομάτως, ἀλλ' ἐμφρονέστατα τοῦ δέοντος
ἐστοχασμένος ξὺν τοιᾷδέ τινι τάξει καὶ εὐκοσμίᾳ
τὴν κρίσιν προελθεῖν παρακελεύσασθαι, οὐ μόνον
ὅπως οἱ ἐκείνῃ βάρβαροι, τῶν Ῥωμαϊκῶν σφίσι νο-

' κομπωδέστερον ἀναδεικνυμένων, θαυμάζοιέν a. C. 555 Iustiniani 29
:ὰ καὶ ἐπὶ πλέον ἄρχεσθαι ὑπὸ τούτων ξυνεθι-
', ἀλλὰ καὶ ὅπως, εἰ μὲν ὡς μηδίσας πρότερον
βάζης δικαιότατα φανείη ἀνῃρημένος, μηκέτι
το οἱ Κόλχοι, μηδὲ ὥς τι δεινὸν πεπονθότες
κτοῖεν. εἰ δέ γε ἅπαντα καταψευσάμενοι καὶ
' μίασμα δράσαντες ἁλοῖεν οἱ ἀπεκτονότες,
τε καταδιαιτηθέντες καὶ ὑπὸ κήρυκι πομπῷ
ὶ πλήθη περιηγμένοι, εἶτα τῷ παλαμναίῳ ξί- B
πάντων θεωμένων καρατομηθεῖεν, τότε δὴ
τι δόξειεν εἶναι τὸ πέρας καὶ διπλασίων ἡ
'α. ἠπίστατο γὰρ ὡς, εἰ μὲν οὕτω πως ἐν
ήτῳ βαρβαρικώτερον Ῥούστικόν τε καὶ Ἰωάν-
αφθαρῆναι παρακελεύσοιτο, οὐκ ἀποχρώντως
σθαι ἂν τοὺς Κόλχους τὴν ὕβριν αὐτοῖς ἀπε-
ιθαι οὐδὲ προσήκουσαν ποινὴν κομίσασθαι
ἡμαρτημένων. δικαστηρίου δὲ καταστάντος,
ντιλογίας ἑκατέρωθεν προελθούσης, καὶ τῶν
τῶν ἄνω τε καὶ κάτω διαττόντων, καὶ ὅπως
ρινομένων ἕκαστος ἐν κόσμῳ ἑστήξει καὶ ἀπο-
ται διαταττομένων, ὄγκου τε δικαστικοῦ φαι- C
ιυ καὶ μεγαληγορίας ἀκουομένης, καὶ ἐπὶ τού-
:οῦ ὀλέθρου φρικωδέστερον ἐπιγιγνομένου,
ν δὴ οὖν οὕτω πραττομένων ἕτερόν τι αὐτοῖς V. 77
καὶ μάλα εἰκότως φανεῖσθαι τὸ χρῆμα ἐγί-
ε καὶ τάχα τὴν ἀξίαν τοῦ ἐπικλήματος ὑπερ-
ν. ταῦτα γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς,
θαμὰ ἐκεῖσε γιγνόμενα, καταπλήττει καὶ ἐξί-
τῶν φρονημάτων, μήτι γε βαρβάρους καὶ οὐκ
ένους. τούτων μὲν οὖν ἕνεκα, οἶμαι, Ῥωμαϊ-
καστήριον, μᾶλλον μὲν οὖν Ἀττικώτατον, ὑπὸ
ιυκάσῳ ξυνεκροτήθη.

a. C. 555 Iustiniani 29 2. Τότε δὲ Ῥούστικός τε καὶ Ἰωάννης, ἐκ τοῦ
δεσμωτηρίου ἠγμένω, ἀνὰ τὸ λαιὸν μέρος ἑστήκατον,
D οἷα δὴ φεύγοντε. ἐπὶ θάτερα δὲ παρῆσαν κατηγορησείοντες τῶν Κόλχων οἱ ἐμφρονέστατοι καὶ ἤδη
ἐκ πλείστου τὴν Ἑλλάδα φωνὴν ἐκμεμαθηκότες.
ἐδέοντο δὲ πρότερον τὴν παρὰ βασιλέως ἐπιστολὴν
ἐν κοινῷ ἀνακηρύττεσθαι, ἥνπερ ἐτύγχανε πρότερον ὁ Ἰωάννης τούτων δὴ πέρι τοῖς στρατηγοῖς διακομίσας· ἀλλὰ γὰρ καὶ τῷ διαιτητῇ ξυνδοκοῦν, γεγωνότερόν τις αὐτὴν τῶν ἐς τοῦτο τεταγμένων διεξήει, ὧδέ πως ἔχουσαν· „ἄπιστον μὲν καὶ παράλογον
τὸ πρὸς ὑμῶν ἀνηγγελμένον ὡς ἄρα βουλομένῳ ἐστὶ
τῷ Γουβάζῃ τὰ πάτρια ἔθη καταπροεμένῳ καὶ τοὺς
ἐν ἅπασιν ὁμόφρονας καὶ ἀνέκαθεν ἡγεμόνας, τοὺς
P. 109 Ῥωμαίους φαμέν, ἐπὶ τοὺς ἐχθίστους τε καὶ ἀλλοτριωτάτους καὶ πρός γε τὰ ἐς θεὸν ἑτερογνώμονας
μεταχωρῆσαι, καὶ ταῦτα οὐδὲν ὁτιοῦν ἐξ ἡμῶν
ἄχαρι προπεπονθότι. πλὴν ἀλλ' ἐπειδὴ γιγνώσκομεν τὰ ἀνθρώπεια παλίμβολά τε καὶ ὀλισθηρὰ καὶ
τῇ ποικιλίᾳ τῶν παρεμπιπτόντων ξυμπεριάγεσθαι
πεφυκότα, οὐ παντάπασιν ἀπιστεῖν ᾠήθημεν χρῆναι, οὐδὲ μεθεῖναι μὲν τὸ φυλάξασθαι τὰ παρ' ἐκείνου εἴτε ἴσως εἴτε πάντως βεβουλευμένα, καταλιπεῖν
δὲ ἐν ἡμῖν αὐτοῖς φροντίδα περιττὴν καὶ ἀμφιρρόπους ἐννοίας, ἐπ' ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους.
καίτοι ἀλλόκοτόν τι καὶ ταραχῶδες τὸ μηδαμῶς ἐφ'
ὁτῳοῦν βεβαιότατα πεποιθέναι, ἀλλ' ὑποψίας ἀεὶ
καὶ δείματος εἶναι μεστόν, καὶ ἐπ' αὐτοῖς δήπου
B τοῖς ξυνηθεστάτοις. ὅμως, ἐν ἅπασι γὰρ τοῦτο νικᾷ,
ἑπόμεθα καὶ ἡμεῖς τῇ φύσει, καὶ ἀπιστοῦμεν. ὡς ἂν
δὲ μήτε προπετῶς ὠμόν τι καὶ ἀπηνὲς δράσοιμεν
ἐπὶ Γουβάζῃ, μήτε τῷ οὐκ εἰκότι δῆθεν ἀναπεπει-

ιένοι μαλθακισθείημεν, ἀλλ' ἐκφύγοιμεν τὰς ἑκα- a. C. 555 Iustiniani 29
ἰρωθεν μεταμελείας, εὔβουλόν τι ἡμῖν κατεφάνη
ιὶ μέσως πως ἔχον ἐνταῦθα τὸν ἄνδρα παραγενέ-
θαι. στέλλειν τοίνυν αὐτὸν τὴν ταχίστην, εἴτε
ουλόμενον εἴτε ἠναγκασμένον. εἰ δέ γε ὑμᾶς
ιῦτα ἐθέλειν ἐγνωκὼς ἀντισταίη καὶ ἀπαναίνοιτο
ἡν πορείαν, ἐπιλαμβανομένων τε ὑμῶν καὶ ἑλκόν-
ον, καὶ γὰρ τοῦτο ποιεῖν ὑμῖν τοὐντεῦθεν ἐξέσται,
ι δὲ διωθοῖτο καὶ ἀντεπιφέροιτο, καὶ ἔτῳ οὖν τρό- C
ῳ τὰς χεῖρας ἀντάροι, τότε δὴ ἕξομεν περιφανεῖς
ους ἐλέγχους τῶν μελετωμένων καὶ τὸ λοιπὸν ἐν
οῖς πολεμιωτάτοις τετάξεται, ὥστ', εἴ πού τις αὐ-
ὸν τοιαῦτα τολμῶντα καὶ ἀποκτείνοι, οὐδὲ τοῦτο
μῖν ἐσόμενον ἀπὸ τρόπου, οὐκοῦν οὐδὲ ποινὰς ὁ
ράσας ὑφέξει τοῦ ἐγχειρήματος. οὐ γὰρ ὡς μιαι-
όνον αὐτὸν κολαστέον, ἀλλ' ὡς τυραννοκτόνον
παινετέον." ἡ μὲν οὖν παρὰ βασιλέως ἐπιστολὴ
οιάδε ἄττα ἐγκελευσαμένη διέγνωστο.

3. Αὐτίκα δὲ οἱ ἄνδρες τῶν Κόλχων, οἳ δὴ
ρὸς τὸ κατηγορεῖν ἐτετάχατο, ἐπειδὴ αὐτοὺς ὁ δι-
αστὴς ἐψηφίζετο τὰ σφέτερα αὐτῶν δικαιώματα ᾗ
ούλοιντο προτιθέναι, οἱ δὲ προθύμως εἴχοντο τοῦ D
τικλήματος, καὶ ἔλεξαν τοιάδε· "Ἀπόχρη μέν, ὦ
ικαστά, τὸ τετολμημένον, εἰ καὶ μηδὲν ὁτιοῦν φή-
αιμεν, ποιναῖς ταῖς μεγίσταις ὑπάγειν τοὺς δεδρα-
ότας· πλὴν ἀλλὰ τοῖς ὑμετέροις νόμοις δοκοῦν τὸ
ρῆναι καὶ τῶν ἐμφανῶν πέρι καὶ μεγίστων ἀδικη-
άτων μὴ πρότερον τὰς κρίσεις ἐκφέρειν, πρὶν ἂν
αὶ λόγῳ τὰ πραχθέντα διαγορεύειν, ἥκομεν νῦν
ροῦντες μόνον ἀμωσγέπως τὰ γεγενημένα. οὕτω
ὰρ ἂν καὶ ἡμῖν διανυσθήσεται τὸ νενομισμένον, εἰ
αὶ τὰ τῶν λόγων εἶεν ἁπλᾶ καὶ ἥκιστα κεκομψευ-

C. 555 Iusti- ani 29 . 78 . 110 μένα, καὶ οἷα τοῦ μεγέθους τῶν εἰργασμένων μὴ
ἐξικνεῖσθαι. ποία γὰρ αὐτοῖς λελείψεται σκῆψις,
ἄνδρα τοσοῦτον, φίλον ὑμῖν καὶ ξυνήθη καὶ ξύμ-
μαχον καὶ ὁμοδίαιτον καὶ ὁμόσπονδον καὶ ταὐτὰ
περὶ τὸ κρεῖττον φρονοῦντα, καὶ τί δὲ οὐχὶ τῶν οἰ-
κειοτάτων κεκτημένον, ἀνέδην οὕτω διαχειρισαμέ-
νοις καὶ πολλῇ τῇ δυσμενείᾳ χρῆσθαι καθ' ὑμῶν
φωραθεῖσι, τῷ τοὺς ἐχθροὺς τεθεραπευκέναι; βασι-
λεὺς γὰρ ὁ ἀνῃρημένος, ὦ δικαστά, καὶ ἔθνους οὐκ
ἀγεννοῦς καὶ πρὸς ἀρετὴν ἐνεργότατος καὶ τὰ Ῥω-
μαίων στέργων ἀεὶ πολλῷ μᾶλλον τῶν ἀπεκτονότων.
ἀνατετράφαται δὲ τὰ Κόλχων πράγματα καὶ διερ-
B ρύη, ἀληθέστερον δὲ τὰ κοινά, εἴ γε μέρος τι καὶ
ἡμεῖς οὐκ ἐλάχιστον τῆς ὑπηκόου τυγχάνομεν ὄντες·
καὶ διόλωλεν ὑμῖν τὸ ἀκραιφνὲς τῶν καθεστώτων
καὶ ἄπταιστον καὶ κατὰ πολὺ τῆς οἰκείας δυνάμεως
μειονεκτεῖσθε· πολιτεία δὲ μὴ διὰ πάντων ἐρρω-
μένη, ἀλλὰ βραχείᾳ γοῦν τινι μοίρᾳ σφαλεῖσα οὐκέτι
ξυνεστάναι δόξειεν ἂν προσηκόντως, τοὐναντίον μὲν
οὖν καὶ αὐτὴν ψεύδεσθαι τὴν ἐπωνυμίαν τὸ ἐντελῶς
ἔχειν ἀφῃρημένη. ταῦτα δὴ οὖν ἅπαντα δράσαντες
οὔ φασι δεῖν ὑμᾶς τὸ πραχθὲν εἰ καὶ δεινὸν εἴη
σκοπεῖν, μόνην δὲ τὴν γνώμην καθ' ἣν εἴργασται
C διερευνᾶν καὶ προσίεσθαι, καὶ διά τινων ἀφανῶν
τεκμηρίων καὶ οἷον εἰκότων χωροῦντας, ἀναπλάτ-
τειν ταῖς ἐννοίαις εὐεργεσίαν ὑμῖν αὐτοῖς ἐντεῦθεν
προσγεγενημένην, ἢ τῷ σαφεῖ μᾶλλον τῆς βλάβης
καὶ τοῖς ἔργοις ἀποδεδειγμένῳ πιστεύειν αἱρεῖσθαι.
ταῦτα γὰρ δὴ τὰ σοφίσματα καὶ πρὸ τῆς δίκης
πολλάκις διαθρυλοῦντες παράγειν τοὺς πλείστους
ἡγοῦντο. εἰ τοίνυν καὶ παρὰ τοὺς ἀγῶνας τοιαῦτα
προσθεῖεν, γιγνωσκόντων, ὦ δικαστά, ὡς οὐ Ῥωμαῖ-

ιν οὐδὲ δίκαιον τὸ μὲν ἐμφανὲς οὕτω καὶ προὖ- a. C. 555 Iustiniani 29
τον ἀδίκημα παραλιπεῖν, ἀδήλοις δὲ μᾶλλον αἰτίαις
λλως αὐτοῖς μεμηχανημέναις ἐξαπατηθῆναι. οὐ γὰρ
νεκτέον αὐτῶν ὡς μὲν ἀπεκτόνασι τὸν ἄνδρα διαρ-
ήδην φασκόντων, ὠφέλειαν δὲ μεγίστην ἐνθένδε D
ῖς κοινοῖς πεπορίσθαι πράγμασι τερατευομένων.
ῶς γὰρ ἂν τἀναντία ξυσταῖεν σφίσιν αὐτοῖς, ἢ
ῶς τὴν πρᾶξιν δεινὴν ἀποκαλοῦντες ἐπαινεσόμεθα
ν δράσασαν γνώμην, ὡς τοῦ ξυνοίσοντος ἐστοχα-
ιένην; πάλαι γὰρ ἀλλήλοιν ἀποκεκριμένω τυγχά-
τον ὠφέλεια καὶ παρανομία, ὠμότης τε καὶ δι-
ιοσύνη διεστηκότα καὶ ἄμικτα καὶ ὁμόσε χωρεῖν
ὐπώποτε πεφυκότα.

4. "Εἰ δέ γε καὶ γυμνὴν τὴν διάνοιαν ἐξετα-
τέον, φανήσονται καὶ ταύτῃ δύσνοι καὶ κάκιστοι,
ς δὴ τὰ τοὺς Πέρσας ἀρέσκοντα βεβουλευμένοι·
στε οὐδὲ Ῥωμαίους ὀνομάζειν τούσδε τοὺς μιαιφό-
νυς προσήκει οὐδὲ ὡς ὁμοφύλοις μετ' εὐνοίας διαι-
ητέον αὐτοῖς, ὅτι μὴ καθάπερ λίαν ἐχθίστοις, ἐπεὶ P. 111
αὶ ἤδη τῷ κοινῷ τῆς φύσεως νόμῳ μεμερισμένοι
υγχάνουσι, κἂν μήπω τῷ παρ' ὑμῖν γεγραμμένῳ.
ὸ γὰρ ἀντίπαλον καὶ ἀλλότριον τοῖς ἔργοις γνωρί-
σθαι χρὴ οὐ τῷ πορρωτέρω τετάχθαι. ὁ δέ, οἷς ἂν
σθεῖεν οἱ δυσμενεῖς, ταῦτα προὔργου ποιούμενος,
ολέμιος ἂν κριθείη δικαίως, κἂν ξυμπαρῇ κἂν
υστρατεύοιτο κἂν ὡς ἐγγύτατα τῷ γένει ξυνῆπται.
λλὰ γὰρ οὐ φίλον οὐδὲ βασιλέα φασὶν ἀπεκτονέναι,
ολέμιον δὲ μᾶλλον καὶ τύραννον καὶ τὰ Περσῶν
πουδακότα. πρὸς τοῦτο γὰρ ἐληλάκασι παρανομίας,
ς μηδισμοῦ διώκειν τὸν κείμενον· καὶ περιέστηκε
ῷ δειλαίῳ μηδὲ τεθνηκότι τῶν δεινῶν ἀπηλλάχθαι,
λλὰ νῦν προδοσίας φεύγειν γραφὴν ὅτε μηδὲν B

C. 555 Iusti- πλέον ἕξει νικῶν. ποῖος δὲ νόμος ἢ παρ' ὑμῖν ἢ
niani 29 παρὰ βαρβάροις ἐπαινέσειεν ἂν κατηγορίαν ἐν ὑστέ-
ρῳ τῆς κρίσεως γιγνομένην; κριταὶ γὰρ αὐτοὶ καὶ
δυσμενεῖς καὶ κατήγοροι καὶ ἅμα πάντα καταστάν-
τες, τιμωρίαν μὲν ἀνεξετάστως τῷ μηδὲν ἡμαρτη-
κότι προσήγαγον, ὁποίαν εἰκὸς ἦν ὑποσχεῖν τὸν ὡς
ἀληθῶς τυραννίδος ἁλόντα. ἥκουσι δὲ νῦν, δέον
ἀπολογεῖσθαι, καταιτιώμενοι τὸν ἠδικημένον· καίτοι
ἐχρῆν αὐτοὺς πρὶν ἀνελεῖν, εἴ γε ταῖς αἰτίαις ἐπε-
ποίθεσαν, ἐμφανῶς τὴν πρὸς αὐτὸν ἐνστήσασθαι
δίκην, καὶ πρώτους ἐγκαλεῖν, ἀλλὰ μὴ νῦν κατηγο-
C ρημένους ἀντεγκαλεῖν. εἰ γὰρ τοῦτο πᾶσιν ἐφεῖται,
79 τί δήποτε ἄρα μὴ καὶ ἡμεῖς τούσδε τοὺς μιαιφόνους
αὐτοχειρίᾳ διεχρησάμεθα; παρὸν ἡμῖν, πρὸς δίκην
τυχὸν ἀγομένοις, ἀντεπιφέρειν αὐτοῖς καὶ τεθνη-
κόσι τὰ παρ' αὐτῶν πρότερον ἡμαρτημένα, καὶ ταύτῃ
πειρᾶσθαι δεικνύειν τὸ εὐλόγως ἀνθημαρτηκέναι;
μᾶλλον γὰρ ἡμεῖς ἐπὶ σαφέσι τοῖς προϋπηργμένοις
χαλεπήναντες, ἐνδίκως ἂν ἠμυνόμεθα τούτους, καὶ
τὰ τῆς ἀντιλογίας προσηκόντως ἐχώρει. ἀλλ' οὐδὲ
πρὸς ἡμῶν οὐδὲ πρὸς ἑτέρων τὰ τοιάδε τολμᾶσθαι
χρεών, εἴ γε κατὰ τοὺς πατρίους ὑμῖν νόμους πολι-
D τευτέον. φέρε γὰρ εἰ τοῖς βουλομένοις ἐξῇ τοὺς οἰ-
κείους δυσμενεῖς οὕτω πως ἀθρόον ἀποκτιννύναι,
καὶ τοῦτο πολλάκις γιγνόμενον μέχρι τοῦ ἐπ' ἄπει-
ρον ἤδη τολμᾶσθαι προσενεχθείη, πῶς ἂν ὑμῖν τὸ
γοῦν κρίνειν ἀδεῶς ἐν βεβαίῳ διαμένοι; ἁπάντων
γὰρ ἀναιρούντων τε καὶ ἀναιρουμένων καὶ ταῖς ἀν-
τεπιβουλαῖς χρῆσθαι κατ' ἀλλήλων θαρρούντων, οὐκ
ἂν φθάσοιτε τὰς τιμωρίας ἐπάγοντες, ἀλλὰ διαφθα-
ρεῖται μὲν εἰκῇ τὸ ὁμόφυλον, προαφαιρήσει δὲ τὸν

ς ἐξετάσεως καιρὸν ἢ τῶν ἀντιδρώντων ἑκάστοτε a. C.555 Iustiniani 29
ιρανομία.

5. "Καίτοι τί δεινὸν εἶναί φασιν, εἴπερ ἑνὸς ἀν-
ιὸς καὶ τούτου προδότου διαφθαρέντος ἅπαν ὑμῖν
ὸ ξυμμαχικὸν σωφρονέστερον καθεστήξει; προδο-
ῶν μὲν οὖν ὡς ἀληθῶς καὶ πλείστων ὅσων ἀπολ-
υμένων, εἰ καὶ μηδὲν ἕτερον τῶν ὠφελίμων τοῖς P. 112
νηρηκόσι προσγένοιτο, ἀλλ' αὐτό γε τὸ τοὺς τοιού-
ους θνήσκειν ἀρκούντως ἔχει πρὸς ὄνησιν. εἰ δὲ
ροδοσίας μηδαμῶς ἀποδεδειγμένης ἠφάνισταί τις
θρόον τῶν σφόδρα λογίμων καὶ τετιμώρηται, κα-
άπερ διαφανῶς ἐγνωσμένος, πῶς ἂν ὑμῖν ἐνθένδε
ὸ ξυμμαχικὸν σωφρονήσειε; πῶς δὲ οὐκ ἂν μᾶλλον
αὶ διαλύσαιεν τὰ ξυγκείμενα, εἴ γε κοινωνοὺς ὑμᾶς
πάρχειν τοῦ μιάσματος οἰηθεῖεν; λογιζόμενοι ὡς εἴ
ε πρὸς τοὺς οἰκειοτάτους ὑμῖν καὶ ξυνήθεις φει-
οῦς ἥκιστα μέτεστι καὶ δικαιοσύνης, σχολῇ γε ἂν
έβαιοι διαμενεῖτε πρὸς τοὺς ἀλλογενεῖς καὶ ὀθνεί-
υς καὶ τῆς προσπεσούσης χρείας οὐ περαιτέρω
νωριζομένους. ἀλλ' οὔτε μετειλήφατε τοῦ βουλεύ-
ατος οὔτε τὸ τούτοις ἰδίᾳ προσκείμενον ἄγος ἐπὶ τὸ B
ύμπαν τῶν Ῥωμαίων ἔθνος ἀναδραμεῖται· οὔτε τὴν
άλαι περὶ ὑμῶν κρατήσασαν δόξαν, ὡς ἄρα πιστοὶ
ὰ ἤθη καὶ βέβαιοι καθεστήκατε καὶ δικαίοις χρῆ-
θε νόμοις, ἡ τούτων νικήσει κακοδαιμονία. τοὐν-
ντίον γὰρ καὶ ἡγούμεθα τὸ παρὸν δικαστήριον
πὲρ τῆς κοινῆς τοῦ γένους εὐκλείας ξυνεστηκέναι,
πως ἂν ἅπαντες ἄνθρωποι γνοῖεν ὡς οὐδαμῶς ἦν
μῖν βουλομένοις τοιαῦτα τοὺς Κόλχους δεινὰ καὶ
ίαια πεπονθέναι. νῦν μὲν γὰρ ἴσως ἐφ' ἑκάτερα
ῶν πολλῶν φοιτῶσιν αἱ γνῶμαι, καὶ τὰ τῆς δοκή-
ως ἐπ' ἀδήλῳ φέρεται τρόπῳ. ἐκ δὲ τῆς σῆς, ὦ

a. C. 555 Iustiniani 29 δικαστά, κρίσεως τούτων ὅσον οὔπω διαφθειρο νων, γενήσεται καὶ νῦν γνωριμώτερον ὡς οὐ π C δόται τῶν οἰκείων, ἀλλὰ σωφρονισταὶ τῶν ι κούντων εἶναι πεφύκατε. εἰ γὰρ καὶ τοῖς λό ἀπολογεῖσθαι δοκοῦσιν, ἀλλ' ἔργῳ κατηγοροῦι σφῶν αὐτῶν ἀποδείκνυνται καὶ τὸ παράλογον μιαιφονίας ὁμολογοῦντες. τὸ μὲν γὰρ βασίλι γράμμα παρακελεύεται τοῖς στρατηγοῖς στέλλ κατὰ τὸ Βυζάντιον τὸν Γουβάζην, πειθοῖ μὲν πρῶτον, ἀνηκουστοῦντα δὲ καὶ πρὸς ἀνάγκης, ἐν τιούμενον δὲ καὶ βιαζομένοις· ἀποκτεῖναι δὲ μη μῶς πρὶν ἂν ἐκεῖνος ἐς τελεωτάτην ἀπόστασιν ἀ γμένος τὰ πολεμίων δρᾶν προαχθείη. οἱ δέ, ταῦτα μήτε στρατηγοὶ καθεστῶτες μήτε ἄλλως ἐφ μένον αὐτοῖς ἀδεῶς ἃ βούλοιντο πράττειν, πα χρῆμα τὸν δείλαιον ἀπεκτόνασιν, οὔτε κατὰ τὸ Ι D ζάντιον αὐτὸν γενέσθαι προτρέψαντες οὔτε ὥσπερ ἀπειθοῦντι μετρίαν γοῦν ἀνάγκην ἐπαγαγ τες οὔτε τὴν ἀρχὴν ἐς πεῖράν τινα καταστάν εἴπερ ὅτῳ δὴ οὖν τρόπῳ τοῦ προστάγματος ὀλι ρήσει. καίτοι μεγαλαυχοῦσι καὶ βρενθύονται, ὡς βασιλεῖ δοκοῦντα διανύσαντες, οἵγε καὶ τὴν ἐκεί περιορῶντες πεφήνασι γνώμην, ψευδέσι τε χρῆσ πρότερον κατὰ Γουβάζου διαβολαῖς τετολμηκό καὶ τἀναντία τῶν εὖ διατεταγμένων αὐτεπαγέλ ἐξειργασμένοι, καὶ τὸ δὴ πάντων παρανομώτε V. 80 οὐδὲ τὴν ἐπιστολὴν ἐπιδείξαντες, ὥστε τῶν ἐγ P. 113 γραμμένων γνωσθέντων τὸ πρακτέον ἑλέσθαι.

6. "Πῶς οὖν οὐ παντὸς ὀλέθρου καὶ τιμω ὑπέρτερα πάσης τὰ τετολμημένα δόξοιεν ἄν; ἀδ γὰρ καὶ κατ' ἄλλου του γιγνομένη φευκτόν τι ἀπειρημένον, μάλιστα δὲ εἰ φίλον καὶ εὔνουν

:ολλάκις προκεκινδυνευκότα τῶν πέλας εἶναι ξυμ- a.C.555 Iustiniani 29
ˈαίη τὸν ἠδικημένον. τίς γὰρ ὁ τοῦ Περσῶν πλού-
ου καὶ τῶν προτεινομένων ἁπάντων τὴν πρὸς ὑμᾶς
ὕνοιαν ἀλλαξάμενος; τίς ὁ τὴν Χοσρόου φιλίαν
ὑπεριδών, καὶ παρὸν ἐκεῖσε πρὸς μεγίστην εὐδαι-
ιονίαν χωρῆσαι τὸ παρ' ὑμῖν ἔλαττον ἀγαπήσας;
ˈίς ὁ πρότερον τῆς χώρας ὑπὸ Μήδων ἐπὶ πλεῖστον B
;ρόνον πιεζομένης καὶ τῆς παρ' ὑμῶν ἐπικουρίας
ˈτι μελλούσης, μεταστὰς ἀθρόον καὶ μετοικισάμενος
ἐπ' αὐτὰς δήπου τὰς ὑπερβολὰς τοῦ Καυκάσου ἐν-
:αῦθά τε θηριώδη τινὰ δίαιταν μᾶλλον ὑποστὰς με-
:ιέναι ἢ προσηκάμενος τὴν τῶν πολεμίων φιλοφρο-
ύνην καὶ καταβὰς οἴκοι μένειν ἐν εὐπαθείᾳ; τίς δὴ
ὖν οὗτος; ἐκεῖνος ὁ μηδὲν τῶν δεινῶν, ἥν τι πα-
θεῖν ὑπὲρ ὑμῶν ἔδει, κατορρωδήσας, Γουβάζης, ὦ
ˈόμοι καὶ δίκη, ὁ μηδίσας, ὁ τύραννος, ὁ τὰ Ῥω-
ιαίων καταπροέμενος· καὶ τέθνηκεν ὑπὸ Ῥουστίκου
:ε καὶ Ἰωάννου, βδελυρῶν οὕτω καὶ καταπτύστων
ἀνθρώπων, ἀνὴρ βασιλεύς· ᾧπερ εἰ καὶ τοιούτου
ιετῆν ὡς ἀληθῶς ἐπικλήματος, ἀλλ' οὐχ ὑπὸ τού- C
:ων αὐτὸν ἐχρῆν εὐθὺς ἀνηρπάσθαι, κριθέντα δὲ
ιᾶλλον σχολαίτερον ὑπὸ τοῦ κοινοῦ Ῥωμαίων τε καὶ
Κόλχων βασιλέως, ἅτε δὴ μεγίστου καὶ τῷ παντὶ
κρείττονος, προσηκόντως τιμωρηθῆναι. ἀλλ' ἐπειδὴ
ταύτης δὴ τῆς μιαιφονίας αἰτία μὲν αὐτοῖς ἔνδικος
οὐχ ὑπῆν, δυσμένεια δὲ μᾶλλον παράλογος ὑπὸ βα-
σκανίας ἐς τοῦτο κακοῦ προηγμένη, εἰκότως εὐβου-
λίᾳ μὲν καὶ λογισμῷ σώφρονι καὶ τῇ τοῦ ξυνοίσον-
τος ἐπιγνώσει οὐδένα παρῆκαν καιρόν, μόνῳ δὲ τῷ
αὐθαδιζομένῳ τῆς ψυχῆς καὶ χαλεπαίνοντι πολλὴν
παρέσχον αὐτονομίαν, καὶ τὸ μελετηθὲν ἐκ πλείστου
καὶ ὠδινόμενον οὕτω πως ἐκ τοῦ παρείκοντος ἔδρα- D

a.C. 555 Iustiniani 29 σαν, ὡς μήτε τὴν ἀκμὴν τοῦ παρόντος χρόνου φυλάξασθαι μήτε μὴν διανοηθῆναι. πολέμου γὰρ τοσούτου περιεστηκότος, ἐμφρόνων μὲν ἀνδρῶν ἔργον ἂν ἦν καὶ τὰ ξένα καὶ οὔπω γνώριμα τῶν ἐθνῶν εὐνοίᾳ προσάγεσθαι. οὗτοι δὲ καὶ τοὺς πρῴην οἰκειοτάτους ἐκπολεμῶσαι Ῥωμαίοις περὶ πλείστου πεποίηνται· καὶ τό γε ἧκον ἐς αὐτοὺς προσκεχωρήκαμεν τοῖς ἐναντίοις, ἐπιβουλεύομεν τοῖς πάλαι φιλτάτοις, ἡ χώρα Περσῶν, τὰ πατρῷα νόμιμα φροῦδα, πάντα ξυμβέβηκεν ἀτεχνῶς, ὁπόσα στάσεώς τε καὶ P. 114 ταραχῆς ἐμφυλίας γνωρίσματα μανιώδη. οὐκοῦν ὡς τούτων ἁπάντων ἔργῳ προελθόντων καὶ πανταχόθεν ἡμῖν τῶν πραγμάτων διαρρυέντων, οὕτω ποινὰς ἀξίας αὐτοῖς, εἴπερ ἄρα καὶ εὑρεῖν ἔνεστιν, ἐπακτέον. εἰ γὰρ καὶ ἡμεῖς πιστοὶ πρὸς Ῥωμαίους καὶ βέβαιοι τυγχάνομεν ὄντες, ἀλλ' οὐ δίκαιον, ὦ δικαστά, τῆς ἡμετέρας ἐπιεικείας τούτους ἀπόνασθαι, καὶ ἧττόν τι παθεῖν ἢ καθ' ὅσον ἡ τοῦ ἐγχειρήματος βούλεται φύσις."

7. Οὕτω δὲ τῶν κατηγόρων τοῖς ἐπικλήμασι χρησαμένων τὰ πλήθη τῶν Κόλχων, αὐτοῦ γὰρ ξυνήθροιστο, ἐπαΐειν μὲν οὐ μάλα ἠδύναντο τῆς τῶν λόγων ἀπαγγελίας ἢ τῆς τῶν νοημάτων δεινότητος· ὅμως δὲ τὸ χρῆμα γιγνώσκοντες ἐφ' ᾧπερ ἕκαστα B ἐτύγχανε προηγμένα, ἀγωνιζομένοις τε αὐτοῖς ἐπι ξυνεμόχθουν τῇ προθυμίᾳ καὶ ξυμπεριήγοντο ταῖς μεταβολαῖς τῶν σχημάτων· οὕτω τε τὰς ψυχὰς διέκειντο ὡς ἂν αὐτοῖς ἐκεῖνοι φρονήματος ἔχειν ἢ οἴκτου ἐδόκουν. καὶ εἶτα ἐπειδὴ τοῦ ῥητορεύειν ἐπέπαυντο, αὐτίκα οἵγε ἐπισχόντος βραχὺ τοῦ δικαστοῦ καὶ βουλευομένου κατεμέμφοντο ἡσυχῇ καὶ ἠγανάκτουν ὅτι δὴ μὴ εὐθὺς οἱ ἐναντίοι ἀνῄρητο

τοῦ δὲ παρακελευσαμένου καὶ λέγειν αὐτοῖς ἅττα a. C. 555 Iustiniani 29
ἂν ἐθελήσαιεν, τότε δὴ καταβοᾶν ἐς τὸ ἐμφανὲς ἵεντο,
καὶ ἤδη ὑπετονθόρυζον, καὶ ἤδη ἡ φωνὴ ἐς τὸ σα-
φέστερον διεκρίνετο. ἀλλ᾽ οἱ πρὸς τὸ κατηγορεῖν
τεταγμένοι ταῖς χερσὶ καταπαύοντες ἀνέκοψαν τὴν
περαιτέρω φορὰν τοῦ θορύβου. καὶ τοίνυν σιγῆς V. 81
γεγενημένης, παρελθὼν καὶ Ῥούστικος ἐν μέσῳ ἅμα C
Ἰωάννῃ τῷ ἀδελφῷ ἔλεξε τοιάδε· "Μετήγαγε μὲν
ἡμῖν ἀθρόον καὶ περιέστησεν ἐς τοὐναντίον τὰς τῶν
δοκηθέντων ἐκβάσεις ἡ τύχη, καὶ δέον μεγίστων γε-
ρῶν ἀπόνασθαι πάρεσμεν θανάτου φευξούμενοι δί-
κην· πλὴν ἀλλ᾽ ἥδιστος ἡμῖν ὁ ἀγὼν καταφαίνεται
καὶ πλείστης ὅσης μεγαλαυχίας ἀνάπλεως. γενήσε-
ται γὰρ ἅπασι γνωριμώτερον ὡς μόνοις ἡμῖν διή-
νυσται τὸ προδότην ἄνδρα καὶ τύραννον ἀπολωλέναι
καὶ τὰ βασιλέως πράγματα τὸ μέρος διασεσῶσθαι·
ὥστε εἰ καὶ τεθνάναι ξυμβαίη, στέρξοιμεν ἂν καὶ
ὧς ἄσμενοι καθάπερ τι προσφιλὲς καὶ αὐθαίρετον τὸ
ἀνιαρὸν καὶ ἠναγκασμένον· καὶ οἰχησόμεθα κάλλι- D
στον τοῦτο πρὸς εὐθυμίαν ἐφόδιον ἔχοντες, τὸ γι-
γνώσκειν ἐν ἡμῖν αὐτοῖς ὡς τοὺς Ῥωμαίους κρα-
τοῦντας ἔτι τῶν Κόλχων καταλελοίπαμεν καὶ οὔπω
παρ᾽ ἑτέρων ἀφῃρημένους. εἰ μὲν γὰρ Περσικὸν ἦν
τὸ παρὸν δικαστήριον, καὶ παρ᾽ ἐκείνοις ἐκρινόμεθα,
πάντως ἂν ἡμῖν ἀρνήσεώς τε προσέδει τῶν εἰργα-
σμένων, καὶ δεδιέναι παρῆν τοὺς ἐλέγχους, καὶ δε-
δειγμένοις τυχὸν διαπορεῖν ὁποίοις ἂν καὶ χρησαί-
μεθα λόγοις ὑπὸ δικασταῖς πολεμιωτάτοις, καὶ τῷ
πραχθέντι λίαν ἀχθομένοις τῷ τῆς ἐλπίδος ἡμαρτη-
κέναι. Ῥωμαίου δὲ ἀνδρὸς διαιτῶντος, τίνος ἂν
χάριν ἡμῖν τὸ γεγενημένον ἀπαρνηθείη; τί δὲ καὶ P. 115
ἀπολογεῖσθαι χρεὼν παρ᾽ ὑμῖν αὐτοῖς, ἀνθ᾽ ὧν

a. C. 555 Iustiniani 29 ὑμᾶς εὖ πεποιήκαμεν τὸν τύραννον ἀνελόντες; οὐδὲ γὰρ μεταδοτέον αὐτῷ τοῦ σεμνοῦ τῆς βασιλείας ὀνόματος, ἀλλοτριωτάτῳ διὰ τῶν ἔργων φανέντι· καίτοι μέγα κεκράγασιν οἱ κατήγοροι καὶ δεινὰ τετολμῆσθαί φασιν, ὡς δὴ βασιλέως ἀνῃρημένου· χρὴ δὲ οὐ τῇ πόρπῃ καὶ τῷ χλαμυδίῳ καὶ τοῖς ἐκτὸς φαινομένοις ἐγκαλλωπίσμασι ταύτην προσνέμειν τὴν ἐπωνυμίαν, ἀλλ' ἔνθα τὸ δίκαιον ἐνεργὸν καὶ τοῦ προσήκοντος μὴ ὑπερφρονοίη τὸ ἐφιέμενον καὶ μόνοις τοῖς καθεστῶσι τὸ φρόνημα τῆς ψυχῆς ἀναμετροῖτο. εἰ μὲν οὖν τοιοῦτον ἀπεκτόνα-
B μεν ἄνδρα, παράνομα τετολμήκαμεν, ἔνδικος ἡ κατηγορία, εἰκότως βίαιοι καὶ ἀλαζόνες καὶ μιαιφόνοι παρὰ τῶν Κόλχων ὀνομαζόμεθα. εἰ δὲ τούτων μὲν ὡς πορρωτάτω τοῖς τρόποις ἀπῴκιστο, μέτριον δὲ οὐδὲν ἦν αὐτῷ βεβουλευμένον, ἀλλ' ἢ τοὺς Πέρσας καθ' ἡμῶν λαθραίως ἐπάγειν καὶ καταπροέσθαι τὴν χώραν ἐκείνοις· πῶς οὐ μᾶλλον ἐχρῆν φθάσαι τὸν τοῦ δεινοῦ καιρὸν τῷ προτερήματι ἢ τὴν βασίλειον στολὴν αἰδεσθέντας ὑπὸ τοῖς πολεμίοις γενέσθαι; τοῖς γὰρ κίνδυνόν τινα μελετώμενον ὑπό του προεγνωκόσιν, ἐνὸν μὲν ἐκκλῖναι τὸ παραυτίκα τὴν ἐπιβουλὴν καὶ τὸ παρὸν ἀμωσγέπως παρακρουσαμένοις σχολαίτερον ἐν ὑστέρῳ τοῖς προσπεσοῦσιν ἁρ-
C μόσασθαι, πολλὴ ὠμότης προεπιφέρειν τὴν τιμωρίαν καὶ μὴ μᾶλλον ἀρκεῖσθαι τῇ τοῦ ἀντεπιβουλεύειν τυχὸν ἐξουσίᾳ. ἔνθα δέ, τῶν βεβουλευμένων ἐς ἔργον ἀχθέντων, οὐδὲν ἔτι λείπεται πρὸς ἐπικουρίαν, ἀλλ' ἄρδην εὐθὺς ἅπαντα οἴχεται, ξυναφαιρουμένων τῇ κοινῇ σωτηρίᾳ καὶ αὐτῶν δήπου τῶν ὑπὲρ ταύτης ἐλπίδων, ἐνταῦθα τὸ τάχος αἱρετέον τοῖς ἐμ-

σι, καὶ ὅπως μηδὲν ὁτιοῦν τῶν ἀνηκέστων πεί- a. C. 555 Iustiniani 29
ται παρασκευαστέον.

8. "Εἰ τοίνυν καὶ διαρραγεῖεν οἱ κατήγοροι, ισμα βοῶντες καὶ ἄγος καὶ μιαιφονίαν καὶ τοῖς ούτοις ὀνόμασιν ἐκτραγῳδοῦντες τὸ γεγενημένον, ι πρὸς μόνον τὸ πραχθὲν ἀφορᾶν ἐκβιαζόμενοι· λὰ σὸν ἔργον, ὦ δικαστά, μνήμην ποιεῖσθαι τῶν οϋπαρξάντων, τὰς αἰτίας ἀναθεωρεῖν δι' ὧν ἐπὶ ν πρᾶξιν ὡρμήθημεν, καὶ τῷ εὐλόγῳ τοῦ ἐγχει- ματος τὸ εὔνουν διαγιγνώσκειν τῆς γνώμης. ἐπεὶ ι πολλαχοῦ κατὰ τὰς πόλεις ἀγύρτας τινὰς τυχὸν ιαὶ λωποδύτας ἢ καὶ ἄλλο τι τῶν ἀνοσίων ἔργων τλημμεληκότας, ὁρῶντες νῦν μὲν τῆς κεφαλῆς αιρουμένους, νῦν δὲ τὼ πόδε διατεμνομένους, οὐ ϊ φαινομένου κατηγοροῦμεν, καὶ ταῦτα λίαν ἀπάν- ωπον εἶναι δοκοῦν, οὐδὲ τοῖς ἄρχουσιν, οἷς τὰ ν τιμωριῶν τούτων ἀνεῖται, νεμεσῶμεν, ἐναγεῖς P. 116
τοὺς καὶ μιαροὺς καὶ κακοδαίμονας ἀποκαλοῦντες, λὰ τὰ πρότερον παρ' ἐκείνων τετολμημένα λογι- ενοι, καὶ ὡς ποινὰς τίνουσι τῶν ἀδικημάτων ἐπι- V. 82
ησθέντες, ἡδόμεθα τῇ ὠμότητι. οὐ γὰρ εἰκῇ τὸ άξον ἐξεύρηται, τοῦ ἁμαρτάνοντος ἥκιστα παυο- ου. ἀνῄρηται τοίνυν πρὸς ἡμῶν ὁ Γουβάζης· τί δεινόν, εἰ προδότην ἄνδρα καὶ πολέμιον ἀπε- ναμεν; καίτοι τὴν τοῦ δυσμενοῦς ἐπωνυμίαν οἱ ήγοροι διευκρινήσαντες οὐ τῷ πορρωτέρω ταχ- τι προσήκειν φασίν, ἀλλ' ὅτῳ ἄν, εἰ καὶ ὁμό- λος ᾖ, τὰ τοῖς ἐναντίοις κεχαρισμένα σπουδάζοιτο· τήνδε τὴν δόξαν καὶ ἡμεῖς ἀρίστην ἡγούμεθα ἀληθεστάτην καὶ οἵαν τῆς τοῦ πράγματος φύ- σς ἐστοχάσθαι. οὐκοῦν, ἑκατέρους οὕτως ἀρέ- ν, φέρε πολέμιον ἀποδείξωμεν τὸν Γουβάζην τῷ B

a. C. 555 Iustiniani 29 δοθέντι χρώμενοι τεκμηρίῳ. τούτου γὰρ ταύτῃ κα
δὴ δεικνυμένου, καὶ τὸ δικαίως αὐτὸν ἀνῃρῆσθαι
ξυναναφανεῖται. ἅπαν μὲν οὖν ἀεὶ βάρβαρον φῦ-
λον, εἰ καὶ κατήκοον ᾖ τοῖς Ῥωμαίοις, ἀλλὰ τῷ τῆ
γνώμης ἀλλοτριωτάτῳ διεστηκὸς καὶ τῇ τάξει τῶ
νόμων ἀχθόμενον, ἐπὶ τὸ νεωτεροποιὸν καὶ ταρα
χῶδες φέρεσθαι πέφυκεν· καὶ ἥδιστα μὲν ἂν ἐφ
ἑαυτοῦ βιοῦν διατελοίη μηδαμῶς ὑφ' ἑτέροις ταττό
μενον, ὡς μηδὲ τῶν ἀδικημάτων εὐθύνας ὑπέχειν
εἰ δὲ τοῦτο μὴ οἷόν τε, τὸ γοῦν τὰ ὁμοδίαιτα τῶ
ἐθνῶν καὶ μᾶλλον τοῖς οἰκείοις πλησιάζοντα τρόπο
ἐπάγεσθαι προὔργου ποιοῦνται. πλὴν ἀλλ' εἰ κα
C τούτοις ἀτεχνῶς ὁ Γουβάζης ὑπῆκτο τοῖς πάθε
τῷ βάρβαρός τε πεφυκέναι καὶ τὴν κοινὴν τοῦ γέ
νους νοσεῖν ἀπιστίαν, ὁ δὲ καὶ πρὸς τοῦτο κακί
ἐχώρει καθ' ἡμῶν, ὡς μηκέτι διαλανθάνειν οἴεσθ
δεῖν, τοὐναντίον μὲν οὖν καὶ πρὸς ἔργον ἄγ
ἐπείγεσθαι τὴν προσπεπηγυῖαν τέως τῷ νῷ κα
ὑποκρυπτομένην δυσμένειαν. ἡμῶν γὰρ διαπονου
μένων καὶ πάντα κίνδυνον μετιόντων ὡς ἂν τοῖ
πολεμίοις μηδὲν ὁτιοῦν τῶν κατὰ γνώμην ἐκβαί
αὐτὸς οἴκοι μένειν ᾤετο δεῖν ξὺν τοῖς ὁμοφύλοις κα
πολλῷ τοῦ μοχθεῖν ἀφεστάναι. πλὴν ἀλλ' ἐπετή
ξὺν ἀκριβείᾳ καὶ ἀνεπυνθάνετο τὰς τῶν ἀγών
κινήσεις, ἐς ὅπερ ἂν καὶ χωρήσαιεν. εἰ μὲν οὖν μέ
γιστόν τι κατὰ τοὺς πολέμους τοῖς Ῥωμαίοις διή
νυστο, καὶ τοῦ νικᾶν ἐνεργόν τε καὶ ἀληθεστάτ
D ἤραντο δόξαν, ὁ δὲ τὸ δυσμενὲς τῆς ψυχῆς καὶ β
σκαῖνον ἐπιδεικνὺς διακωμῳδεῖν εὐθὺς ἐπειρᾶτο κ
διαλύειν τὴν ἐκ τῶν ἔργων σεμνότητα, φαύλην μ
τὴν ἐγχείρησιν, φαυλότατον δὲ τὸ πέρας ἀποκαλ
καὶ οὐδὲ τοῦτο ἡμέτερον, ἀλλὰ τοῦ ἀλογίστου τ

χης. εἰ δέ που τυχὸν καὶ σφαλείημεν, πῶς δὲ a.C. 555 Iustiniani 29
όν τε τὸ ἀνθρώπειον μὴ οὐχὶ καὶ πρὸς τἀναντία
εταβάλλειν, ἀλλ' ἐπὶ τῶν αὐτῶν ἀεὶ βεβηκέναι; ὁ
ὲ καθάπερ τις αὐτόματος τῶν γιγνομένων κριτής,
ὴν μὲν τύχην εὐθὺς ἀφίει τῶν ἐγκλημάτων ἀνεύ-
υνον, ὡς οὐ μετὸν αὐτῇ τοῦ συμβάντος· ἣν δὲ P. 117
άντως αὐτῷ προεσκεμμένον καὶ ἐγκριθὲν μηδὲν
ἄλλο δοκεῖν αἴτιον εἶναι τοῦ ἐνδεῶς ἡμῖν τι πεπρᾶχθαι
ἢ μόνον ἀνανδρίαν γνώμης καὶ χειρῶν ἀσθένειαν
καὶ βουλευμάτων ἀβελτερίαν. τὸ γὰρ παλίμβολον
τῆς τύχης καὶ ἄτακτον καὶ ἀλόγιστον, καὶ οἷς καθ'
ἡμῶν αὐτὴν διελοιδορεῖτο οὐδαμῶς ἐπῆγε τοῖς πολε-
μίοις, ὡς ἐκ τούτων ἡμᾶς, οὕτω παρασχόν, ὑπερ-
βαλλομένοις.

9. "Καὶ τοίνυν ἀνεβόα ταῦτα περιφανῶς, καὶ
γνῶναι παρεῖχεν οὐ μόνον τοῖς στρατεύμασι τῶν
Περσῶν, οἷς δὴ καὶ ἕκαστα διεπονεῖτο καὶ ἔπραττεν,
ἀλλ' εὐθὺς ἀγγελιαφόροι σταλέντες πρὸς αὐτοῦ διε-
κήρυττον ἐς Ἰβηρίαν, ἐς Ἀλανούς, τῷ γένει τῶν
Σουανῶν, τοῖς ὑπὲρ τὸν Καύκασον οἰκοῦσι βαρβά-
ροις, τοῖς πόρρω τούτων, τοῖς ἐκείνων ἔτι πορρω-
τέρω, τὰς ἐσχατιὰς ἁπάσης τῆς γῆς εἴπερ αὐτῷ πε- B
ινοστεῖν ἐνῆν, τούτου γε χάριν οὐκ ἂν ἐνεδίδου.
ἦν δὲ τὸ ἄγγελμα· Ῥωμαῖοι κακοὶ τὰ πολέμια καὶ
τῶν βαρβάρων ἡττῶνται. καὶ τὴν περὶ ταῦτα σπου-
δὴν οὐχ ὥστε μόνον πρὸς ὄνειδος ἄγειν τὸ τῶν Ῥω-
μαίων γένος μετῄει· καίτοι καὶ τοῦτο δεινὸν καὶ
λίαν ἐναργὲς γνώρισμα ψυχῆς πολεμίας· τὸ δὲ ἐφ'
ὃ πλέον ἐμόχθει καὶ παρεσκεύαστο, ἕτερόν τι καὶ
τοῦδε μεῖζον ὑπῆν. τὴν γὰρ ὑπὲρ βασιλέως τοῦ με- C
γίστου παρὰ τοῖς ἔθνεσι νικήσασαν δόξαν ὡς ἄρα
δυνάμει τε κράτιστος καὶ πλήθει τροπαίων κεκοσμη- V. 83

a. C. 555 Iusti-niani 29 μένος, διαλύειν τὸ αὐτοῦ μέρος ἐγίγνωσκε χρῆναι, καὶ ταύτῃ πρὸς θράσος κινεῖν καὶ αὐθάδειαν τὸ τέως κατεπτηχὸς καὶ θαυμάζον. ἆρα πολέμιος ἂν ὁ ταῦτα δρῶν καλοῖτο δικαίως ἢ μᾶλλον φίλος καὶ εὔνους καὶ βασιλεὺς καὶ ὑπόσπονδος καὶ ὅσα τοῖς κατηγόροις ἐπὶ τῷ τυράννῳ κεκόμψευται; καίτοι κοινῇ δοθὲν ἑκατέροις, οὐκ ἄλλως διακριτέον τὸ φίλον
D ἀπὸ τοῦ δυσμενοῦς ἢ μόνῳ τῷ πρὸς τὰς ἐκβάσεις τῶν παρεμπιπτόντων εὖ τε τυχὸν ἢ ἑτέρως διακεῖσθαι τὰς γνώμας. ἐπειδὴ οὖν ἀπελήλεγκται καὶ νῦν ὁ Γουβάζης ὡς ἠνιᾶτο μὲν οἷς ἐκρατοῦμεν, ἥδετο δὲ οἷς ἡμαρτάνομεν, τί δήποτε καταβοῶσι τῶν παρὰ Ῥωμαίοις νόμων οἱ βάρβαροι, καθ' οὓς κολάζειν εἰώθαμεν ἢ καὶ ἀναιρεῖν, οὕτω παρασχόν, τοὺς τὸ καθεστὸς τῆς πολιτείας κινοῦντας τὸ μέρος καὶ λυμαινομένους; ἀλλ' εἰ δοκεῖ, τεκμήρια μὲν καὶ γνωρίσματα καὶ τοὺς ἐκ τῶν εἰκότων ἐλέγχους παρῶμεν, μόνην δὲ τὴν ἐκ τῶν πραγμάτων ἐπισκεψώμεθα πεῖραν, οὗπερ ἡμᾶς ἄγουσα φέρει. κατείχετο γὰρ ὑπὸ Περσῶν τὸ φρούριον ἡ Ὀνόγουρις, ἐκ τῆς κατὰ τὴν Ἀρχαιόπολιν περιοικίδος παρῃρημένη· καὶ ἦν αἶσχος οὐ φορητὸν στράτευμα δυσμενὲς εἴσω περιβόλων ἐν τοῖς ἡμετέροις χωρίοις βεβαίως ἱδρῦ-
P. 118 σθαι. ἐνίκα βουλὴ παρὰ τοῖς στρατηγοῖς φοιτᾶν ἐπ' αὐτοὺς ἅπαντα τῷ στρατῷ καὶ καθελεῖν ἢ καὶ ἀπώσασθαι τὸ λυποῦν ἐκ πλείστου καὶ ἐφεδρεῦον. ἔδει πάντως ἡμῖν καὶ στρατιᾶς Κολχικῆς, ὡς ἂν μὴ μόνον τῇ τῶν τόπων ἐμπειρίᾳ πλέον τι τῶν οὐκ ἐπισταμένων πρὸς τὸ ξυνοῖσον διανοηθεῖεν, ἀλλὰ καὶ μαχομένοις ἡμῖν πρὸς ἄνδρας ὁπλίτας ἐξ ἐρυμάτων παρατατομένους, καὶ πρός γε τοὺς ἐκ Μουχειρίσιδος κατὰ τὸ εἰκὸς ἥξοντας, ξυνεπιλάβοιντο καὶ

ταρασταῖεν. τί οὖν ἐπὶ τούτοις ἔδει πράττειν a. C. 555 Iustiniani 29
: στρατηγούς; ἀντιβολεῖν, ὡς ἔοικε, τὸν ἡγεμόνα
γένους, καὶ πρὸς ξυμμαχίαν αἰτεῖν, ἀποδει-
ντας καὶ τὸ εὔλογον τῆς αἰτήσεως· καὶ τοίνυν
ːβόλουν καὶ ἀπεδείκνυον. ὁ δέ, καθάπερ ὡς
θῶς βασιλεύς τις εἶναι πεπιστευκὼς καὶ ὡς ἐξὸν B
ῷ κατ᾽ ἐξουσίαν βιοῦν, ξυστρατεύεσθαι μὲν ἡμῖν
τὸ φρούριον οὐδὲ μέχρι τοῦ παρεῖναι γοῦν μόνον
χετο. οὐ μὴν οὐδὲ σκήψεις τινάς, εἰ καὶ ἀπρε-
, ἀλλ᾽ ἐς προκάλυμμά γε ὅμως τῆς ἀπορρήσεως
ρόσωπον ἐμηχανᾶτο· ἀπεπέμπετο δὲ μάλα σεμνῶς
σοβαρώτερον ἢ κατὰ μισθωτὸν ὑπήκοον τὴν
σιν. καὶ πρός γε νεμεσῶν διετέλει τοῖς στρατη-
, καὶ δυσμενῶς μὲν ἐς αὐτοὺς ἀφυβρίζων,
ερ ἀνδρείαν τοῦτο ἡγούμενος καὶ βασιλεῦσι
τον· ἦ γὰρ τὸ διαρρήδην ὑπὲρ τῶν ἤδη μεμελε-
ένων ἀναισχυντῆσαι. εἶτα διαμέλλειν ἐχρῆν καὶ
ονας ἀναμένειν ἐλέγχους καὶ τὸ βασίλειον γράμμα
νύειν, ἐφ᾽ ᾧ κατὰ τὸ Βυζάντιον ἀφικέσθαι τὸν C
ἐ τῆς οἰκείας χώρας ἐντὸς βραχεῖάν τινα δια-
κι πορείαν ἑλόμενον; καὶ πῶς οἷόν τε ἦν, εἴ γε
λειν αὐτὸν οὕτω χαλεπαίνειν καθ᾽ ἡμῶν προηγ-
ν ἐπετηδεύσαμεν, μὴ οὐχὶ ταραχάς τε μυρίας
φόνους πολλοὺς ἐμφυλίους καὶ μεταχώρησιν
ανῆ καὶ τῶν Περσῶν ἐσφοιτήσεις ἀθρόους γε-
θαι, ἀπειθοῦντος μὲν ἀνέδην τοῦ δυσμενοῦς
διαμαχομένου, τοῦ δὲ παντὸς ἔθνους καὶ μάλα
στάσιν προσιεμένου, τῷ πρὸς τὴν κίνησιν τῶν
εστώτων βαρβαρικώτερον ὁρμῆς πεφυκέναι, καὶ
; γε πλησίον ἔχειν τοὺς ἀνθεξομένους; τοιγάρτοι D
ἀρχηγὸν ἡμεῖς τῆς ἐπιβουλῆς ἀνελόντες, τοσού-
ξυμφορῶν ἑσμὸν παρόντα ἤδη καὶ ὠδινόμενον

a. C. 555 Iustiniani 29 οὕτω πως εὐκολώτατα κατεπαύσαμεν, ὡς νῦν ἀπιστεῖσθαι περιφανῶς εἴπερ ὅλως τι καὶ ἤμελλεν ἔσεσθαι.

10. "Μὴ τοίνυν, ὦ δικαστά, τὴν ἐπιστολὴν προφερόντων μηδὲ κακιζόντων ἡμᾶς ὡς δὴ τοῖς ἐν αὐτῇ γεγραμμένοις οὐδαμῶς ἠκολουθηκότας. τῷ γὰρ οὐ λίαν εὔδηλον ὡς τὸ γεγράφθαι χρῆναι πρὸς τὴν βασιλέως αὐτὸν πόλιν ἰέναι ἀπόπειρα μὲν ὂν ὑπῆρχε καὶ βάσανος, εἴπερ αὐθαιρέτως εἴκοι τοῖς
P. 119 προσταττομένοις, ὥστε δικαίως ἁρμόσασθαι; γνωσθὲν
V. 84 τοίνυν ῥᾳδίως ἡμῖν τὸ ἀνήκουστον τῆς γνώμης καὶ ἁμιλλώμενον, δι' ὃ τὸ ἔλαττον ἀπεσείσατο, πῶς ἐπὶ τὸ μεῖζον ἔδει προτρέπειν, καὶ μὴ θᾶττον ἐς ἐκεῖνο τὸ πέρας ἐλθεῖν, ἐς ὅπερ, πολλῶν ἐν μέσῳ ξυμβεβηκότων δεινῶν, πρὸς ἀνάγκης καὶ ὣς περιήχθημεν ἄν; οὐ γὰρ ἔνεστι τοὺς τὴν ἀκμὴν τοῦ καθήκοντος καιροῦ περιορῶντας καὶ μὴ τοῖς πρακτέοις ἁρμοζομένους, ἐν ὑστέρῳ τὸ παρειμένον ἀνακαλεῖσθαι. ἐλείπετο δὴ οὖν, ὡς ἔοικε, καθά φασιν οἱ κατήγοροι, δίκην τινὰ κινεῖν πρὸς Γουβάζην καὶ ληρώδεις ἀγῶνας ἐγείρειν, καὶ τῆς τῶν πραγμάτων ἀσφαλείας ἀνθαιρεῖσθαι μᾶλλον τὴν ἐπὶ τοῖς λόγοις
B κομψείαν. ἀλλ' οὐ ξυνεχώρουν, ὦ κακοδαίμονες, οἱ Πέρσαι παρόντες καὶ τοῖς ἔργοις ἐγκείμενοι, καὶ τῆς Κολχικῆς χώρας ἁπάσης ταῖς τούτου βουλαῖς ἐπιλαμβάνεσθαι παρεσκευασμένοι. ἐπεὶ δὲ πανταχόθεν ὁ Γουβάζης ἀποδέδεικται πολέμιός τε καὶ προδότης καὶ πρὸς τυραννικὰς ἐλπίδας ἠρμένος, τί διαφέρειν οἴονται σφίσιν οἱ Κόλχοι εἴτε παρ' ἡμῶν εἴτε παρ' ἑτέρων ἀνῄρηται; οὐ γὰρ στρατηγοῖς μόνοις ἢ τοῖς ἄλλως δυνατωτάτοις ὁ τῆς εὐνοίας ἐθέλει σκοπὸς ἐμφύεσθαι καὶ προσιζάνειν· ἀλλὰ παντὶ τῷ

βουλομένῳ βατὸν δήπου καὶ προσῆκον τῆς ἐν ᾗ a. C. 55 Iustiniani
τέτακται πολιτείας ὑπεραλγεῖν καὶ τὸ κοινῇ ξυνοῖσον
ἐς δύναμιν κατορθοῦν. οὐκοῦν εἰ καὶ βδελυροὶ κατ'
αὐτοὺς καὶ κατάπτυστοι καθεστήκαμεν, ἀλλὰ πιστό- C
τατοι βασιλεῖ καὶ φιλορρώμαιοι καὶ οἷοι τοῖς ἐπιβου-
λεύειν πειρωμένοις μὴ ἐφιέναι. εἰ δὲ δεῖ τι καὶ
πλέον εἰπεῖν, ἴσθι σαφῶς, ὦ δικαστά, καλὸν μὲν
ὡς ἀληθῶς καὶ δίκαιον τὸ παρ' ἡμῶν ἐν δέοντι
τολμηθέν, οὐκ ἄνευ δὲ τῆς τοῦ Μαρτίνου γνώμης
γεγενημένον."

11. Εἰρημένων δὲ καὶ τούτων ὁ Ἀθανάσιος τὸ
μὲν παραυτίκα οὐχ ἧττον τοὺς Ῥουστίκου ἀπεδέχετο
λόγους. ξυστάσης δὲ καὶ δὶς ἀγωνίας, ἐπειδὴ
ἅπαντα ἐς τὸ ἀκριβὲς γνωματεύων καὶ ἀνερευνώ-
μενος οὐδέν τι αὐτῷ ἐναργὲς προδοσίας ἢ τυραννί- D
νος ἐγχείρημα ἡμαρτῆσθαι ὑπὸ τοῦ Γουβάζου ἐδέ-
δεικτο, ἄδικος δὲ μᾶλλον καὶ παρανομώτατος ὁ
φόνος γεγενημένος, ὡς καὶ τῆς ἐπὶ τὴν Ὀνόγουριν
ξυστρατείας οὐ μηδισμοῦ χάριν ἀπαγορευθείσης,
ἀλλὰ τῷ ἄχθεσθαί γε αὐτὸν κατὰ τῶν στρατηγῶν,
ἀνθ' ὧν αὐτῆς καὶ ἀπεστέρηντο ῥαστώνῃ πολλῇ καὶ
ἐκμελείᾳ κεχαυνωμένοι· ἐπειδὴ οὖν ταῦτα ἐγίγνωσκε,
τότε δὴ τὸ μὲν ἐπὶ Μαρτίνῳ λεχθὲν ὡς ἄρα καὶ
ἐκείνῳ μετῆν τῶν ἐς τοῦτο βεβουλευμένων, ἀνοίσειν
βασιλεῖ διενοεῖτο. τοῖς γε μὴν τὸ ἀπεκτονέναι περι-
φανῶς ὡμολογηκόσι κρίσιν ἐπῆγεν ἀνάγραπτον, ἐν
ᾗ διέταττε θᾶττον αὐτοὺς διαφθαρῆναι, ὑπὸ τὴν P. 12
δικαστικὴν μάχαιραν γιγνομένους καὶ τὰς κεφαλὰς
ἀφαιρουμένους. καὶ οἱ μὲν ἐπὶ τοῖς ὀρεῦσιν ἥμενοι
καὶ ἀνὰ τὰς λεωφόρους περιενεχθέντες μέγιστον
θέαμα τοῖς Κόλχοις εἶναι ἐδόκουν καὶ πλείστης ἄξιον
εὐλαβείας. ἐτεθήπεσάν τε καὶ ἐπὶ τῷ κήρυκι τορόν

a. C. 555 Iustiniani 29 τι μάλα βοῶντι καὶ διαπρύσιον, καὶ παρεγγυῶντι δεδιέναι τοὺς νόμους καὶ φόνων ἀδίκων ἀπέχεσθαι. ἐπεὶ δὲ αὐτοῖς καὶ ἀπετέτμηντο οἱ αὐχένες, τότε δὴ ἅπαντες ἐς οἶκτον ἐτράποντο, ἀποβεβληκότες τὸ χαλεπαῖνον. καὶ ἐπὶ τούτοις ἐλέλυτο μὲν ὁ ἀγών· οἱ δὲ Κόλχοι αὖθις διετέλουν εὖνοι ὄντες ἐς τὰ μάλιστα Ῥωμαίοις καὶ τὸν πρότερον ἀνανεούμενοι τρόπον.

B 12. Τούτων γεγενημένων, τὰ μὲν τῶν Ῥωμαίων στρατόπεδα διεχείμαζεν ἀνὰ τὰ πολίσματά τε καὶ φρούρια, ὥς πῃ ἑκάστῳ διετέτακτο. ἐν τούτῳ δὲ ἄνδρες τῶν παρὰ Μισιμιανοῖς δυνατωτάτων ἐς Ἰβηρίαν παρὰ τὸν Ναχοραγὰν ἀφικόμενοι, ἅπαντά οἱ διήγγειλαν τὰ ἐπὶ Σωτηρίχῳ πρὸς αὐτῶν τετολμημένα, τὴν μὲν ἀληθεστάτην αἰτίαν ἠρέμα ὑποκρυπτόμενοι, λέγοντες δὲ ὡς ἐπειδὴ ἐκ πλείστου τὰ Περσῶν ἐτύγχανον ᾑρημένοι, προπηλακίζεσθαι σφᾶς ὑπό τε Κόλχων αὐτῶν καὶ Ῥωμαίων καὶ ἐν τοῖς ἀτιμοτάτοις τετάχθαι, πέρας δὲ Σωτήριχον αὐτοῖς
C ἐπιστῆναι, λόγῳ μὲν ὡς δὴ χρυσίον τοῖς ξυμμάχοις διατεμοῦντα, ἔργῳ δὲ τὰ ἐπὶ λύμῃ τε καὶ καθαιρέσει τοῦ παντὸς γένους διαπραξόμενον. "Παρὸν τοίνυν
V. 85 ἡμῖν" ἔφασαν οἱ πρέσβεις "ἢ ἄρδην ἀπολωλέναι ἢ προτερήσασι δόξαν μέν τινα ἴσως παρ' ἐνίοις ἀπενέγκασθαι προπετείας καὶ ὡς τοιοίδε κακίζεσθαι, βιοτεύειν δὲ ὅμως ἔτι κατ' ἐξουσίαν, καὶ τὰ ἡμέτερα αὐτῶν ᾗ ἂν ξυνοίσειν δοκοίη διατιθέναι, εἱλόμεθα τὰ ἀμείνονα καὶ τοῦ ἀνθρωπείου μᾶλλον ἐχόμενα τρόπου, τῶν μὲν λοιδοριῶν καὶ κατηγορημάτων ὀλίγα φροντίσαντες, περὶ πλείστου δὲ ποιησάμενοι τὴν σωτηρίαν. Σωτήριχόν τε γὰρ ἀπεκτείναμεν καὶ τοὺς ἅμα αὐτῷ ἐς τοῦτο ἐληλυθότας, ὡς ἂν ἐκείνους
D μὲν τισαίμεθα τῆς ἀδικίας, πίστιν δὲ εὐνοίας βεβαιο-

τάτην ἐνθένδε τοῖς Πέρσαις παρασχόμενοι, εὐκλεέστερον προσχωρήσαιμεν. ἐπεὶ δὲ τούτων τε ἁπάντων καὶ μάλιστα τοῦ μηδισμοῦ ἕνεκα οὐκ ἀνήσουσι χαλεπαίνοντες οἱ Ῥωμαῖοι, ἀλλὰ τάχιστα ἡμῖν ἐπιπεσοῦνται, καὶ ἅπαντας, τό γε ἐς αὐτοὺς ἧκον, διαφθεροῦσι, προσήκει δή σοι, ὦ στρατηγέ, δέχεσθαί τε ἡμᾶς εὐμενῶς καὶ ἐπαμύνειν, τῆς τε χώρας πέρι ὡς οἰκείας τὸ λοιπὸν καὶ κατηκόου τὰ προσήκοντα διανοεῖσθαι· καὶ μὴ περιιδεῖν οἰχήσεσθαι κινδυνεῦον γένος οὐ σμικρὸν οὐδὲ ἄσημον, ἀλλὰ καὶ πλείστην ὅσην ὠφέλειαν τῇ Περσῶν ἐπικρατείᾳ προσφέρεσθαι ἱκανώτατον. πολέμων τε γὰρ ἡμᾶς ἴδριας ὄντας ἀμωσγέπως εὑρήσοιτε ἂν καὶ καρτερώτατα ξυναγωνιζομένους, ἥ τε χώρα, ἐν ὑπερτέρῳ τῶν Κόλχων κειμένη, γενήσεται ὑμῖν ὁρμητήριον ἀσφαλὲς καὶ οἷον ἐπιτείχισμα κατὰ τῶν πολεμίων". ταῦτα δὲ ἀκούσας ὁ Ναχοραγὰν προσίετό τε αὐτοὺς ἀσμενέστατα καὶ ἐπῄνει τῆς μεταστάσεως, καὶ θαρροῦντας ἰέναι ἐκέλευσεν, ὡς τῆς Περσικῆς ἐπικουρίας ἐν δέοντι τευξομένους. οἱ μὲν οὖν πρέσβεις ἐς τὰ οἰκεῖα ἐπανελθόντες καὶ ἕκαστα διαγγείλαντες μεγίστων ἀνέπλησαν τὸ ἔθνος ἐλπίδων.

a. C. 55 Iustiniani 2

P. 12

13. Τοῦ δὲ ἦρος ἀρχομένου, αὐτίκα οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐς ταὐτό που ξυνελθόντες ἔγνωσαν κατὰ Μισιμιανῶν ἐπιστρατεύειν. ἀλλὰ Βούζης μὲν καὶ Ἰουστῖνος ἀνὰ τὴν Νῆσον μένειν ἐτετάχατο, φρουρήσοντες τὰ ἐνθάδε καὶ ἁπάντων ἐπιμελησόμενοι. ἐστέλλοντο δὲ ἐπὶ τὸν πόλεμον ἄνδρες ἐς τετρακισχιλίους, πεζοὶ ἅμα καὶ ἱππόται· ἐν τοῖς ἄλλοι τε ἦσαν τῶν γνωριμωτάτων ἄγαν καὶ Μαξέντιός τε καὶ Θεόδωρος ὁ τῆς Τζανικῆς δυνάμεως πρωτοστάτης, ὥς μοι πολλάκις ἐρρήθη, ἄμφω

a. C. 55 Iustiniani 3

B



..ς καὶ Οὖννοι Σάβειροι ἐπὶ μισθοφορᾷ a. C. 556 Iustiniani 30
..ντες. τοῦτο γὰρ τὸ γένος μέγιστόν τέ P. 122
.. ἄνθρωπον, φιλοπόλεμόν τε ἐς τὰ μά-
..αλέον καὶ οἷον δὴ οὖν ἀεὶ τῶν ὀθνείων V. 85
..σθοῦ τε ἕνεκα μόνου καὶ τῆς ἐπὶ τῇ
..ῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις, νῦν
ξυμμαχεῖν καὶ ξυνδιακινδυνεύειν ἐς
..βαλλόμενον. πολλάκις μὲν γὰρ τοῖς
..λάκις δὲ τοῖς Πέρσαις κατ' ἀλλήλων
..ς ξυνήραντο τοὺς ἀγῶνας, ἐν ὀλίγῳ
..ύνῳ ἐφ' ἑκατέρους τραπέντες καὶ
.. καὶ οὖν ἡ προτέρα μάχη κατὰ
ἐπολεμήθη, ὅτε πολλοὺς τῶν Διλι-
τας σφίσι κατέκτειναν ἐν τῇ νυκτο- B
ἕκαστα προδεδιήγηται. ἐκείνου δὲ
.. λαβόντος, ἀφίεντο μὲν ὑπὸ Ῥω-
..ίμενα κομισάμενοι, πάλιν δὲ τοῖς
.. πολεμιωτάτοις ξυνείποντο, τυχὸν
..υχὸν δὲ ἕτεροι, Σάβειροι δὲ ὅμως
σφετέρου ἔθνους ἐς τὴν ξυμμαχίαν

δὴ οὖν τῶν Σαβείρων ἄνδρες ἐς
παίθρῳ τινὶ περιαυλίσματι πόρρω
..τρατευμάτων ἐτύγχανον ἐσκηνη-
..εντίῳ τε καὶ Θεοδώρῳ σαφέστατα
ὅτι ἄνοπλον οὕτω πως καὶ ἀνει-
..αν ἄγοντες διατελοῦσιν, ἤλαυνον
..ς τριακοσίους ἐπαγόμενοι ἱππότας.
ύκλῳ τὸ ἕρκος, ἦν γὰρ οὐ λίαν ἐς C
..λλ' .. ἀνδρὸς ἔκτοσθεν
.. ..θαι, τούτῳ δὴ
.. ..ς βαρβάρους

a. C. 556 Iustiniani 30 ἀκοντίοις τε καὶ λίθοις καὶ τοξεύμασι καὶ παντὶ τῷ
προστυχόντι. ἀεὶ οὖν πλείους εἶναι τοὺς ἐπελθόντας
ἢ κατὰ τὸ ἀτρεκὲς ὑποτοπήσαντες, ἅμα δὲ καὶ τῷ
ἀδοκήτῳ καταπεπληγμένοι, ἀμύνεσθαι μὲν ἥκιστα
διενοοῦντο, φεύγειν δὲ αὐτοῖς οὐ μάλα ἐξῆν τῷ
θριγκῷ περιεχομένοις. οἱ μὲν οὖν ἄλλοι ἅπαντες
χύδην αὐτοῦ διεφθάρησαν, μόνοι δὲ τετταράκοντα
ἄνδρες παραλόγως διαλαθόντες, καὶ ἐπὶ τοὺς τοί-
χους ἀναρριχώμενοι, εἶτα ἐπὶ θάτερα διεκπεσόντες,
D ὑπὸ τὸ λάσιον τῆς ἐχομένης ἐκρύπτοντο ὕλης. πλὴν
ἀλλὰ καὶ τούτους οἱ Ῥωμαῖοι ἀνιχνεύειν ἐπειρῶντο.
τούτων δὲ τοῖς Πέρσαις ἀπηγγελμένων, αὐτίκα οἵγε
ἴλας ἱππέων στέλλουσιν ἐπ' αὐτοὺς ἐς δισμυρίους
ἄνδρας ξυντεταγμένους. οἱ δὲ Ῥωμαῖοι, εἴξαντες
τῷ πλήθει καὶ ὥσπερ ἀρκούμενοι τῷ γεγενημένῳ,
ἀπεχώρουν δρομαῖοι, καὶ αὖθις ἐς τὸ πρότερον
φρούριον ἐσδραμόντες ἐν τῷ ἀσφαλεῖ καθίσταντο,
τῷ μὲν πραχθέντι μεγαλαυχοῦντες, ἀνιώμενοι δὲ
μόνον ἐπὶ Μαξεντίῳ· ἐτύγχανεν γὰρ τῶν ἀνὰ τὴν
ὕλην δύντων βαρβάρων ὑπό του βιαιότατα τετρω-
μένος, ὡς καὶ φοράδην ἀχθεὶς ἐπὶ κλίνης κρεῖττον
P. 123 ἁπάσης ἐλπίδος ἀποσωθῆναι. ἐπειδὴ γὰρ ἐβέβλητο,
αὐτίκα οἱ ὀπαδοὶ ἀράμενοι αὐτὸν ᾤχοντο μετὰ
τάχους, πρὶν ἅπαντας ἐπελθεῖν τοὺς πολεμίους. ὡς
δὲ ἧκον καὶ ἐπεφέροντο, τότε δὴ οἱ ἄλλοι Ῥωμαῖοι
ἐφ' ἑτέραν τινὰ φεύγοντες πορείαν, καὶ κατὰ σφῶν
τοὺς διώκοντας ἐπισπώμενοι, χώραν παρέσχον ἐκείνῳ
ἐν τῷ ἐρύματι σχολαίτερον ἀποκομισθῆναι.

15. Ἐν τούτῳ δὲ Ἰουστῖνος ὁ Γερμανοῦ ἕνα
τῶν ἀμφ' αὐτὸν ταξιάρχων ἄνδρα Οὖννον τὸ γένος,
Ἐλμινζοὺρ ὄνομα, ἔστειλεν ἐκ τῆς Νήσου ἐς τὴν
Ῥοδόπολιν ἅμα δισχιλίοις ἱππόταις. ἥδε δὲ ἡ Ῥοδό-

a.C.556 Iustiniani 30

πλησίως ἐκβήσεσθαι καὶ ὁπόσα σφίσιν ἐπὶ τῇ ἀνθρώπῳ προαγορευθείη. ἃ μὲν οὖν αὐτοῖς ἐπὶ τῇ ἵππῳ μεμάντευται, οὐκ ἔχω σαφῶς ἀποφήνασθαι. οὐ γάρ μοι τὸ ἀκριβὲς τούτου γε πέρι ἀπήγγελται· πλὴν ἀλλ' οὕτως ἕκαστα προὔβη ὅπως ἐκείνοις ἐτύγχανεν εἰρημένα. γνόντες δὲ ἐνθένδε οἱ ἄλλοι ὡς ἄγαν τοῖς μάγοις διηκρίβωτο τὰ τῆς τέχνης, προύτρεπον καὶ ἐπὶ τῷ γυναίῳ ἅττα ἔσεσθαι γνοῖεν διεξιέναι. τῶν δὲ φησάντων ἄρρενα παῖδα τεχθήσεσθαι, οὐκέτι ἐμέλλησαν, ἀλλὰ τῇ γαστρὶ περιθέντες D τὴν κίδαριν ἀνεῖπον βασιλέα τὸ ἔμβρυον, ὀνόματί τε ἀπέκριναν τὸ ἄρτι ἐκτυπωθὲν καὶ διοργανωμένον, ἐς ὅσον, οἶμαι, διάττειν ἔνδον ἠρέμα καὶ ὑποπάλλεσθαι. οὕτω δὲ τὸ ἀφανὲς τῇ φύσει καὶ ἄδηλον ἐς τὸ βέβαιόν τε καὶ ἀνωμολογημένον τῇ δοκήσει μεταλαβόντες, ὅμως οὐ διήμαρτον τῆς ἐλπίδος, ἀλλὰ καὶ λίαν ἔτυχον τοῦ σκοποῦ, πολλῷ πλέον τῶν δοκηθέντων. τίκτεται γὰρ οὐκ ἐς μακρὰν ὁ Σαβώρης ξὺν τῇ βασιλείᾳ, ἐννεάζει τε αὐτῇ καὶ ἐγγηράσκει, ἐς ἑβδομήκοντα αὐτῷ ἔτη διανυσθέντος τοῦ βίου. κατὰ δὲ τὸν τέταρτόν τε καὶ εἰκοστὸν τῆς τοῦδε ἀρχῆς ἐνιαυτὸν Νίσιβις ἡ πόλις ὑπὸ Πέρσας γεγένηται, Ῥωμαίων μὲν πάλαι οὖσα κατήκοος, Ἰοβιανοῦ δὲ τοῦ σφῶν βασιλέως παραδόντος καὶ προεμένου. ἐν αὐτοῖς γὰρ δήπου τοῖς ἐνδοτέρω χωρίοις τῆς P. 136 Περσικῆς ἐπικρατείας Ἰουλιανοῦ τοῦ προτέρου Ῥωμαίων αὐτοκράτορος ἀθρόον διαφθαρέντος, αὐτὸς ἀναγορεύεται ὑπό τε τῶν στρατηγῶν καὶ τῶν στρατευμάτων καὶ τοῦ ἄλλου ὁμίλου. ἅτε δὲ τῆς ἀρχῆς αὐτῷ ἄρτι καθισταμένης, καὶ τῶν πραγμάτων, ὥσπερ εἰκός, ταραττομένων, καὶ ταῦτα ἐν μέσῃ τῇ πολεμίᾳ, οὐχ οἷός τε ἦν τὰ παρόντα ἐν τῷ δέοντι σχολαίτερον

a. C. 556 Iustiniani 30 τήν τε τῶν Μισιμιανῶν χώραν καὶ Ἀψιλίων διορ καὶ ἀποτέμνεται, ἐφίσταται ὁ Μαρτῖνος, ἐφ' ᾧ τὰ λοιπὰ ἡγεῖσθαι καὶ ἅπαν τὸ στράτευμα διατάττ ἀλλὰ νόσος τις αὐτῷ ἐνσκήψασα μοχθηρὰ παρείλ καὶ ἀνέκοψε τὴν προθυμίαν. καὶ ὁ μὲν αὐτοῦ ἐ μενήκει, ὡς ὀλίγῳ ὕστερον ἐπὶ τὴν Κολχίδα ἐπανήξων καὶ τὰ ἐκείνῃ πολίσματα. οἱ δὲ καὶ ἀνὰ τὰ πρόσω ἐχώρουν, ὑπὸ τοῖς προτέροις πά ἀγόμενοι ἡγεμόσιν. πρῶτα μὲν οὖν ᾠήθησαν χρῆ

P. 124 ἀποπειρᾶσθαι τῶν Μισιμιανῶν, εἴ πού ἄρα ἑ λούσιοι ἐς τὸ σῶφρον μεταβαλοῖεν καὶ τοὺς οἰκεί ἄρχοντας ἐπιγνόντες μεταμελήσοι αὐτοῖς τότε γ τῶν ἡμαρτημένων καὶ σφᾶς τε αὐτοὺς τοῖς Ῥωμαι ἐγχειρίσαιεν καὶ τὰ χρήματα ὁπόσα τὸν Σωτήρι ἀφείλοντο, ἀλλὰ καὶ ταῦτά γε ἀποδοῖεν. καὶ τοί ἐκ τοῦ Ἀψιλίων γένους λογίμους ἄνδρας, ὡς ο τε ἦν, ἀπολεξάμενοι, στέλλουσιν ἐς ταῦτα πρεσβ σομένους. οἱ δὲ Μισιμιανοὶ τοσοῦτον ἐδέησαν ὠμότητος ὑφελεῖν καὶ τοῖς ἐπιγιγνομένοις τὸ φθάσαντος ἄτοπον μετακοσμῆσαι ὥστε ἀμέλει

B ἀθέμιστοι καὶ ἐναγεῖς καὶ κακοδαίμονες καὶ ἄ ἄλλο ἄξιοι ἀκούειν ὅ τι ἄν τις αὐτοὺς νεμεσῶν ἀ καλέσοι, παρωσάμενοι καὶ ἐμπατήσαντες τὰ κ τῶν ἁπάντων ἀνθρώπων νόμιμα, τοὺς πρέσ ἀθρόον ἀπέκτειναν, καὶ ταῦτα Ἀψιλίους γε ὄι ὁμοδιαίτους καὶ ἀγχιτέρμονας, καὶ ὧν μὲν ἐπι λουν ἐκεῖνοι Ῥωμαίοις τε καὶ Σωτηρίχῳ οὐπώ μετειληχότας, παραίνεσιν δὲ φιλίαν ἐς τὸ ξυνο ἄγουσαν οὐ ξὺν χαλεπότητι ἀπαγγείλαντας.

16. Οὕτως ἄρα ἐκ παρανοίας τὸ πρότερον ἀνοσίων ἔργων ἀρξάμενοι τῶν αὐτῶν εἴχοντο παντὸς ἐγχειρημάτων ἢ καὶ πολλῷ ἀνοσιωτέρων.

ἐγνωσμένον αὐτοῖς ὡς οἱ Πέρσαι ἀπιόντες a.C.556 Iustiniani 30
το, καὶ κατὰ τὸ ξυγκείμενον οὐκ ἐπαμύνουσιν,
τῇ τῶν τόπων δυσχωρίᾳ πεποιθότες καὶ τῷ
τε δυνήσεσθαι τοὺς Ῥωμαίους παραμείψασθαί C
ὑτὴν καὶ ὑπερβαλέσθαι, οἱ δὲ τὰ δεινότερα
ϑαν. ἔστι γάρ τι ὄρος προβεβλημένον τῆς χώρας,
μὲν οὐ λίαν, οὐδὲ ἐπὶ μέγα ἠρμένον, ἄναντες
ρόδρα καὶ ὄρθιον καὶ πέτραις ἀποτόμοις ἑκατέ-
ν πεπυκνωμένον· βραχεῖα δὲ ὁδὸς ἐν μέσῳ καὶ
ῆς ὑποφαίνεται καὶ ὁποία μηδὲ ἑνὶ ἀνδρὶ ἀδεέ-
ν πορευομένῳ βατὴ εἶναι ῥᾳδίως καὶ εὐεπί-
ος, ὡς εἴ γέ τις ἐπιστὰς τῇ ἀκρωνυχίᾳ διακω-
τοὺς ἐπιόντας, μήποτε διαβήσεσθαι πολεμίους,
εἰ πλῆθος εἶεν ἀνάριθμον, μηδὲ εἰ κοῦφοι
'τες καὶ εὐσταλεῖς, ὁποίους φασὶ τοὺς Ἰσαύρους.
ῳ δὴ οὖν τῷ χώρῳ πίσυνοι ἐς ἀπόνοιαν ἐτρά-
ο βιαιοτάτην. ἀλλ' οἱ Ῥωμαῖοι, τοῦ μιάσματος D
'γελμένου, ἐν ὀργῇ ἐποιήσαντο τὸ γεγενημένον.
ὴ τῶν βαρβάρων μελλόντων καὶ οὔπω φρουρὰς
ιόφῳ καταστησάντων, προτερήσαντες κρατοῦσι
ἄκρας ῥαχίας, καὶ οὐδενὸς εἴργοντος ὑπερβάν-
ἐς τὰ ἱππάσιμα τῆς χώρας ἅπαντες καὶ ἀνα-
αμένα παρῆλθον πεδία. οἱ δὲ Μισιμιανοὶ
ὴ τῆσδε διήμαρτον τῆς ἐλπίδος, αὐτίκα τὰ
στά γε καὶ περιττὰ τῶν σφετέρων φρουρίων
ιήσαντες, ὡς οὐχ οἷόν τε ὂν ἅπασιν ἀρκέσαι, ἐς
μόνον, ὅπερ ὀχυρώτατον αὐτοῖς ἐδόκει, ἅπαν- V. 88
ξυνελέγοντο. τοῦτο δὲ Τζάχαρ μὲν ἐκ παλαιοῦ
άζεται, Σιδηροῦν δὲ αὐτὸ διὰ τὸ στερρόν τε
ἀνάλωτον ἐπίκλην ἀποκαλοῦσιν. ὀλίγοις δέ τισι
Ῥωμαίων καὶ οὐ πλέον ἢ τετταράκοντα ἱππεῦσι P.125
ϑροισμένοις, ἦσαν δὲ οὐ τῶν πολλῶν, ἀλλ'

a. C. 556 Iustiniani 30 ἔξοχοι ἐς τὰ μάλιστα καὶ τάγμασιν ἐφεστηκότες τούτοις δὴ οὖν ἀποκριδὸν τοῦ ἄλλου ὁμίλου πορευομένοις ἐπιφοιτῶσιν ἄνδρες τῶν Μισιμιανῶν ἐς ἑξακοσίους, πεζοὶ ἅμα καὶ ἱππόται, οἰόμενοι ἅπαντι τῷ πλήθει ξυλλαβόντες ῥᾳδίως διαχειριεῖσθαι. οἱ δὲ τῇ τῶν πολέμων ἐμπειρίᾳ ἐς γεώλοφόν τι ἀνα-δραμόντες ἀρετῆς ἐπεδείκνυντο ἔργα. καὶ ἦν ἐπὶ πολὺ ἡ μάχη καρτερὰ καὶ ἀμφίβολος, τῶν μὲν κύκλωσίν τινα ποιήσασθαι πειρωμένων, τῶν δὲ Ῥωμαίων νῦν μὲν ἀθρόον ἐπεισπηδώντων, ὡς καὶ B διασπᾶν καὶ ἀναταράττειν ἅπασαν τὴν φάλαγγα τῶν πολεμίων, νῦν δὲ αὖθις ἀναθεόντων καὶ ἐν τῷ ἀσφαλεῖ γιγνομένων. ἐν τούτῳ δὲ τῆς ἄλλης στρατιᾶς ἄνωθεν ἐξ ὑπερτέρου τινὸς ὄρους ἐπιφανείσης ἐνέδραν εἶναι καὶ δόλον οἱ βάρβαροι τὸ χρῆμα ὑπο-τοπήσαντες εὐθὺς ἔφευγον προτροπάδην. ἀλλ' ὁ τῶν Ῥωμαίων στρατός, ἐτύγχανον γὰρ ἤδη ἅπαντες ἀλλήλοις ἀναμεμιγμένοι, ἐνέκειντο μάλα διώκοντες ἕως τοὺς πλείστους πολεμίους ἀπέκτειναν, ὡς μό-νους ἐκ τοσούτων ὀγδοήκοντα ἄνδρας ἐς τὸ Σιδη-ροῦν ἐκεῖνο φρούριον ἀποσωθῆναι. εἰ μὲν οὖν αὐτίκα ὅπως εἶχον ὁρμῆς οἱ Ῥωμαῖοι ἐπῆλθον τῷ ἐρύματι, καταπεπληγμένων τῶν βαρβάρων τῇ C ξυνενεχθείσῃ, πάντως ἄν, οἶμαι, αὐτοβοεί ἅπαντας εἷλον καὶ αὐθημερὸν ὁ πόλεμος ἐτελεύτα· νῦν δὲ τῷ μὴ παρεῖναι αὐτοῖς στρατηγὸν τῶν ὀνο-μαστοτάτων δυνάμει τε καὶ φρονήματι προύχοντα, ἴσους δὲ σχεδόν τι ἅπαντας καθεστάναι, ὡς καὶ ἀντεγκαλεῖν ἀλλήλοις τυχὸν καὶ ἀντιπαρακελεύεσθαι καὶ ὁποῖα ἄττα τις φήσειεν τοιάδε καὶ ἐπαΐειν ἀτε-καὶ οὐ λίαν ἀξιέπαινα ὑπῆρχε τὰ ἐγχειρήματα. γὰρ διάφορόν τινα γνώμην μεμερισμένοι, καὶ το

μὲν τοῦτο, τοὺς δὲ ἄλλο τι ἀρέσκον, ἐπράττετο μὲν a. C. 556
οὐδὲ ὁπότερον τῶν βεβουλευμένων· ἕκαστος δὲ χαλε- Iustiniani 30
παίνων, ὅτι μὴ τὸ οἰκεῖον ἐνίκα, ἐκμελῶς πως καὶ
ἀταλαιπώρως προσῄει τοῖς ἔργοις, καὶ μᾶλλον ἥδετο
τοῖς ἀποτεύγμασιν, ὡς ἂν ἔχοι μεγαλαυχεῖν ὕστερον
καὶ παρρησιάζεσθαι πρὸς τοὺς πέλας καὶ τοῦ ἐν- D
δεοῦς αἰτίαν οὐκ ἄλλο τι ἀποφαίνεσθαι ἢ τὸ μὴ τά
οἱ δόξαντα διαπραχθῆναι.

17. Ἐν τούτοις δὴ οὖν ὄντες πόρρω που τῶν
πολεμίων ἢ ὡς ἐν πολιορκίᾳ ἐστρατοπεδεύσαντο, καὶ
πρός γε οὐδὲ ἀμφὶ τὸ περιόρθρον γοῦν ἰόντες τὰς
προσβολὰς ἐν δέοντι ἐποιοῦντο, ἀλλὰ ὄκνῳ εἴκοντες
καὶ ῥᾳθυμίᾳ ὁδοῦ πάρεργα ἡγοῦντο τὰ σπουδαῖα
καὶ ἐπικαιρότατα, κατόπιν μὲν τοῦ προσήκοντος
καιροῦ ἐπιφοιτῶντες τοῖς ἐναντίοις, πρωιαίτερον δὲ
ἐπανερχόμενοι. ταῦτα δὲ μαθὼν ὁ Μαρτῖνος
ἐκπέμπει ὡς τάχιστα ἐπ' αὐτοὺς ἄρξοντά τε ἁπάν- P. 126
των καὶ ἡγησόμενον, ἄνδρα Καππαδόκην μὲν τὸ
γένος, ἀξιώματι δὲ στρατηγικῷ ἐκ πλείστου τετιμη-
μένον, ᾧ δὴ ὄνομα ἦν Ἰωάννης, Δακνᾶν δὲ αὐτὸν
προσεπωνόμαζον. ἔσταλτο δὲ ἐς Κόλχους οὐ πολλῷ
ἔμπροσθεν ἐκ βασιλέως, τὸ Ῥουστίκου ἔχων ἐπί-
ταγμα, ἐφ' ᾧ ἕκαστά τε τὰ ποιούμενα ἐς τὸ ἀκριβὲς
διαγγέλλειν καὶ τῶν στρατιωτῶν τοὺς ἀριστεύοντας
βασιλείοις δώροις φιλοφρονεῖσθαι. οὗτος δὴ οὖν ὁ
Ἰωάννης ἐς Μισιμιανοὺς ἀφιγμένος καὶ ἐπιστὰς τῷ
τῶν Ῥωμαίων στρατεύματι εὐθὺς ἀμφὶ τὸ φρούριον
ἅπαντας ἵδρυσε καὶ πολιορκεῖν ἐπειρᾶτο, ἅμα δὲ
καὶ τοῖς ἔκτοσθεν διαιτωμένοις ἐπιθέσθαι καὶ τὸ B
ξύμπαν διαταράξαι. τῶν γὰρ οἰκήσεων αἱ πλεῖσται
οὐκ ἐν αὐτῷ δήπου τῷ περιβόλῳ ἐτύγχανον οὖσαι,
ἀλλ' ἐπὶ σκοπέλῳ τινὶ ἀγχοῦ παρατεταμένῳ, φάραγ-

a. C. 556 Iustiniani 30 γες δὲ ἐν αὐτῷ καὶ πέτραι ἀπερρωγυῖαι, ἐπὶ π στον διήκουσαι, δυσπρόσοδα λίαν καὶ ἄπορα ὀθνείοις καὶ οὐκ εἰθισμένοις τὰ τῇδε ἅπαντα ἐ λοῦσιν. τό γε μὴν ἐπιχώριον ἐμπειρίᾳ τῶν τό ἔκ τινος στενωτάτης ὁδοῦ καὶ ὑπολανθανού μόλις μὲν καὶ αὐτοὶ καὶ πεπονημένως καταφέρο

V. 89 δὲ ὅμως, εἴ που δεήσοι, καὶ αὖθις ἀνέρπουσιν. δὲ τὸν πρόποδα ἐν αὐτῷ δὴ τῷ χθαμαλῷ καὶ ἠπ μένῳ πίδακες ποτίμου ὕδατος ἀναβλύζουσιν, ὅ

C ὑδρεύονται οἱ τῷ κολωνῷ ἐνοικοῦντες. τότε δὴ (ἐπετήρουν γὰρ οἱ Ῥωμαῖοι καὶ ἀπεῖργον τὸ μέ νύκτωρ οἱ βάρβαροι κατιόντες ἠρύοντο. Ἴσαι δέ τις ἀνήρ, Ἰλλοῦς ὄνομα, ἐπὶ τῇδε τῇ φρο τεταγμένος, ἐπειδὴ κατεῖδε πλείστους τῶν Μισι νῶν πόρρω που τῶν νυκτῶν ἐς τοῦτο καταβεβη τας, ὁ δὲ ὑποκρυπτόμενος ἡσυχῇ ἔμενε καὶ ξι χώρει· ὡς δὲ ἐκεῖνοι τὰς κάλπεις ἐμπλήσαι ἀπεπορεύοντο, εἵπετο λάθρα ὁ Ἴσαυρος καὶ ξυ νήει, ἕως ἐπ' ἄκρου γενόμενος τήν τε τοῦ χωρ θέσιν, ὡς οἷόν τε ἦν ἐν σκότῳ, ἄριστα ἐπεφράσ καὶ ὅτι οὐ πλείους ἢ ὀκτὼ ἄνδρες ἐτετάχατο ἐς κατασκοπεῖν τὴν ἄνοδον καὶ διαφυλάττειν. τα

D τοίνυν ἅπαντα καταγνοὺς αὐτίκα ὑπαναχωρεῖ, τῷ στρατηγῷ ἕκαστα διαγορεύει. ὁ δὲ ἥσθη τε ἄ τῷ ἀγγέλματι καὶ τῆς ἐπιούσης νυκτὸς ἄνδρας ἑ τὸν ἀπολεξάμενος ἀλκίμους τε καὶ θαρραλέους ἔσ λεν ἐπὶ τὴν ἔφοδον, κατασκοπήσοντάς τε τὸν χῶ καὶ ἐπιθησομένους ὅπῃ παρείκοι. εἴρητο δὲ αὐτ ἐπειδὰν βεβαιότατα ἀναβαῖεν, τότε δὴ σημαίνει σάλπιγγι, ὥστε καὶ τοῦ ἄλλου στρατοῦ τῷ τι προσβάλλοντος ἑκατέρωθεν τοὺς πολεμίους δια κηθῆναι.

18. Ὁ μὲν οὖν Ἰλλοῦς προπορευόμενος ἡγεῖτο a. C. 556 Iustiniani 30 τῶν ἀνδρῶν ἐς τὴν ἀνάβασιν, ὡς ἤδη αὐτῷ τῇ πείρᾳ καὶ διεγνωσμένην. εἵπετο δὲ εὐθὺς Ζίπερ ὁ Μαρκελλίνου δορυφόρος, καὶ μετ' εἰκεῖνον Λεόντιος ὁ Δαβραγέζου, καὶ ἐπ' αὐτῷ Θεόδωρος ὁ τῶν Τζάνων ταξίαρχος· καὶ οὕτως ἑξῆς ἅπαντες οἱ ἄλλοι ἀνήγοντο στοιχηδὸν ἀλλήλοις παρομαρτοῦντες. ἤδη P. 127 δὲ αὐτῶν ὑπὲρ τὸ μεσαίτατον ἐληλυθότων, ἑώρων μάλα σαφῶς οἱ προτεταγμένοι τήν τε πυρὰν τῶν φρουρῶν ἀναπτομένην καὶ αὐτοὺς ὡς πλησιαίτατα κατακεκλιμένους· καὶ οἱ μὲν ἑπτὰ περιφανῶς ἐκάθευδον, καὶ ὑπορρέγχοντες ἔκειντο. εἷς δέ γε μόνος ἐπ' ἀγκῶνος ἐρηρεισμένος ὥσπερ ἐγρηγορὼς διετέλει. ξυνείχετο γὰρ καὶ ὃς τῷ ὕπνῳ καὶ ἐκαρηβάρει· καὶ οὔπω δῆλος ἦν ὅποι χωρήσει, ἐπινυστάζων θαμὰ καὶ ἀναπαλλόμενος. ἐν τούτῳ δὲ Λεόντιος ὁ Δαβραγέζου ὑπὲρ τέλματός τινος ὀλισθήσας καταπίπτει ἀθρόον καὶ ὑποφέρεται καὶ περιρρήγνυσι τὴν ἀσπίδα. πατάγου δὲ ὥσπερ εἰκὸς μεγάλου ἀρθέντος, ἀνέθορον ἅπαντες οἱ φρουροὶ διεπτοημένοι B καὶ ὑπὲρ τῆς εὐνῆς ἥμενοι τά τε ξίφη ἐσπάσαντο καὶ κατεσκόπουν ἁπανταχοῦ τοὺς αὐχένας περιδινοῦντες· ξυμβάλλειν δὲ οὐκ εἶχον ὅ τι ποτέ ἐστι τὸ γεγενημένον· τῷ τε γὰρ πυρὶ καταυγαζόμενοι τοὺς ἐν τῷ σκότῳ ἑστῶτας διορᾶν οὐκ ἠδύναντο καὶ ὁ κτύπος αὐτοῖς καθεύδουσι προσπεσὼν οὐ μάλα ἐναργὴς ἦν οὐδὲ ἀποκεκριμένος οὐδὲ ὁποῖος ὅπλα παραδηλῶσαι κατενεχθέντα· οἱ δὲ Ῥωμαῖοι ἐς τὸ ἀκριβὲς ἕκαστα κατεθεῶντο. τοιγάρτοι τὸ βάδισμα ἐπισχόντες ἀτρέμα ἔμενον, ὥσπερ τῇ γῇ ἐνερριζωμένοι, καὶ οὔτε φωνῆς ἦχος ἐψιθυρίζετο οὔτε τοὺς πόδας μετρίως γοῦν μετεκίνουν, ἀλλ' οὕτως ὥσπερ C

a.C. 556 Iustiniani 30 εἶχον προσεπεπήγεσαν, εἴτε πέτρᾳ ὀξείᾳ τυχὸν θάμνῳ τινὶ ἐτύγχανον ἐπιβεβηκότες. εἰ γὰρ μὴ τως ἐποίουν καί τις ξυναίσθησις τοῦ δρωμένου φύλαξιν ἐγεγόνει, πάντως ἂν πέτραν τινὰ μεγά ἐπαφιέντες κατὰ τοῦ πρανοῦς ἐξεκύλιον, ὡς ἅπ τας ἐπιτρῖψαι τοὺς ἐπερχομένους. τῷ τοι ἄρα ἐκ νοι ἄπαυδοί τε εἱστήκεσαν καὶ ἀδόνητοι, καὶ αὐ δὴ τὴν τοῦ πνεύματος φορὰν ξυστέλλοντες ἠρ καὶ ταμιευόμενοι. καὶ ἄγαμαί γε αὐτοὺς ἔγωγε εὐκοσμίας, ὅτι δὴ ἅπαντες ἅμα ὥσπερ ἐκ ξυνθή τος ἐν ἀκαρεῖ χρόνου τοῦ ξυνοίσοντος ἐστοχασμ ἐνεκαρτέρουν τῇ τάξει, καὶ διενοοῦντο ἐν ἑαυ
D ὁπόσα φθέγγεσθαι ὁ καιρὸς οὐκ ἐδίδου. οἱ δὲ β βαροι, ἐπειδὴ αὐτοῖς μηδὲν ὁτιοῦν δεινὸν ὑπεφ νετο, πάλιν ἐς τὸ προσφιλὲς ἐτράποντο, ἀσμενέστ καταδαρθέντες.

19. *Τότε δὴ οὖν οἱ Ῥωμαῖοι οὕτω δή τι αὐ* ἀνειμένως ἀναπαυομένοις ἐπιβάντες ἀπέκτειναν τ τε ἄλλους καὶ πρός γε ἐκεῖνον τὸν ἡμιάγρυπνον, ἄν τις αὐτὸν ἐπιτωθάζων ἐπικαλέσοι. καὶ τὸ λοι ἀδεῶς ἀνὰ τὰ πρόσω χωρήσαντες ἀμφὶ τὰς λαύ
V. 90 τῶν οἰκήσεων ἐσκεδάννυντο, καὶ ἅμα ἡ σάλπ ἐπῇδε τὸ ἐνυάλιον. ἀκούσαντες δὲ οἱ Μισιμια κατεπλήττοντο μὲν τῷ παραλόγῳ· τὰ δὲ παρόντα ξυνιέντες ὅμως ἀνεγρόμενοι ἐπ' ἀλλήλους φοι ἵεντο καὶ ξυναθροίζεσθαι, ἄλλος ἄλλοθεν διεκ
P. 128 δῶντες. ἀλλ' οἱ Ῥωμαῖοι ἐν αὐτοῖς δὴ τοῖς προ ροις ὑπαντιάζοντες, καὶ ὥσπερ τοῖς ξίφεσιν αὐτ δεξιούμενοι, πλεῖστον ὅσον εἰργάζοντο φόνον. μὲν γὰρ ἤδη ἐκβάντες εὐθὺς ἀνῄρηντο, ἕτεροι παρῆσαν καὶ ἄλλοι ἤμελλον, καὶ λώφησις οὐκ ἦν κακοῦ, ἁπάντων ἐπειγομένων. ἤδη δὲ καὶ γυ

:ολλὰ διαναστάντα θύραζε ξυνέρρει ὀλοφυρόμενα· a. C. 556 Iustiniani 30
τὰρ οὐδὲ τούτων ἀπείχοντο οἱ Ῥωμαῖοι ὀργῇ φερό-
.ενοι, ἀλλ' ὠμότατα καὶ αὗται κτεινόμεναι ἀπέλαυον
ῆς τῶν ἀρρένων ἀτασθαλίας. μία δέ τις τῶν κομ-
ʼοτέρων δᾷδα κατέχουσα καιομένην ἐμφανέστατα
πορεύετο· καὶ ἡ μὲν δορατίῳ τὴν γαστέρα διατορη-
ˈεῖσα οἰκτρότατα ἐτεθνήκει, τῶν δέ τις Ῥωμαίων B
:νελόμενος τὸ λαμπάδιον ἐμβάλλει πῦρ τοῖς περι-
:υλίσμασι. τὰ δέ, ξύλοις γὰρ καὶ φορυτῷ ἐτύγχα-
'ον ἐσκευασμένα, τάχιστα ἐνεπίμπρατο· ἥ τε φλὸξ
ς τοσοῦτο μεγέθους ἐξήρθη ὡς καὶ τῷ Ἀψιλίων
ˈθνει καὶ τοῖς πορρωτέρω ἔτι τὰ ποιούμενα διαγγέλ-
.ειν. τότε δὴ οὖν καὶ μᾶλλον οἱ βάρβαροι χύδην
:πώλλυντο. οἱ μὲν γὰρ οἴκοι μεμενηκότες ἐπυρπο-
.οῦντο ἢ κατεχώννυντο· τοῖς δὲ πρὸς τὰ ἐκτὸς
'ιεκπίπτουσιν ἑτοιμότερος ὁ ἐκ τῶν ξιφῶν ὄλεθρος
φειστήκει. παῖδες δὲ πολλοὶ κλαυθμυριζόμενοί τε
:αὶ τὰς τεκούσας ἀναβοῶντες ἡλίσκοντο· καὶ τού-
ων τοὺς μὲν κατὰ τῶν πετρῶν ἀφειδῶς ἀκοντίζον-
:ες διεσπάραττον· ἔνιοι δὲ ὥσπερ ἐν παιδιᾷ ἐς ὕψος C
:νερρίπτοντο, καὶ εἶτα τῷ ἄχθει ἀντιφερόμενοι ὀρ-
ˈίοις τοῖς δόρασιν ὑποδεχθέντες ἐν τῷ μετεώρῳ
ˈιεπερονῶντο. καὶ ἦν μὲν οὐ πόρρω τῶν εἰκότων
;αλεπαίνειν σφόδρα τοὺς Ῥωμαίους τῷ τῶν Μισι-
ιανῶν γένει τοῦ τε Σωτηρίχου ἕκατι καὶ τῆς ἐπὶ
'οῖς πρέσβεσι παρανομίας. ἔδει δὲ ὅμως οὐχ ὅσον
:αὶ ἐς αὐτὰ δὴ τὰ νεογνὰ βρέφη καὶ τῶν τοῖς γο-
'εῦσι τετολμημένων οὐδὲν ἐπιστάμενα παροινεῖν
ˈὕτω καὶ ἀφυβρίζειν. οὔκουν αὐτοῖς οὐδὲ ἄποινὶ
'οῦτο ἡμάρτηται.

20. Τῆς γὰρ νυκτὸς ἁπάσης ἐν τοιοῖσδε κακοῖς
'ιανυσθείσης, ἤδη τε δόξαντος τοῦ χωρίου ἐκπεπορ-

a. C. 556 Iustiniani 30 θῆσθαι, τότε δὴ ἄνδρες τῶν Μισιμιανῶν ἐς πεντα-
κοσίους εὖ μάλα τεθωρακισμένοι, τοῦ φρουρίου ἐκ-
βάντες ἐς αὐτὸ δὴ τὸ λυκαυγὲς ἐπέρχονται τοῖς
D Ῥωμαίοις ἀφυλάκτως διακειμένοις, διὰ τὸ οἴεσθαι
τελεώτατα κεκρατηκέναι. καὶ πλήττουσι μὲν τοὺς
πλείστους, ἅπαντας δὲ ἐς φυγὴν ἐτρέψαντο, βιαιό-
τερον ἐξωθοῦντες. οἱ δὲ ξὺν ταραχῇ ἐπὶ τὸ κάταν-
τες ὑπαγόμενοι συχνῶν τε καὶ ποικίλων τραυμάτων
ἀνάπλεοι ἐς τὸ στρατόπεδον ἐπανῆλθον, τοῖς τε
ἀκοντίοις τῶν πολεμίων βληθέντες καὶ τῷ περιϊκταί-
ειν θαμὰ ταῖς πέτραις διακεχαραγμένοι τὰ σκέλη·
καὶ ἐπ' ἐκεῖνον μὲν αὖθις τὸν σκόπελον ἀνέρπειν
ἥκιστα διενοοῦντο, τῷ δὲ περιβόλῳ ἐπιφέρεσθαι ἢ
μᾶλλον ἐπίμαχος εἶναι ἐδόκει καὶ ἅμα τὴν τάφρον
καταχωννύναι. καὶ τοίνυν οἰκίσκους τινὰς καὶ κα-
P. 129 λύβας πλησιαίτερον τεκτηνάμενοι ἐκ τοῦ ἀσφαλοῦς
ἐτειχομάχουν, μηχαναῖς τε χρώμενοι καὶ τοξείᾳ καὶ
ἄλλῳ ὁτῳοῦν τρόπῳ χαλεπωτάτην τοῖς ἔνδον καὶ
ἀνύποιστον ποιούμενοι τὴν πολιορκίαν. οἱ δὲ βάρ-
βαροι ἐμόχθουν μὲν σφόδρα καὶ ἐπιέζοντο, πλὴν
ἀλλ' οὔπω ἀνίεσαν ἀμυνόμενοι. ἤδη γάρ τινες
σπαλίωνα κομίζοντες ἐπ' ἐκεῖνα δὴ τὰ τῶν Ῥωμαίων
ἕρκη ἐχώρουν ὡς ἅπαντα καταβαλοῦντες. πρὶν δὲ
δὴ πελάζειν αὐτοὺς καὶ ὑποκρύπτεσθαι, Σουαρού-
νας τις ὄνομα, Σκλάβος ἀνήρ, ἀφίησι δόρυ τῷ μάλ-
λον προφαινομένῳ, καὶ πλήττει καιρίαν. πεσόντος
δὲ ἐκείνου αὐτίκα ἐξετινάχθη ὁ σπαλίων, καὶ ἠρή-
ριπτο ἀνατετραμμένος, καί πως ἐς τἀναντία τοῦ κύ-
τους περιηγμένου ἀνεκαλύπτοντο οἱ ἄνδρες καὶ ἀπε-
B γυμνοῦντο. καὶ τοὺς μὲν ἄλλους ῥᾳδίως οἱ Ῥωμαῖοι
κατακοντίζοντες ἔκτειναν, εἷς δέ γε ἀποδρὰς ᾤχετο
καὶ ἤδη ἀγχοῦ ἐγεγόνει, καὶ δὴ ἐπέβαινε τῆς πυλί-

δος. ἀλλὰ τότε ἀθρόον τοξευθεὶς διαφθείρεται. καὶ a. C. 556
αὐτοῦ καταπεσὼν ὑπὲρ τὸν οὐδὸν ἔκειτο, ὀλίγον Iustiniani 30
μέν τι τοῦ σώματος μεθείς, τῷ δὲ πλείονι μέρει πρὸς V. 91
τὰ ἔνδον παρατεταμένος. τοῦτο δὲ ἰδόντες οἱ Μισι-
μιανοί, καὶ σημεῖόν τι, οἶμαι, τῶν ἐσομένων πέρι
φευκτόν τε καὶ ἀπαίσιον ἡγησάμενοι, ἄλλως τε καὶ
ἀπειρηκότες τοῖς πόνοις, καὶ τῆς πρὸς Ῥωμαίους
δυσμενείας ἀπαλλαξείοντες, μάλιστα ὅτι αὐτοῖς οὐδὲ
ἡ ἀπὸ τῶν Περσῶν κατὰ τὸ ξυγκείμενον ἀφῖκτο
ἐπικουρία· ταῦτα δὴ οὖν ἀναλογισάμενοι, καὶ τὴν
οἰκείαν ἀναμετρήσαντες δύναμιν καὶ ὅτι οὐκ ἀξιό- C
μαχοι ἔσονται οὐδὲ περαιτέρω τὸν πόλεμον ὑπομε-
νοῦσι μόλις ἐν τῷ τότε γοῦν ἀναμνησθέντες, εὐθὺς
ἐπρεσβεύοντο πρὸς Ἰωάννην, καὶ ἱκέτευον μὴ σφᾶς
πανωλεθρίᾳ διαφθεῖραι μηδὲ ἀνάρπαστον ἄρδην
ποιήσασθαι γένος ἐκ παλαιοῦ κατήκοον καὶ ὁμόδο-
ξον τὰ ἐς τὸ θεῖον καὶ πλεῖστα ὅσα προηδικημένον,
οὕτω τε ἐληλυθὸς ἐς τὸ ἀντιδρᾶσαι, βαρβάρῳ καὶ
τοῦτο ἀνοίᾳ· οὐ μὴν παντάπασί γε φειδοῦς καὶ ξυγ-
γνώμης ἀνάξιοι ἔφασκον εἶναι τοσαῦτα ἤδη δεινὰ
πεπονθότες καὶ μεγίστας ποινὰς ἀναπλήσαντες, κα-
ταφλεχθείσης μὲν αὐτοῖς τῆς τοῦ φρουρίου περιοι-
κίδος, ἀνδρῶν δὲ ἡβώντων οὐ μεῖον ἢ πεντακισχι- D
λίων ἀπολωλότων, γυναικῶν δὲ πολλῷ πλειόνων,
καὶ παίδων ἔτι πλειόνων, ὡς ὀλίγου γε δεῖν ἅπαν
διαρρυῆναι τὸ φῦλον. ὁ δὲ Ἰωάννης ἀσμενέστατα
προσήκατο τὴν ἱκετείαν, τοῦ τε μὴ ἐπὶ πλεῖστον ἐν
χωρίῳ ἐρήμῳ καὶ δυσχειμέρῳ ἅμα τῇ στρατιᾷ δια-
κινδυνεύειν, καὶ ὅτι ἀποχρώντως ὡς ἀληθῶς οἱ
ἡμαρτηκότες ἐτετιμώρηντο. τοιγάρτοι ὁμήρους λα-
βὼν καὶ τὰ χρήματα ὁπόσα ὁ Σωτήριχος ἐπεφέρετο,
τά τε ἄλλα καὶ πρός γε τὸ ἐκ βασιλέως χρυσίον· ἣν

C. 556 Iustiniani 30 δὲ ἐν νομίσμασιν ἐντελέσι τε καὶ ἀκιβδήλοις δισμυρίοις τε καὶ ὀκτακισχιλίοις πρὸς ἑτέροις ὀκτακοσίοις· ταῦτα δὴ οὖν ἀπειληφὼς καὶ λείαν πολλὴν περιβαλόμενος, ἐφῆκε μὲν αὐτοῖς ἀδεῶς αὖθις τὰ σφέτερα νέμεσθαι καὶ τὸν πρότερον ἀνανεώσασθαι βίον, αὐτὸς δὲ ἐπὶ τὴν Κολχίδα γῆν ἐπανῆκεν, κλεινὸν ἅμα καὶ ἀγέρωχον καὶ μόνοις τριάκοντα ἀνδράσιν ἐξημιωμένον ἀποκομίσας τὸ στράτευμα.

21. Μετὰ δὲ ταῦτα βασιλεὺς Ἰουστινιανός, καθελὼν παντάπασι τῆς ἀρχῆς τὸν Μαρτῖνον, ὁ δὲ Ἰουστῖνον τὸν Γερμανοῦ καθίστησιν ἀντ' αὐτοῦ στρατηγὸν αὐτοκράτορα τῶν τε κατὰ τὴν Κολχίδα χώραν καὶ τῶν ἐν Ἀρμενίᾳ ταγμάτων. ἦν μὲν γὰρ αὐτῷ καὶ πρότερον οὐ μάλα πρὸς θυμοῦ πρωτεύειν ἐκεῖνον B ἁπάντων καὶ ἐξηγεῖσθαι, ὡς δὴ τῆς κατὰ Γουβάζου ἐπιβουλῆς οὐκ ἐλάχιστον μέρος γεγενημένον. κατεῖχε δὲ τέως τὴν γνώμην καὶ ὑπελάνθανε, μὴ χρῆναι οἰόμενος ἀνακινῆσαι τὸ ἄρχον καὶ μετασκευάσασθαι ταραττομένων ἔτι τῶν τῇδε πραγμάτων, καὶ μάλιστα τῆς στρατιᾶς ἡδομένων τῷ Μαρτίνῳ διά τε τὴν τῶν πολεμικῶν ἔργων ἐμπειρίαν καὶ τὸ ἕκαστα ἐν δέοντι διατάττειν. οὗ δὴ ἕνεκα, οἶμαι, καὶ διεσέσωστο, ἐπεὶ ἂν καὶ αὐτὸς Ἰωάννῃ τε καὶ Ῥουστίκῳ ξυνετεθνήκει· νῦν δὲ ὥσπερ αἰδοῖ τῶν τροπαίων καὶ τῆς εὐβουλίας, ᾗ δὴ παρὰ τοὺς κινδύνους ἐχρῆτο, ὑφελὼν ἠρέμα καὶ ὑποχαλάσας τοῦ νόμου τὸ λίαν ἀκριβὲς καὶ ἀτιθάσευτον, ἐφῆκε μὲν τὸ ἐπίκλημα. C ἄρχειν δὲ οὐ ξυνεχώρει, ἀλλὰ ἰδιωτεύειν ἐκέλευεν, ἀρκεῖν ἡγούμενος ἀτιμίᾳ γε αὐτὸν τιμωρήσασθαι, εἰ καὶ τοσούτου μιάσματος μετειλήχει. ἐπειδὴ οὖν οἵ τε Πέρσαι ἠρέμουν καὶ ἐκεχειρίᾳ ἐῴκει τὸ χρῆμα, τότε δὴ τὸν μὲν ἀπεώσατο, Ἰουστῖνον δὲ προσήκοντά

τέ οἱ ὡς ἐγγύτατα κατὰ γένος καὶ ἄλλως ὀνομαστό- a. C. 556
τατον ἐν τῷ τότε εἶναι δοκοῦντα μετάκλητον ἐν Βυ- Iustiniani 30
ζαντίῳ ποιησάμενος ἅπασάν τε αὐτῷ παραδίδωσι
τὴν ἀρχὴν καὶ αὖθις ἐς Κόλχους ἐκπέμπει τοῖς ἐφε-
ξῆς ἁρμοσόμενον. ἦν δέ τις ἐν τῷ ἀμφ' αὐτὸν ὁμί-
λῳ Ἰωάννης ὄνομα, Λίβυς ἀνήρ, ἀφανὴς μὲν τὰ
πρῶτα καὶ πενιχρότατος, ὡς καὶ τοῦ ἀποζῆν ἕνεκα
μισθαρνεῖν ἑτέρῳ τῳ καὶ ξυνέπεσθαι τῶν δορυφό- D
ρων καὶ τὰς τῶν θεραπόντων στέγειν ὀδύνας, οὐ
πολλῷ δὲ ὕστερον ἐπὶ μέγα πλούτου τε καὶ ἀλαζο-
νείας ἠρμένος. πλεῖστα γὰρ ὅσα μηχανησάμενος,
καὶ διὰ ποικίλης χωρήσας ἐννοίας, γνωρίζεται οὐκ V. 92
ἐς μακρὰν τῷ Ἰουστίνῳ, κάκιστος δὲ ὢν καὶ πανουρ-
γότατος καὶ οἷος οὐδὲν ὁτιοῦν τῶν ἀδίκων τε καὶ
ἀνοσίων ἐγχειρημάτων κέρδους ἕκατι ἀπαναίνεσθαι,
ῥητόν τι μέτρον χρυσοῦ αἰτεῖ τὸν στρατηγόν, ὁμο-
λογῶν, εἰ κομίσοιτο, αὐτῷ τε τῷ παρασχόντι ἐς ὅσον
ἂν ἕλοιτο χρόνον τὰ ἐπιτήδεια προσφόρως ἐκποριεῖ-
σθαι, καὶ πρός γε ὁπόσον παρῆν θητικόν τε καὶ
δοῦλον, καὶ ὅσοι ἄλλοι ὀπαδοί τε καὶ ὑπηρέται καὶ
δορυφόροι, ἀλλὰ καὶ τούσδε ἅπαντας τῆς προσηκού- P. 131
σης τροφῆς ἐμπιπλάναι. ταῦτα δὲ πράττων ἐπηγγέλ-
λετο οὐ μόνον ἀποσώσειν τὸ χρυσίον ἅπαν καὶ ἀν-
τικαθεῖναι ὁπόσον ἂν λάβοι ἐντελὲς καὶ ἀλώβητον,
ὥσπερ ἐκδεδανεισμένον, ἀλλὰ γὰρ καὶ ἕτερον προσ-
επιδοῦναι. καὶ ἐδόκει μὲν τοῖς πολλοῖς κόμπος εἶναι
καὶ οἷον αἴνιγμα τὸ εἰρημένον· ὁ δὲ Ἰουστῖνος, καί-
τοι δέον αὐτὸν νεμεσῆσαι τῇ τοῦ Λίβυος ἀβελτερίᾳ,
ἐπιστάμενον ὡς οὐκ ἂν τὴν ὑπόσχεσιν διανύσειεν
μὴ ἄδικα δρῶν καὶ βίαια ἔργα, καὶ παρανόμοις τισὶν
ἐμπορίαις λυμαινόμενος ἅπαντας οἷς ἂν ὁμιλήσειεν·
ὁ δὲ προσήκατό τε τοὺς λόγους, καὶ τὸ χρυσίον πα- B

a.C. 556 Iustiniani 30 μενον, καὶ τρόπῳ ὅτῳ καὶ βούλεται μέτεισι καὶ ἀνιχνεύει τὰ πολλῷ ἔμπροσθεν ἡμαρτημένα. C ἀλλ' ὁποῖα μὲν ἄττα ἐπὶ Ἰουστίνῳ ὕστερον ξυνηνέχθη καὶ ὅπως αὐτῷ ἡ τοῦ βίου καὶ τῆς τοσαύτης εὐδαιμονίας κατάλυσις ἀδόκητος ἐπεγένετο, εἰρήσεταί μοι ἐς τὸ ἀριβὲς ἕκαστα, ἡνίκα ὁ λόγος ὁδῷ ἰὼν ἀκολούθως καὶ διὰ τῶν ἀεὶ ἐχομένων φερόμενος ἐς ἐκεῖνο τοῦ χρόνου περιενεχθείη. νῦν δὲ ἀνὰ τὰ πρότερά μοι ἐπανιτέον, καὶ τοῖς ἑξῆς ἐπιχειρητέα.

23. Ὧδε γὰρ τῶν ἐν Λαζικῇ πραγμάτων ἐχόντων, καὶ Ἰουστίνου ἐπὶ πᾶσι στρατηγοῦ καταστάντος, οὔτε οἱ Πέρσαι ὡς ἀναμαχούμενοι παρεσκευάζοντο, καὶ μέντοι οὐδὲ οἱ Ῥωμαῖοι ἐπῄεσαν· ἀλλὰ προφυλακὰς μὲν ἀμφότεροι ἐποιοῦντο, καὶ τὰ ἀλλήλων βουλεύματα ἐς ὅσον ἐνῆν ἀπεσκόπουν καὶ διεπυνθάνοντο· D μάχης δὲ οὐδὲ ὁπότεροι ἤρχοντο, ἀλλ' ἔμενον ἡσυχῇ, αὐτομάτως, ὥσπερ ἀμέλει τοῦτο ξυνδοκοῦν, διωρισμένον. Χοσρόης δὲ ὁ Περσῶν βασιλεύς, ἐπειδὴ ἐπέπυστο τὰ πρὸς τῷ Φάσιδι ξυμβεβηκότα καὶ ὅτι φυγὰς ἐκ τῆς μάχης ὁ Ναχοραγὰν ἐγεγόνει, αὐτίκα ἐξ Ἰβηρίας αὐτὸν μετακαλεσάμενος ὠμότατα μετῆλθε κατὰ τὸν πάτριον νόμον. οὐ γὰρ ἀποχρῶσαν ᾤετο εἶναι ποινὴν τῆς ἀνανδρίας τὸ οὕτω γοῦν αὐτὸν ἁπλῶς ἀποκτεῖναι, ἀλλ' ἐκ τοῦ αὐχένος τὸ δέρμα διαχαράξας ἀπέδειρεν ἅπαν μέχρι

P. 133 τοῖν ποδοῖν, καὶ ἀφείλετο τῶν σαρκῶν πρὸς τὰ ἔνδον ἀνεστραμμένον, ὡς καὶ τοὺς τύπους τῶν μορίων ἐς τοὔμπαλιν ἀποφαίνεσθαι καὶ δίκην ἀσκοῦ ἠρέμα ἐμπνευσθὲν ὑπὲρ σκόλοπός τινος ἀνηρτῆσθαι, οἰκτρόν τι θέαμα καὶ μιαρώτατον, καὶ πρώτῳ, οἶμαι, Σαπώρῃ ἐκείνῳ τῷ πολλῷ ἔμπροσθεν Χοσρόου Περσῶν βεβασιλευκότι τετολμημένον. τὰ μὲν γὰρ ἐπὶ

Μαρσύᾳ θρυλούμενα τῷ Φρυγί, ὡς ἔρις αὐτῷ a.C.556 Iustiniani 30
πρὸς Ἀπόλλωνα ξυνέστη ὑπὲρ τῶν αὐλῶν καὶ τῆς αὐλητικῆς ἐπιστήμης, ὅτι τε ἡττήθη ἀνὰ κράτος ὁ Μαρσύας, καὶ μάλα δικαίως, ἅτε δῆθεν, εἰ μὴ λίαν εὔηθες εἰπεῖν, οἰκείῳ θεῷ ἀνταυλήσας, καὶ ὡς τήνδε ἀνέπλησε τὴν τιμωρίαν τῆς προπετείας ὑπὸ τοῦ νενικηκότος, ἀποδαρὲν αὐτῷ ἅπαν τὸ δέρμα καὶ ἐπὶ B
δένδρου ᾐωρημένον· ταῦτα δὴ οὖν ἅπαντα ποιητῶν ἂν εἴη τερατεία καὶ μῦθοι καὶ παίγνια, οὔτε τῶν ἀληθῶν οὔτε τῶν εἰκότων ἐστοχασμένα. εἴ γε αὐλητήν φασι τὸν Ἀπόλλω γεγονέναι καὶ ἁμιλλώμενον ἐπὶ τῇ τέχνῃ, καὶ ἐς τοσοῦτο μετὰ τὴν νίκην χαλεπήναντα ὡς ἀνοσίαν οὕτω καὶ μανιώδη ποινὴν ἐπαγαγεῖν τῷ ἡττημένῳ· πῶς δὲ ἂν καὶ ἤρεσκεν αὐτὸν ἐκ τοῦ μετεώρου φαινόμενον τῆς ἀπανθρωπίας τὸ κατηγόρημα; ταῦτα γὰρ οἵ τε πρότερον ποιηταὶ ᾄδουσι καὶ οἱ νέοι παραλαβόντες ξυνᾴδουσιν. ὧν δὴ καὶ Νόννος ὁ ἐκ τῆς Πανὸς τῆς Αἰγυπτίας γεγενημένος ἔν τινι τῶν οἰκείων ποιημάτων, ὅπερ αὐτῷ Διονυσιακὰ ἐπωνόμασται, οὐκ οἶδα ἐφ' C
ὅτῳ ὀλίγα ἄττα τοῦ Ἀπόλλωνος πέρι ἀφηγησάμενος, οὐ γὰρ δὴ τῶν προηγουμένων ἐπῶν ἐπιμέμνημαι, εἶτα ἐπάγει,

ἐξότε Μαρσύαο θεημάχον αὐλὸν ἐλέγξας
δέρμα παρῃώρησε φυτῷ κολπούμενον αὔραις.

ὡς μὲν οὖν ἐξ ἐκείνου τὸ μίασμα τοῦτο οὔπω τῷ ἀνθρωπείῳ γένει διέγνωστο σαφῆ τὰ τεκμήρια καὶ ἀποχρῶντα παρὰ τοῖς ὀρθῶς ἀναθεωρεῖν καὶ τεκμαίρεσθαι τὰ παλαίτατα πεφυκόσιν, ἀλλὰ μὴ ποιητικῇ θεολογίᾳ παρακρουομένοις. ὁ δὲ Σαπώρης ἄδικός τε ὢν ἐς τὰ μάλιστα καὶ μιαιφόνος, ὀξὺς μὲν ἐς ὀργὴν καὶ ὠμότητα, βραδὺς δὲ πρὸς φειδὼ καὶ

A.C. 556 Iustiniani 30 μὲν ἀναιροῦσι τοὺς ἡττημένους, ἐς δὲ φόρου ἀπαγωγὴν ἅπαντας ὑποτιθέντες ἐφιᾶσιν ἐνοικεῖν τε καὶ
P. 135 ἀροῦν τὴν δοριάλωτον, πλὴν ἀλλὰ τοὺς προτέρους τοῦ γένους ἡγεμόνας οἰκτρότατα καταλύοντες οἱ δὲ τοῖς σφετέροις παισὶ τὴν τῆς ἀρχῆς προσηγορίαν ἀπονέμουσι, μνήμης, ὡς ἔοικεν, ἕκατι καὶ κόμπου τῆς ἐπὶ τῷ τροπαίῳ μεγαλαυχίας. ἐπειδὴ οὖν καὶ τὸ τῶν Σεγεστανῶν ἔθνος Οὐαραράνῃ τῷ τοῦδε πατρὶ ἐδεδούλωτο, εἰκότως ἄρα ὁ παῖς Σεγανσαὰ ἐπωνόμαστο· δύναται γὰρ τοῦτο τῇ Ἑλλήνων φωνῇ Σεγεστανῶν βασιλεύς.

25. Τούτου δὲ θᾶττον διαφθαρέντος Ναρσῆς εὐθὺς τὴν βασιλείαν ἐνιαυτοῖς μὲν ἑπτά, μησὶ δὲ πέντε μετῆλθε. διαδέχεται δὲ τὴν ἀρχὴν Ὁρμισδάτης ὁ παῖς, καὶ κληρονομεῖ τοῦ πατρὸς οὐ μόνον
V. 95 τοῦ κράτους, ἀλλὰ καὶ τῆς τοῦ χρόνου ἰσορροπίας.
B καὶ γὰρ θαυμάσειεν ἄν τις, ὅτι δὴ ἑκατέρῳ ἔτεσί τε καὶ μησὶ τοῖς αὐτοῖς τὰ τῆς ἀρχῆς ἐπιμελέστατα ἐμετρήθη. ἀλλὰ Σαβὼρ μετὰ τούτους ἐπὶ πλεῖστον ὅσον καὶ μήκιστον χρόνον ἀπώνατο τῆς βασιλείας, τοσούτοις ἔτεσι κρατήσας ὁπόσοις καὶ διεβίω. ἔτι γὰρ αὐτὸν κυούσης τῆς μητρὸς ἡ μὲν τοῦ βασιλείου γένους διαδοχὴ ἐκάλει πρὸς τὴν ἀρχὴν τὸ τεχθησόμενον. ἦν δὲ τὰ τῶν ὠδίνων ἀμφίβολα ἐς ὁποίαν γονὴν ἂν ἀποβαῖεν. τοιγάρτοι ἅπαντες οἱ ἐν τέλει ἆθλα προυτίθεσαν καὶ γέρα τοῖς μάγοις ἐπὶ τῇ προαγορεύσει τῶν ἐσομένων· καὶ τοίνυν ἦγον ἐς μέσον κύουσαν ἵππον, καὶ ὡς πλησιαίτατα προελθοῦσαν τοῦ τόκου, ἐκέλευόν τε αὐτοὺς ἐπ᾽ αὐτῇ πρώτῃ μαντεύεσθαι, ἅπερ ᾤοντο ξυνενεχθῆναι. οὕτω
C γὰρ ὀλίγαις ὕστερον ἡμέραις γνώσεσθαι ἡγοῦντο τὴν πρόρρησιν ἐς ὅ τι χωρήσει, ταύτῃ τε εἰκάζειν παρα-

ησίως ἐκβήσεσθαι καὶ ὁπόσα σφίσιν ἐπὶ τῇ ἀν- a. C. 556 Iustiniani 30
ώπῳ προαγορευθείη. ἃ μὲν οὖν αὐτοῖς ἐπὶ τῇ
τῷ μεμάντευται, οὐκ ἔχω σαφῶς ἀποφήνασθαι.
γάρ μοι τὸ ἀκριβὲς τούτου γε πέρι ἀπήγγελται·
ἦν ἀλλ' οὕτως ἕκαστα προὔβη ὅπως ἐκείνοις ἐτύγ-
νεν εἰρημένα. γνόντες δὲ ἐνθένδε οἱ ἄλλοι ὡς
αν τοῖς μάγοις διηκρίβωτο τὰ τῆς τέχνης, πρού-
επον καὶ ἐπὶ τῷ γυναίῳ ἅττα ἔσεσθαι γνοῖεν διεξ-
αι. τῶν δὲ φησάντων ἄρρενα παῖδα τεχθήσε-
αι, οὐκέτι ἐμέλλησαν, ἀλλὰ τῇ γαστρὶ περιθέντες D
ν κίδαριν ἀνεῖπον βασιλέα τὸ ἔμβρυον, ὀνόματί
ἀπέκριναν τὸ ἄρτι ἐκτυπωθὲν καὶ διοργανωμέ-
ν, ἐς ὅσον, οἶμαι, διάττειν ἔνδον ἠρέμα καὶ ὑπο-
λλεσθαι. οὕτω δὲ τὸ ἀφανὲς τῇ φύσει καὶ ἄδη-
ν ἐς τὸ βέβαιόν τε καὶ ἀνωμολογημένον τῇ δοκήσει
ταλαβόντες, ὅμως οὐ διήμαρτον τῆς ἐλπίδος, ἀλλὰ
ὶ λίαν ἔτυχον τοῦ σκοποῦ, πολλῷ πλέον τῶν δο-
θέντων. τίκτεται γὰρ οὐκ ἐς μακρὰν ὁ Σαβώρης
ν τῇ βασιλείᾳ, ἐννεάζει τε αὐτῇ καὶ ἐγγηράσκει,
ἑβδομήκοντα αὐτῷ ἔτη διανυσθέντος τοῦ βίου.
τὰ δὲ τὸν τέταρτόν τε καὶ εἰκοστὸν τῆς τοῦδε ἀρ-
ς ἐνιαυτὸν Νίσιβις ἡ πόλις ὑπὸ Πέρσας γεγένη-
, Ῥωμαίων μὲν πάλαι οὖσα κατήκοος, Ἰοβιανοῦ
τοῦ σφῶν βασιλέως παραδόντος καὶ προεμένου.
αὐτοῖς γὰρ δήπου τοῖς ἐνδοτέρω χωρίοις τῆς P. 136
ρσικῆς ἐπικρατείας Ἰουλιανοῦ τοῦ προτέρου Ῥω-
ίων αὐτοκράτορος ἀθρόον διαφθαρέντος, αὐτὸς
χγορεύεται ὑπό τε τῶν στρατηγῶν καὶ τῶν στρα-
μάτων καὶ τοῦ ἄλλου ὁμίλου. ἅτε δὲ τῆς ἀρχῆς
τῷ ἄρτι καθισταμένης, καὶ τῶν πραγμάτων, ὥσπερ
ός, ταραττομένων, καὶ ταῦτα ἐν μέσῃ τῇ πολεμίᾳ,
ς οἷός τε ἦν τὰ παρόντα ἐν τῷ δέοντι σχολαίτερον

a. C. 556 Iustiniani 30 διαθεῖναι. τοιγάρτοι ἀπαλλαξείων τῆς ἐν ὀ
καὶ δυσμενεῖ χώρᾳ διαίτης καὶ μόνης τυχεῖν ι
τὰ οἰκεῖα ἐπανόδου θᾶττον ἱέμενος, ξυνθήκι
θεται ἀγεννεῖς καὶ ἀσχήμονας καὶ ὁποίας μέχι
νῦν τῇ Ῥωμαίων λυμαίνεσθαι πολιτείᾳ, περιστ
ἐς τὰ ὀπίσω καινοῖς ὁρίοις καὶ ὑποτεμνόμενο
B οἰκείας ἀρχῆς τὸ περαιτέρω ἐκβαῖνον. τὰ μὲ
κατ' ἐκεῖνο τοῦ καιροῦ ξυνενεχθέντα πολλοῖ
τῶν προτέρων ξυγγραφέων ἱστόρηται· ἐμοὶ δ
περὶ ταῦτα ἐνδιατρίβειν σχολή, ἀλλὰ τοῦ προ
λόγου ἑκτέον.

26. *Μετὰ γὰρ Σαβώρην Ἀρταξὴρ ἀδελφ*
αὐτῷ καὶ μετασχὼν τῆς βασιλείας τεττάρων
χρόνον κατ' αὐτὴν ἀπεβίω. ὁ δὲ υἱὸς ὁ το
Σαβὼρ καὶ αὐτὸς ἐπεκέκλητο, ἐν ἔτεσι πέντε
κεῖον ἠρίθμησε κράτος· ἐν διπλασίοσι δὲ τούτ
πρός γε ἑνὶ ἑτέρῳ ἐνιαυτῷ Οὐαραράνης ὁ πα
δὴ καὶ Κερμασαὰ ὠνομάζετο. τῶν δὲ τοιούτω
κλήσεων ἡ αἰτία ἤδη μοι εἴρηται. καὶ γὰρ
ἔθνους τυχὸν ἢ χώρας ὑπῆρχεν ἐπωνυμία· τ
C δὲ τῷ πατρὶ τοῦ Οὐαραράνου δεδουλωμένης,
τως ὁ παῖς τὴν ἐπωνυμίαν ἐκτήσατο, καθά που
τερον καὶ παρὰ Ῥωμαίοις ὁ μὲν Ἀφρικανὸς τυ
δὲ ἐξ ἄλλου του γένους νενικημένου ἐπεκλήθη
τούτοις Ἰσδιγέρδης ὁ Σαβώρου τὴν Περσικὴν
μονίαν παραλαμβάνει, ὁ πολὺς παρὰ Ῥωμαίο
V. 96 περιλάλητος. φασὶ γὰρ Ἀρκάδιον τὸν βασιλέα
τῷ θανάτῳ γεγενημένον, καὶ τὰ μετ' αὐτόν, ι
τοῖς ἀνθρώποις νενόμισται, διατάττοντα, τού
φύλακι χρήσασθαι καὶ κηδεμόνι ἐπί τε τῷ
Θεοδοσίῳ καὶ πάσῃ τῇ Ῥωμαϊκῇ καταστάσει.
ται γὰρ οὗτος ὁ λόγος ἐπιπλεῖστον ἐν ἡμ

παλαιοῦ τῇ μνήμῃ παραδοθεὶς τοῖς ἐφεξῆς, καὶ μέχρι a.C. 556 Iustiniani 30 νῦν παρά τε τοῖς λογίμοις καὶ τῷ δήμῳ περιαγόμενος· γραφῇ δέ τινι καὶ λόγοις ἱστορικοῖς οὐκ οἶδα D εὑρὼν τοῦτο φερόμενον, οὐδὲ παρ' οἷς τυχὸν τὰ τῆς Ἀρκαδίου τελευτῆς ἀπεμνημόνευται, ὅτι μὴ μόνον ἐν τοῖς Προκοπίῳ τῷ ῥήτορι ξυγγεγραμμένοις. καὶ οὐδέν, οἶμαι, θαυμαστὸν ἐκεῖνον μὲν ὡς πλεῖστα μεμαθηκότα καὶ πᾶσαν, ὡς εἰπεῖν, ἱστορίαν ἀναλεξάμενον καὶ τήνδε παραλαβεῖν τὴν ἀφήγησιν ἑτέρῳ πρότερον ἐκπεπονημένην, ἐμὲ δὲ αὐτὴν μηδαμῶς ἔτι ἑλεῖν ἐλάχιστα εἰδότα, εἴ γε ἄρα δὴ καὶ ἐλάχιστα. ἀλλ' ἐκεῖνο καὶ μάλα θαύματος ἄξιον εἶναι ἡγοῦμαι, ὅτι διεξιὼν τὰ περὶ τούτων οὐχ ἁπλῶς οὕτω τὰ ἐγνωσμένα διέξεισιν, ἀλλ' ἐπαινεῖ τὸν Ἀρκάδιον καὶ ἀποσεμνύνει, ὡς ἀρίστῃ χρησάμενον P. 137 εὐβουλίᾳ. φησὶ γὰρ αὐτὸν οὐ λίαν ἀγχίνουν εἶναι τὰ ἄλλα πεφυκότα, ἐν τούτῳ δὴ μόνῳ φρενήρη τε καὶ προμηθέστατον ἀποδεδεῖχθαι. ἐμοὶ δὲ δοκεῖ ὁ τοῦτο ἀγάμενος οὐ τῇ πρώτῃ ὁρμῇ τοῦ βουλεύματος τὸ εὔλογον κρίνειν, ἀλλὰ τῷ ὕστερον ἀποβεβηκότι. ἐπεὶ πῶς ἂν εἶχεν καλῶς ἀνδρὶ ὀθνείῳ καὶ βαρβάρῳ καὶ γένους ἄρχοντι πολεμιωτάτου καὶ ὅπως αὐτῷ μετῆν πίστεώς τε καὶ δικαιοσύνης ἠγνοημένῳ, καὶ πρός γε τὰ ἐς θεὸν πεπλανημένῳ καὶ ἀλλογνώμονι, τὰ φίλτατα παραδοῦναι; εἰ δὲ μηδὲν ὁτιοῦν ἐπὶ τῷ βρέφει ἡμάρτηται, ἀλλὰ μεμένηκεν ἡ τούτου βασιλεία βεβαιότατα πρὸς τοῦ κηδεμόνος φυλαττομένη, καὶ ταῦτα ἔτι ὑπὸ μαζῷ τιθηνουμένου, B ἐκεῖνον ἂν μᾶλλον ἐπαινετέον τῆς εὐγνωμοσύνης ἢ Ἀρκάδιον τοῦ ἐγχειρήματος. τούτων μὲν οὖν ἕνεκεν, ὥς πῃ ἕκαστος γνώμης τε καὶ ἀκριβείας ἔχοι, ὧδε κρινέτω. ὁ δὲ Ἰσδιγέρδης εἴκοσι πρὸς τῷ ἑνὶ βασι-

a.C.556 Iustiniani 30 δύο καθελὼν καὶ τοῦ σχήματος ἀφελόμενος, δια
πάλιν ἐχόμενος τῆς ἀρχῆς καὶ πάντα διατάι
οὐκ ἐπὶ πλεῖστον μὲν χρόνον, ἐν αὐτῇ δὲ
ἀπεβίω. κατ' αὐτὸν δὲ καὶ Νέπως ὁ τῆς Ἑσπ
βασιλεὺς ὁμοίαις ἢ καὶ μείζοσιν ὡμίλησε ξυμφο
ὑπὸ γὰρ Ὀρέστου φενακισθεὶς πέφευγεν ἐκ
Ἰταλίας, ἀποβεβληκὼς μὲν τὴν ἁλουργίδα, ο
δὲ αὐτὴν ἀντανείλετο, ἀλλ' ἐν ἰδιώταις τ
διεφθάρη. οὕτως ἄρα ἐν τῷ τότε μεταβολὰς π
λόγους κατὰ τῶν κρατίστων δυνάμεων ξυνελ
ξυνηνέχθη. ζητούντων μὲν οὖν τὴν τούτων α
οἱ τὰς τῶν ἀδήλων 'νιχνεύειν ἀρχὰς εἰθισμένοι
λεγέτωσαν ὁποίας καὶ βούλοιντο, ἐμοὶ δὲ τῆς
τέρας ἐκδρομῆς καὶ αὖθις μεταληπτέον. τεθνη
γὰρ τοῦ Καβάδου κατὰ τὸ πέμπτον ἔτος τῆς
P.140 στινιανοῦ παρὰ Ῥωμαίοις βασιλείας, Χοσρό
πάνυ ὁ καθ' ἡμᾶς διαδέχεται τὴν πατρῴαν ἀ
καὶ πέπραχε πλεῖστα ὅσα καὶ μέγιστα, ὧν ἔνια
Προκοπίῳ τῷ ῥήτορι προαναγέγραπται, τῶ
λοιπῶν ἔμοιγε τὰ μὲν εἴρηται ἤδη, τὰ δὲ ἀκολο
εἰρήσεται. ὡς ἂν δὲ τὸ ξυνεχὲς τῶν χρόνων τε
τατα διαφυλαχθείη, τοσοῦτον ἐρῶ πρὸς τὸ π
ὡς ἐς ὀκτώ τε καὶ τετταράκοντα ἐνιαυτοὺς τοῦ
τους ἐχόμενος πολλὰς ἀνεδήσατο νίκας, καὶ γέγ
ὁποῖος οὔπω πρότερον ἄλλος τῶν παρὰ Πέ
βεβασιλευκότων ἀναδέδεικται, εἴ γε τῷ παντὶ ἐκ
ξυγκρίνοιτο, οὐδὲ εἰ Κῦρον εἴποι τις ἂν τὸν
B βύσου, οὐδὲ Δαρεῖον Ὑστάσπεω, οὐδὲ μὴν Ξ
ἐκεῖνον τὸν ἱππήλατον μὲν δεικνύντα τὴν θάλα
ἐν δὲ τοῖς ὄρεσι ναυτιλλόμενον. πλὴν ἀλλὰ τοι
γε ὢν ἀκλεής γε αὐτῷ ἡ τοῦ βίου καταστροφὴ
γονεν καὶ οἰκτρὰ καὶ τῶν φθασάντων ἀλλοτριω

a. C. 556 Iustiniani 30

ἐτύγχανε μὲν γὰρ ἐν τῷ τότε ἀμφὶ τὰ Καρδούχεια ὄρη ἐς κώμην Θαμανῶν διὰ τὴν τοῦ θέρους ὥραν καὶ τὴν τῶν τόπων εὐκρασίαν μεταβάς τε καὶ ἐνδιαιτώμενος. Μαυρίκιος δὲ ὁ Παύλου, ὑπὸ Τιβερίου Κωνσταντίνου τοῦ Ῥωμαίων αὐτοκράτορος ἄρχειν τῶν κατὰ τὴν ἕω ταγμάτων προστεταγμένος, ἐσέβαλεν ἀθρόον ἐς τὴν Ἀραξιανηνὴν χώραν πρόσοικον οὖσαν τῇ τῆς κώμης περιοικίδι καὶ ἀγχιτέρμονα· καὶ δῆτα οὐκ ἀνίει δῃῶν ἅπασαν ἀφειδῶς καὶ ληιζόμενος. περαιωθεὶς δὲ τὰ ῥεῖθρα τοῦ Ζίρμα C ποταμοῦ ἀνὰ τὰ πρόσω ἔτι ἐχώρει καὶ τὰ ἐν ποσὶν ἐλεηλάτει καὶ ἐνεπίμπρα. οὕτω δὲ αὐτοῦ ἄρδην ἅπαντα καταστρεφομένου καὶ ξυγκυκῶντος, ὁ Χοσρόης, οὐ πόρρω γὰρ ἦν, ἀλλ' ὅσον ἀρθεῖσαν ἤδη θεᾶσθαι τὴν φλόγα, οὐκ ἤνεγκεν τὴν ὄψιν τοῦ πολεμίου πυρός, ἐπεὶ μήπω πρότερον ἑωράκει. τοιγάρτοι αἰδοῖ τε καὶ δέει καταπεπληγμένος οὔτε ἀντεξῄει οὔτε ἠμύνετο, ἀλλὰ τοῖς προσπεσοῦσι πέρα τοῦ μετρίου περιαλγήσας καὶ οἷον ἀπειρηκὼς ταῖς ἐλπίσιν, αὐτίκα νόσῳ ἥλω ὑπὸ δυσθυμίας δεινῇ τε καὶ ἀνηκέστῳ. καὶ τοίνυν φοράδην D ἀχθεὶς μετὰ τάχους πολλοῦ εἰς τὰ ἐν Σελευκείᾳ καὶ Κτησιφῶντι βασίλεια, καὶ φυγὴν τὴν ἀναχώρησιν ποιησάμενος, οὐκ ἐς μακρὰν καταλύει τὸν βίον.

30. Ἀλλὰ γὰρ οὐκ οἶδα ὅντινά με τρόπον ἡ τοῦ λόγου φορὰ παραλαβοῦσα καὶ τῷ ἀξιαγάστῳ, οἶμαι, τῶν πράξεων ἡδομένη ἐς τόδε ἤγαγε προπετείας, ὡς τὰ ἐν μέσῳ ὑπερβάντα τῶν πορρωτάτω ἐπιμνησθῆναι. οὐκοῦν ἐπειδὴ νῦν γοῦν ἐπέγνων ὅποι ἀφῖγμαι καὶ ὅθεν ἐξέβην, ἐκεῖνα μὲν ἐατέον πρὸς τὸ παρόν, ἐν τοῖς οἰκείοις ἀναγραφησόμενα χωρίοις,

a. C. 557 Iustiniani 31 γὰρ τῆς οἰκείας χώρας δαημονέστατος, καὶ ὅθε ἐμβάλλειν ἄριστα ἤμελλε καὶ ὅποι ἐναυλίσασθαι κα ὅπως τοὺς δυσμενεῖς ἀνιχνεῦσαι ἐς τὸ ἀκριβὲς ἐπι στάμενος, εἰκότως ἄρα ἐκεῖνος, ἐκ βασιλέως αὐτ προστεταγμένον, ἐπὶ τήνδε τὴν πρᾶξιν ἐχώρει. ἄρα δὴ οὖν ἐκ τῆς Κολχίδος γῆς ξὺν ἀποχρώσῃ στρατιᾷ καὶ τὰ ἐκτὸς Φάσιδος ποταμοῦ παραμειψάμενος ὁρμ ἐπὶ δυόμενεν ἥλιον, αὐτίκα ἐς τὰ ἐνδότατα τῆς τότ πολεμίας ἐφοίτα. στρατοπεδευσάμενος δὲ ἀμφὶ Θεο δωριάδα τὴν πόλιν καὶ τὸ Ῥίζαιον καλούμενοι αὐτοῦ τε χαράκωμα τῷ στρατῷ περιβαλόμενος, τ
B μὲν ἠρεμοῦν ἔτι καὶ φίλον καὶ οὔπω παρατετραμμέ νον μετακαλούμενος δώροις τε ἐφιλοφρονεῖτο κα ὑπεραγάμενος ἦν τῆς εὐβουλίας· τοὺς δὲ ἀποστάν τας ἀνέδην καὶ παρασπονδήσαντας τίσασθαι ὡ τάχιστα τῷ πολέμῳ παρεσκευάζετο. ἀλλ' ἐκεῖνο οὐδέν τι μελλήσαντες προεπήεσαν τῷ ἐρύματι, κα δὴ ἐπὶ λόφῳ τινὶ ἀγχοῦ που ὑπερανέχοντι ἐς πλῆθο ξυναγερθέντες κατηκόντιζον τῶν Ῥωμαίων ἐξ ὑπερ δεξίων καὶ κατετόξευον, ὡς ἅπαν τὸ στράτευμ διαταραχθῆναι τῷ ἀδοκήτῳ τῆς τόλμης. πολλοὶ δ ὅμως ὑπεκβάντες ἀντεπεφέροντο μὲν προθυμότατα τοῖς ἐναντίοις, οὐ μὴν ἐν τάξει ἐχώρουν, οὐδὲ ἀνέ
V.101 μενον ὅπως αὐτοὺς ἐς τὸ χθαμαλὸν τοῦ πεδίοι ἐκκαλέσοιντο, ἀλλ' ὀργῇ ἐχόμενοι καὶ ἀκοσμί ἐγκαρσίους πως τὰς ἀσπίδας ὑπὲρ τὰς κεφαλὰ προυβέβληντο, ἠρέμα ὑποκεκυφότες καὶ πρὸς τ ἄναντες ἐπειρῶντο ἀναρριχᾶσθαι. οἱ δὲ Τζάν θαμὰ βάλλοντες ἐκ τοῦ μετεώρου δόρασί τε κα πέτραις κυλινδουμέναις ῥᾳδίως αὐτοὺς ἀπεκρού σαντο, καὶ ἐπεκδραμόντες μέχρι μὲν τετταράκοντ ἀνδρῶν ἔκτειναν, τοὺς δὲ ἄλλους ἐς φυγὴν ἔτρεψ

ἀκκλεεστάτην. ἀρθέντες δὲ οἱ βάρβαροι τῷ παραλόγῳ τοῦ προτερήματος ἐν χρῷ τῷ στρατοπέδῳ ἐπέλαζον· ἐνταῦθά τε μάχη ξυνέστη καρτερά, τῶν μὲν εἴσω παρελθεῖν ἱεμένων καὶ ἅπαντας ἀναρπάσασθαι, τῶν δὲ Ῥωμαίων αἰσχρὸν εἶναι ἡγουμένων, οὐ μόνον εἰ μὴ θᾶττον ἀπελάσαιεν τοὺς πολεμίους, ἀλλ' εἰ καὶ μὴ ἄρδην αὐτοὺς διαφθείρωσιν. ὠθούμενοί τε ἑκάτεροι ἀλλήλους καὶ ἀντερείδοντες, καὶ ταῖς χερσὶ ξυμπλεκόμενοι, οὐδὲν ὅτι ἀνίεσαν εὐψυχίας· ἀλλ' ἦν οὕτως ἐπὶ πλεῖστον τὰ τοῦ ἀγῶνος ἀγχώμαλα, κατάγου τε πολλοῦ καὶ βοῆς ξυμμίκτου ἀνάπλεα καὶ οὔπω διακεκριμένα.

a. C. 557 Iustiniani 31

D

2. Θεόδωρος δὲ ὁ τῶν Ῥωμαίων ταξίαρχος ὁρῶν τοὺς δυσμενεῖς ἀστρατηγήτους τε ὄντας καὶ οὐ μάλα ἐν τῷ ἀσφαλεῖ παραταττομένους, οὐδὲ πολλαχοῦ τοῦ περιφράγματος ἐφεστηκότας καὶ ἐγκειμένους, ἀλλὰ πάντας ἅμα ἐς ἕν τι μέρος ξυννενευκότας, ἐνίους μὲν τῶν ἀμφ' αὐτὸν οὕτω κατὰ χώραν ἑστάναι καὶ ἀντιπροσώπους διαμάχεσθαι παρακελεύεται· ἀπόμοιραν δὲ ὡς πλείστην ἐκ τοῦ ἀφανοῦς ἔστειλεν ὄπισθεν τοῖς βαρβάροις ἐπιπεσουμένους. οἱ δὴ λαθραιότατα πορευόμενοι, καὶ κατὰ νώτου ἐπιφανέντες, ἠλάλαξαν ἀθρόον τορόν τι λίαν καὶ ἐνυάλιον, ὥστε ἀμέλει τοὺς Τζάνους διακυκηθέντας μηδέν τι ἕτερον ἐν βουλῇ θέσθαι ἢ τὸ ἀγεννῶς δραπετεύειν. οὕτω δὲ φεύγοντας αὐτοὺς οἱ Ῥωμαῖοι καὶ ὥσπερ παράφρονας ὑπὸ τοῦ δέους γεγενημένους ῥᾷστα διεχειρίζοντο, καὶ δισχιλίους μὲν αὐτῶν ἀπεκτόνασι, τὸ δὲ λειπόμενον ἄλλος ἄλλοθι ἐσκεδάννυντο. οὕτω δὲ ἀνὰ κράτος ἅπαν τὸ γένος ᾑρηκὼς ὁ Θεόδωρος, ὁ δὲ βασιλεῖ διήγγειλε τὰ ξυνενεχθέντα, καὶ ἀνεπυνθάνετο ὅ τι καὶ βούλοιτο ἐπὶ

P. 145

A.C. 557 τούτοις. ὁ δὲ δασμοφορίαν αὐτοῖς ἐπιθεῖναι τακτὴν
Iustiniani 31 διακελεύεται ἀν' ἕκαστον ἔτος ἐς τὸν ἔπειτα χρόνον
B τελεσθησομένην, ὡς ἐν ταύτῃ γοῦν διαγνοῖεν κατη-
κόους σφᾶς εἶναι καὶ ὑποτελεῖς καὶ παντάπασι
δεδουλωμένους. καὶ τοίνυν ἀνάγραπτοί γε αὐτίκα
ἐγίγνοντο ἅπαντες καὶ φόρου ἀπαγωγῇ ἐπιέζοντο·
ἐξ ἐκείνου τε μέχρι καὶ νῦν οὕτω τὰς ἐσφορὰς
ἄγοντες διατελοῦσι. βασιλέα δὲ Ἰουστινιανὸν ὥσπερ
τι, οἶμαι, τῶν μεγίστων ἔργων μάλα ἤρεσε τὸ γεγε-
νημένον. τοιγάρτοι ἔν τινι τῶν οἰκείων νόμων, οὓς
δὴ νεαροὺς ἐπονομάζομεν, τὰς ἄλλας ἀπαριθμού-
μενος νίκας καὶ τοῦδε τοῦ ἔθνους ἐν τοῖς μάλιστα
ἐπεμνήσθη. τὰ μὲν οὖν τῆς Τζανικῆς ἀλαζονείας
ὧδέ πως ἐτελεύτα, καὶ αὖθις ὁ Θεόδωρος ἀνὰ τὴν
τῶν Λαζῶν χώραν παρὰ τοὺς στρατηγοὺς ἐπανῄει.

C 3. Τούτων δὲ οὐ πολλῷ ἔμπροσθεν πάλιν ἐν
Βυζαντίῳ ἐξαίσιόν τι σεισμοῦ χρῆμα ἐνέσκηψεν, ὡς
μικροῦ ἅπασαν ἀνατετράφθαι καὶ διαρρυῆναι τὴν
πόλιν. γέγονε μὲν γὰρ καὶ καθ' αὑτὸν μέγιστος
ἡλίκος καὶ ὁποῖος, οἶμαι, οὐπώποτε πρότερον, τῇ τε
τραχύτητι τοῦ βρασμοῦ καὶ τῷ μονίμῳ τοῦ σάλου.
ἔτι δὲ αὐτὸν φρικωδέστερον ὁ καιρὸς ἀπέδειξε καὶ ἡ
τῶν ἐπιξυμβάντων ἀνάγκη. ἡνίκα γὰρ ἐκείνου τοῦ
ἔτους ἡ τοῦ φθινοπώρου ἔληγεν ὥρα, ἔτι τε τὰ ὑπὲρ
τῶν ὀνομάτων ξυμπόσια ἐτελεῖτο, ἧπερ τοῖς Ῥω-
μαίοις νενόμισται, κρύος μὲν ἤδη ὑπῆρχεν, ὁποῖον
εἶναι εἰκὸς τοῦ ἡλίου ἐπὶ τὰς τροπὰς ἐλαύνοντος
τὰς χειμερίους καὶ πρὸς τὸν αἰγοκέρωτα φερομένου·
D καὶ μάλιστα ἐν τῷ κλίματι δήπου τῷ ὀγδόῳ καλῶς
εἶχεν, ὅπερ, οἶμαι, ἐκ τοῦ Εὐξείνου πόντου παρὰ
τοῖς ταῦτα σοφοῖς ἐπικέκληται. τότε δὲ ἀμφὶ μέσην
τῆς νυκτὸς φυλακὴν ὕπνῳ μὲν οἱ ἀστοὶ εἴχοντο καὶ

ρεμίᾳ, ἐνέπεσε δὲ ἐξαπίνης τὸ δεινὸν καὶ ἅπαντα a. C. 557 Iustiniani 30
ὑθὺς ἐκ βάθρων αὐτῶν ἐδονεῖτο, ἥ τε κίνησις
ιαιότατα κατ' ἀρχὰς ἐσβαλοῦσα ἐπὶ μεῖζον ἔτι ηὐξά-
ετο καὶ ἐπηυξάνετο, ὥσπερ ἐς ἐπίδοσίν τινα καὶ
ὑπερβολὴν τοῦ πάθους χωροῦντος· οὕτω δὴ οὖν V. 102
ἁπάντων ἀφυπνισθέντων κωκυτὸς ἠκούετο πάντοθεν
καὶ ὀλολυγὴ καὶ ἡ πρὸς τὸ θεῖον ἀναβοᾶσθαι αὐτο-
μάτως ἐν τούτοις εἰωθυῖα φωνή· ἐπεὶ καὶ ἦχός τις
βαρὺς καὶ ἄγριος, ὥσπερ χθονία βροντὴ ἐκ τῆς γῆς
ἐναπεμπομένη ἐπηκολούθει τῷ κλόνῳ καὶ ἐδιπλα-
σίαζε τὰς ἐκπλήξεις, ὅ τε περίγειος ἀὴρ ὁμίχλῃ P. 146
καπνώδει οὐκ οἶδα ὅθεν ἀναχθείσῃ κατεμελαίνετο·
καὶ ἦν ἅπας ζοφερὸς καὶ οἷον γεγανωμένος. τοι-
γάρτοι ἀλόγῳ τινὶ τὸ ἀνθρώπειον καὶ ἀνεξετάστῳ
ὑπὸ τοῦ δείματος ἐχόμενοι γνώμῃ ὑπεξῄεσαν τῶν
οἰκημάτων. καὶ αὐτίκα αἵ τε ἀγυιαὶ καὶ οἱ στενωποὶ
ἐνεπίμπλαντο τοῦ ὁμίλου, ὥσπερ οὐχὶ καὶ ἐνταῦθα
οἷόν, εἰ οὕτω τύχοι, διαφθαρῆναι. ξυνεχεῖς γὰρ
ἁπανταχοῦ αἱ οἰκοδομίαι τῆς πόλεως καὶ ξυνημμέναι
ἀλλήλαις, καὶ σπανιαίτατα ἴδοι τις ἂν χωρίον ὕπαι-
θρον καὶ ἀναπεπταμένον καὶ παντάπασιν ἐλεύθερον
τοῦ ἐπιπροσθοῦντος. ὅμως τῷ ἄνω τὰς ὄψεις ἰθύ-
νειν καὶ τὸν οὐρανὸν ἁμωσγέπως ἐπιθεᾶσθαι, οὕτω
τε τὸ θεῖον ἱλάσκεσθαι, ταύτῃ γοῦν αὐτοῖς ἠρέμα B
ὑποχαλᾶν ἐδόκει τὸ δεδιὸς τῆς ψυχῆς καὶ ταραττό-
μενον. καίτοι νιφετῷ ὀλίγῳ ὑπερραίνοντο καὶ ὑπὸ
τοῦ κρύους ἐπιέζοντο· ἀλλ' οὐδ' ὣς ὑπωρόφιοι
ἐγίγνοντο, πλὴν εἰ μὴ ὁπόσοι ἐν ἱεροῖς ἕρκεσι κατα-
φεύγοντες ἐκαλινδοῦντο. γύναια δὲ πολλά, μὴ ὅτι
τῶν ἠμελημένων, ἀλλ' ἤδη που καὶ τῶν ἐντιμοτά-
των, ξυνηλᾶτο τοῖς ἀνδράσι καὶ ἀνεμίγνυντο, τάξις
τε ἅπασα καὶ αἰδὼς καὶ ἡ τῶν γερῶν μεγαλαυχία

C.557 ἀνήρ τις ἐν Βυζαντίῳ Ζήνων ὄνομα, τῷ μὲν τῶν
usti- ani 31 ῥητόρων καταλόγῳ ἀναγεγραμμένος, ἄλλως δὲ δια-
φανὴς καὶ βασιλεῖ γνωριμώτατος, κατῴκει ἀγχοῦ
που τοῦ Ἀνθεμίου, ὡς δοκεῖν ἑκατέρῳ ἡνῶσθαι τὼ
B οἴκω καὶ ὑφ' ἑνὶ τέρματι διαμετρεῖσθαι. προελθόν-
τος δὲ χρόνου ἔρις αὐτοῖς ἐνέπεσε καὶ δυσκολία ἢ
τοῦ διοπτεύεσθαι χάριν, τυχὸν οὐ πρότερον εἰθισμέ-
. 105 νον, ἢ νεωτέρας οἰκοδομίας πέρα τοῦ μετρίου ἐς
ὕψος ἀρθείσης καὶ τῷ φωτὶ λυμαινομένης ἢ ἄλλου
του πέρι, ὁποῖα πολλὰ τοῖς πλησιαίτατα προσοικοῦσι
διαφιλονεικεῖσθαι ἀνάγκη.

7. Τότε δὴ οὖν ὁ Ἀνθέμιος ὑπὸ τοῦ ἐναντίου
ἅτε δικηγόρου καταρρητορευόμενος καὶ οὐχ οἷός τε
ὢν τῇ δεινότητι τῶν ῥημάτων ἐκ τῶν ὁμοίων ἀντι-
φέρεσθαι, ὁ δὲ ἐκ τῆς οἰκείας αὐτὸν ἀντελύπησε
τέχνης τρόπῳ τοιῷδε. δόμον τινὰ ὑπερῷον ὁ Ζή-
νων ἐκέκτητο, εὐρύν τε λίαν καὶ διαπρεπῆ καὶ πε-
C ριεργότατα πεποικιλμένον, ἐν ᾧ δὴ τὰ πολλὰ ἐμφι-
λοχωρεῖν εἰώθει καὶ ἑστιᾶν τοὺς φιλτάτους. τούτου
δὲ τὰ πρὸς τῷ ἐδάφει ἐνδιαιτήματα τῆς Ἀνθεμίου
ὄντα ἐτύγχανε μοίρας, ὡς τὸ μεταξὺ τέγος τῷ μὲν
ἐς ὀροφήν, τῷ δὲ ἐς βάσιν παρατετάσθαι. ἐνταῦθα
δὴ οὖν λέβητας μεγάλους ὕδατος ἐμπλήσας διακρι-
δὸν ἔστησε πολλαχοῦ τοῦ δωματίου, αὐλοὺς δὲ αὐ-
τοῖς ἔξωθεν σκυτίνους περιβαλών, κάτω μὲν εὐρυ-
νομένους ὡς ἅπασαν τὴν στεφάνην περιβεβύσθαι,
ἑξῆς δὲ καθάπερ σάλπιγγα ὑποστελλομένους καὶ ἐς
τὸ ἀναλογοῦν τελευτῶντας, ἐνέπηξε ταῖς δοκοῖς καὶ
ταῖς σανίσι τὰ ἀπολήγοντα καὶ ἐς τὸ ἀκριβὲς ἐνεπε-
D ρόνησεν, ὡς καὶ τὸν ἐν αὐτοῖς ἀπειλημμένον ἀέρα
ἀφετὸν μὲν ἔχειν τὴν ἄνω φορὰν διὰ τῆς κενότητος
ἀνιόντα καὶ γυμνῇ προσψαύειν τῇ ὀροφῇ κατὰ τὸ

παρεῖχον καὶ τῇ βύρσῃ περιεχόμενον, ἥκιστα δὲ ἐς τὰ ἐκτὸς διαρρεῖν καὶ ὑπεκφέρεσθαι. ταῦτα δὴ οὖν ἐκ τοῦ ἀφανοῦς καταστησάμενος πῦρ ἐνῆκε σφοδρὸν ὑπὸ τοὺς τῶν λεβήτων πυθμένας καὶ φλόγα ἐξῆψε μεγάλην· αὐτίκα δὲ τοῦ ὕδατος διαθερομένου καὶ ἀνακαχλάζοντος ἀτμὸς ἐπῆρτο πολὺς καὶ ἀνερριπίζετο παχύς τε καὶ πεπυκνωμένος· οὐκ ἔχων δὲ ὅπῃ διαχυθείη ἐπὶ τοὺς αὐλοὺς ἀνεῖρπε, καὶ τῇ στενότητι πιεζόμενος βιαιότερον ἀνεπέμπετο, ἕως τῇ στέγῃ προσπταίων ἐνδελεχέστατα ἐδόνησεν ἅπασαν καὶ διέσεισεν, ὅσον ὑποτρέμειν ἠρέμα καὶ διατετριγέναι τὰ ξύλα. οἱ δὲ ἀμφὶ τὸν Ζήνωνα ἐταράττοντο καὶ ἐδείμαινον, καὶ ἀμφὶ τὴν λεωφόρον ἐξέπιπτον ποτνιώμενοι καὶ βοῶντες καὶ τῷ δεινῷ καταπεπληγμένοι, φοιτῶν τε ἐκεῖνος ἐν τοῖς βασιλείοις ἀνεπυνθάνετο τῶν γνωρίμων ὅπως αὐτοῖς τὰ τοῦ σεισμοῦ κατεφάνη καὶ μή τι σφᾶς ὅτῳ δὴ οὖν τρόπῳ διεδηλήσατο. τῶν δὲ "εὐφήμει" λεγόντων, "ὦ τᾶν" καὶ "ἄπαγε", καὶ "μήποτε γένοιτο", καὶ πρός γε νεμεσώντων αὐτῷ ὡς δὴ τοιαῦτα φευκτὰ καὶ ἀπαίσια τερατευομένῳ, οὐκ εἶχεν ὅ τι καὶ διανοηθείη. οὔτε γὰρ ἀπιστεῖν ἑαυτῷ οἷός τε ἦν ἐφ' οἷς ἠπίστατο ἀρτίως γεγενημένοις καὶ διαμάχεσθαι κατῃδεῖτο ἐπὶ πολὺ τοσούτοις ἀνδράσι καὶ οὕτω καταμεμφομένοις.

a.C.55 Iustiniani 3 | P. 15 | B

8. Τούτῳ δὴ οὖν πολλῷ τῷ λόγῳ ἐχρῶντο οἱ τὰς ἀναθυμιάσεις καὶ τὰ λιγνυώδη πνεύματα γένεσιν τῶν σεισμῶν ἀποκαλοῦντες. "καὶ γὰρ ὁ μηχανοποιὸς" ἔφασαν "τὴν αἰτίαν διαγνοὺς ὅθεν τὴν γῆν κινεῖσθαι ξυμβαίνει, παραπλήσια ἔδρασε καὶ τῇ τέχνῃ τὴν φύσιν ἀπεμιμήσατο." καὶ ἔλεγον μέν τι, οὐ μέντοι γε ὅσον ᾤοντο. ἐμοὶ γὰρ τὰ τοιαῦτα πιθανὰ μὲν εἶναι δοκεῖ καὶ κομψότερόν πως ἐξευρη-

a. C. 557 Iustiniani 31 νοτίας τὴν ἐπὶ τοῦ κυρτώματος οἰκοδομίαν πρὸς τὰ ἔνδον παρατείναντες καὶ εὐρυτέραν ἠρέμα ποιησάμενοι ὡς μᾶλλον ἁρμοδιώτατα ταῖς ἄλλαις ξυννε-
D νευκέναι καὶ ὁμολογεῖν τὴν ἰσόπλευρον ἁρμονίαν, περιστεῖλαι ταύτῃ δεδύνηται τὴν τοῦ κενώματος ἀμετρίαν καὶ ὑποκλέψαι βραχύ τι τῆς ἐκτάσεως μέρος, ὁπόσον ἑτερόμηκες ἀπετελεῖτο σχῆμα, οὕτω τε ἐπ' αὐτῶν ἥδρασαν πάλιν τὸν ἐν μέσῳ ὑπερανέχοντα, εἴτε κύκλον εἴτε ἡμισφαίριον εἴτε ὅτῳ δὴ οὖν ὀνόματι παρ' αὐτοῖς ἐπικεκλημένον. καὶ γέγονεν ἐντεῦθεν εἰκότως ἰθύτερος μὲν καὶ εὐεπίστροφος καὶ πανταχόθεν τῇ γραμμῇ ἐξισάζων, στενώτερος δὲ καὶ ὀξυτενὴς καὶ οἷος οὐχ οὕτω λίαν ἐκπλήττειν τοὺς θεωμένους ὡς πάλαι, πολλῷ δὲ ὅμως πλέον ἐν τῷ ἀσφαλεῖ βεβηκέναι. ὧν μὲν οὖν ἔδει ἐν ξυγ-
P. 153 γραφῇ τοῦ νεὼ πέρι ἐπιμνησθῆναι καὶ ἐφ' ἃ ἡ τοῦ λόγου φορὰ ἵκετο ἀκολούθως περιαγομένη, ταῦτα ἔμοιγε ἀποχρώντως ἐκδεδιήγηται. ἐγκωμιάζειν γὰρ ἕκαστα τῶν τοῦδε θαυμάτων καὶ ἐπιδεικνύειν τῷ λόγῳ περιττὸν ἂν εἴη καὶ οὐ τοῦ παρόντος ἰδίου ἔργου. εἰ δέ τις ἐθέλοι πόρρω που τυχὸν τῆς πόλεως ἀπῳκισμένος ἔπειτα γιγνώσκειν σαφῶς ἅπαντα, καθάπερ παρὼν καὶ θεώμενος, ἀναλεγέσθω τὰ Παύλῳ τοῦ Κύρου τοῦ Φλώρου ἐν ἑξαμέτροις πεπονημένα, ὃς δὴ τὰ πρῶτα τελῶν ἐν τοῖς ἀμφὶ τὸν βασιλέα σιγῆς ἐπιστάταις, γένους τε κοσμούμενος δόξῃ
V. 107 καὶ πλοῦτον ἄφθονον ἐκ προγόνων διαδεξάμενος, ὅμως παιδεία γε αὐτῷ καὶ λόγων ἄσκησις διεσπούδαστο, καὶ ἐπὶ τοῖσδε μᾶλλον ηὔχει καὶ ἐσεμνύνετο. καὶ τοίνυν πεποίηταί οἱ καὶ ἄλλα ὡς πλεῖστα ποιή-
B ματα μνήμης τε ἄξια καὶ ἐπαίνου, δοκεῖ δέ μοι τὰ ἐπὶ τῷ νεῷ εἰρημένα μείζονός τε πόνου καὶ ἐπιστή-

ις ἀνάπλεα καθεστάναι, ὅσῳ καὶ ἡ ὑπόθεσις θαυ- a. C. 557 Iustiniani 31
ισιωτέρα. εὑρήσεις γὰρ ἂν ἐν αὐτοῖς τὴν ὅλην
ς θέσεως εὐκοσμίαν, καὶ τὰς τῶν μετάλλων φύ-
ις λεπτότατα κατεξητασμένας, τῶν τε προτεμενι-
ιάτων τὸ εὐπρεπὲς ἅμα καὶ ἀναγκαῖον, μεγέθη τε
ιὶ ὑψώματα καὶ ὅσα ἰθύγραμμα σχήματα καὶ ὅσα
ικλικὰ καὶ ὅσα ἐκκρεμῆ καὶ προτεταμένα. γνοίης
: ἂν ἐκ τῶν ἐπῶν καὶ ὅπως ἀργύρῳ τε καὶ χρυσῷ
ὁ ἱερώτερον χωρίον καὶ τοῖς ἀπορρήτοις ἀποκεκρι-
ένον πολυτελέστατα καταπεποίκιλται, καὶ εἴ τι ἄλλο
ρόσεστι μέγα ἢ ἐλάχιστον γνώρισμα, οὐ μεῖον ἢ οἱ C
αμὰ ἐν αὐτῷ περιπάτους ποιούμενοι καὶ ἅπαντα
ασκοποῦντες. ἀλλὰ γὰρ ἥδε μὲν ἡ δευτέρα τοῦ
εὼ ἐπισκευὴ καὶ ἀνόρθωσις ὀλίγῳ ὕστερον χρόνῳ
ετείργασται καὶ ξυνετελέσθη.

10. Ἐκείνου δὲ τοῦ ἔτους ἅμα ἦρι ἀρχομένῳ ἡ a. C. 558 Iustiniani 32
ιμώδης νόσος αὖθις τῇ πόλει ἐνέπεσε καὶ μυρία
ἔφθειρε πλήθη, λήξασα μὲν ἐς τὸ παντελὲς οὐδ'
ωστιοῦν, ἐξ οὗ δὴ τὴν ἀρχήν, φημὶ δὴ κατὰ τὸ
ἔμπτον ἔτος τῆς Ἰουστινιανοῦ βασιλείας, ἐν τῇ καθ'
ιᾶς ἐσήρρησεν οἰκουμένῃ. μεταβᾶσα δὲ πολλάκις
ταξὺ ἄλλοτε ἄλλοθι καὶ τόπον ἐκ τόπου λυμηνα-
ένη, καὶ ταύτῃ τοῖς λειπομένοις ἀνακωχῆς τινος D
ταδοῦσα, τότε δὴ οὖν πάλιν ἐς τὸ Βυζάντιον ἐπα-
ῆκεν, ὥσπερ, οἶμαι, τὸ πρότερον ἐξηπατημένη, καὶ
ἧττον δήπου τοῦ δέοντος ἐνθένδε ἀπαλλαγεῖσα.
ἔθνησκον τοιγαροῦν πολλοὶ ἐξαπιναίως καθάπερ
ἀποπληξίᾳ ἰσχυρᾷ κάτοχοι γεγενημένοι· οἱ δέ γε
λεῖστον διαρκοῦντες μόλις πεμπταῖοι ἀπώλλυντο.
δὲ τῆς νόσου ἰδέα παραπλησία τῇ πρεσβυτέρᾳ
ὑγχανεν οὖσα. πυρετοὶ γὰρ ἐπὶ βουβῶσιν ἀνή-
πτοντο συνεχεῖς καὶ οὐκ ἐφήμεροι οὐδὲ μετρίως

a. C. 558 Iustiniani 32 γοῦν ὑποχαλῶντες, μόνῃ δὲ τῇ τελευτῇ τοῦ ἀ ἀποπαυόμενοι. ἔνιοι δὲ μήτε θέρμης ἡγησα μήτε ἄλλου ἀλγήματος, ἀλλὰ δρῶντες ἔτι τὰ
P. 154 σμένα οἴκοι τε καὶ ἀνὰ τὰς λεωφόρους οὕτω σχὸν κατέπιπτον καὶ ἀθρόον ἄπνοι ἐγίγνοντο, τὸν θάνατον σχεδιάσαντες· καὶ ἅπασα μὲν χύδην ἐφθείρετο, μάλιστα δὲ τὸ ἀκμάζον τε καὶ σκον, καὶ ἐν τούτῳ πλέον οἱ ἄρρενες· τὸ γι θῆλυ οὐ μάλα ὅμοια ἔπασχε. τὰ μὲν οὖν παλα τῶν Αἰγυπτίων λόγια καὶ οἱ παρὰ Πέρσαις ἔ τῶν μετεώρων κινήσεως δαημονέστατοι χρόνο νῶν περιόδους ἐν τῷ ἀπείρῳ αἰῶνι ξυμφέρεσθ γουσι, νῦν μὲν ἀγαθὰς καὶ εὐδαίμονας, ν μοχθηρὰς καὶ ἀποφράδας, εἶναί τε τὴν παρ περιφορὰν ἐκ τῶν κακίστων ἐκείνων καὶ ἀπαι ἐντεῦθεν τοιγαροῦν πολέμους τε ἁπανταχοῦ
B στασθαι καὶ στάσεις ταῖς πόλεσι καὶ τὰ λο πάθη μόνιμά τε εἶναι καὶ ξυνημμένα. ἕτεροι γὴν τοῦ κρείττονος αἰτίαν εἶναί φασι τῆς φ μετιοῦσαν ἀξίως τὰ τοῦ ἀνθρωπείου γένους ματα καὶ τὸ πλῆθος ὑποτεμνομένην. ἐμοὶ δὲ τᾶν ἑκατέρᾳ δόξῃ καὶ ἀποφαίνεσθαι τὴν ἀληθ την οὐκ ἐγχειρητέα, τυχὸν μὲν οὐδὲ ἐπιστα τυχὸν δέ, εἰ καὶ εἰδείην, ἀλλ' οὐκ ἀναγκαῖον γε εἶναι δοκοῦν οὐδὲ τῷ παρόντι λόγῳ προσ μόνου γάρ μοι τοῦ ξυμβεβηκότος εἰ καὶ διὰ βρ ἐπιμνησθέντι ὁ τῆς ἱστορίας ἐκτεθεράπευται

11. Τούτων δὲ οὕτω ξυνενεχθέντων ἐπε
C καὶ ἄλλα ἄττα τῇ πόλει κατ' ἐκεῖνο τοῦ καιροῦ ραχῆς τε καὶ θορύβου ἀνάμεστα καὶ οὐχ ἧττο εἰρημένων ἀνιαρότατα. ὁποῖα δὲ ταῦτά ἐστι τίκα ἐρῶ, βραχύ τι πρότερον διεξελθὼν τῶν ἀ

ιων. οἱ Οὖννοι τὸ γένος τὸ μὲν παλαιὸν κατῴ- a. C. 558 Iustiniani 32
ιν τῆς Μαιώτιδος λίμνης τὰ πρὸς ἀπηλιώτην
ιμον, καὶ ἦσαν τοῦ Ταναΐδος ποταμοῦ ἀρκτικώ-
ιοι, καθάπερ καὶ τὰ ἄλλα βάρβαρα ἔθνη, ὁπόσα
:ὸς Ἰμαίου ὄρους ἀνὰ τὴν Ἀσίαν ἐτύγχανον ἱδρυ- V. 108
ια. οὗτοι δὲ ἅπαντες κοινῇ μὲν Σκύθαι καὶ Οὖν-
ἐπωνομάζοντο· ἰδίᾳ δὲ κατὰ γένη, τὸ μέν τι
τῶν Κοτρίγουροι, τὸ δὲ Οὐτίγουροι, ἄλλοι δὲ
ἰλτίζουροι, καὶ ἄλλοι Βουρούγουνδοι, καὶ ἄλλοι
ἂν αὐτοῖς πάτριόν τε ἦν καὶ εἰθισμένον. γε- D
ιῖς δὲ πολλαῖς ὕστερον διέβησαν ἐς τὴν Εὐρώ-
ν, εἴτε ὡς ἀληθῶς ἐλάφου τινὸς κατὰ τοῦτο
τὸ θρυλούμενον τὰ πρῶτα ἡγησαμένης εἴτε
ἀλλοίᾳ χρησάμενοι τύχῃ, καὶ τὴν ἐκροὴν τῆς
ινης τὴν ἐς τὸν Εὔξεινον Πόντον φερομένην,
ορον τέως δοκοῦσαν, τότε δὴ ὅτῳ οὖν τρόπῳ δια-
ιαιωθέντες, ἀλώμενοι δὲ ὅμως ἀνὰ τὴν ὀθνείαν,
ιἶστα ὅσα τὸ ἰθαγενὲς ἐλυμήναντο, ἀπροσδόκητα
σπεσόντες, ὡς καὶ τοὺς προτέρους οἰκήτορας
ελάσαντες αὐτοὶ τὴν ἐκείνων κατέχειν. ἤμελλον
ἄρα οὐκ ἐπὶ μακρότατον διαμένειν, ἀλλὰ πρόρρι-
τὸ λεγόμενον ἀπολεῖσθαι. αὐτίκα γοῦν Οὐλτί-
ροί τε καὶ Βουρούγουνδοι μέχρι μὲν Λέοντος τοῦ P. 155
τοκράτορος καὶ τῶν ἐν τῷ τότε Ῥωμαίων γνώρι-
ί τε ὑπῆρχον καὶ ἄλκιμοι εἶναι ἐδόκουν· ἡμεῖς δὲ
νῦν οὔτε ἴσμεν αὐτούς, οὔτε, οἶμαι, εἰσόμεθα,
ιὸν μὲν διαφθαρέντας, τυχὸν δὲ ὡς πορρωτάτω
ιαναστάντας. ἐκείνου γε μὴν τοῦ ἔτους, ἐν ᾧ δὴ
ιν τὴν λοιμώδη νόσον τῇ πόλει ἐνσκῆψαι, τὰ
πὰ τῶν Οὔννων γένη ἐσώζετο, καὶ ἦσαν ἔτι ὀνο-
στότατα. κατιόντες δὲ ὅμως οἱ Οὖννοι ἐς τὰ πρὸς
τον ἄνεμον, οὐ πόρρω τῆς ὄχθης τοῦ Ἴστρου πο-

a. C. 558 Iustiniani 32 ταμοῦ ηὐλίζοντο, ἡνίκα ἦν αὐτοῖς βουλομένοις. δὴ οὖν τοῦ χειμῶνος ἐπιλαβομένου, τὰ μὲν ῥ τοῦδε τοῦ ποταμοῦ κατὰ τὸ εἰωθὸς ὑπὸ τοῦ κ ἐπήγνυτο ἐς βάθος, καὶ ἦσαν ἤδη σκληρὰ κα
B σιμα καὶ ἱππήλατα. Ζαβεργὰν δὲ ὁ τῶν Κοτρ ρων Οὔννων ἡγεμὼν ξὺν πλείστοις ὅσοις ἱππ ἐπιδραμὼν καθάπερ χέρσον τὰς δίνας, ἐς τὴν μαίων ἐπικράτειαν εὐκολώτατα διαβαίνει· ἐρη εὑρὼν τὰ ἐκείνῃ χωρία, καὶ μηδενὸς αὐτῷ κωλ τος γιγνομένου ἀνὰ τὰ πρόσω πορευομένῳ, α ὅγε Μυσίαν τε καὶ Σκυθίαν παραμειψάμεν Θρᾴκῃ προσέβαλεν. ἐνταῦθα δὲ διελὼν τὸν οι στρατὸν ἀπόμοιραν μέν τινα ἔστειλεν ἀνὰ τὴ λάδα καταδραμουμένους τὰ ἀφύλακτα τῶν τῇδ ρίων καὶ λεηλατήσοντας, ἑτέρους δὲ ἐς τὴν Χ νησον τὴν Θρᾳκίαν.

12. Τῆσδε δὲ τῆς Χερρονήσου τὰ μὲν πρὸς
C σχοντα ἥλιον νενευκότα καὶ εὐρόνοτον ἄνεμο μέχρι τοῦ μεσημβρινοῦ κέντρου τῷ Ἑλλησπ παρατείνεται. περιρρεῖ γὰρ σχεδόν τι ἅπασαν ταῖς καμπαῖς τῶν ᾐόνων ξυμπεριάγεται βραχε μέρει τῆς ἠπείρου, καὶ μόνοις τετταράκοντά σταδίοις εἰργόμενος τοῦ νῆσον αὐτὴν ἀπεργάσε ἐν τούτῳ δὲ τῷ ἰσθμῷ τεῖχος ἐκταδὸν ἵδρυται εχὲς ἐφ' ἑκατέρᾳ θαλάττῃ προβεβλημένον· πόλ ἔνδοθεν αὐτῷ προσπεπηγυῖαι τυγχάνουσιν Ἀφ σιάς τε καὶ Θῆσκος καὶ Κίβηρις. τούτων δ ἀπωστάτω ἀμφ' αὐτὸν δήπου τὸν πορθμὸν καὶ παρακτίους ἀγκῶνας Σηστός γέ ἐστι πόλις ἡ λάλητος τῇ ποιήσει καὶ ὀνομαστοτάτη, οὐκ
D του ἕνεκα, οἶμαι, ἢ μόνον ἐπὶ τῷ λύχνῳ τῆς Ἡ ἐκείνης τῆς Σηστίδος καὶ τῷ Λεάνδρου ἔρω

θανάτῳ. οὐ πόρρω δὲ αὐτῆς καὶ ἕτερόν τι κεῖται a. C. 558 Iustiniani 32 πολίχνιον, ἐλάχιστον μὲν καὶ ἀκαλλές, καὶ οὐδὲν ὁτιοῦν ἐπέραστον ἔχον, Καλλίπολις δὲ ὅμως ἐπονομαζόμενον· τάς γε μὴν περιοικίδας κοσμοῦσιν ἀγροί τε καὶ ἐπίνεια καὶ δένδρων ποικίλων ἑσμὸς καὶ ῥείθρων ποτίμων, γῆ τε εὐαρδὴς ἄγαν καὶ κάρπιμος κἀν τοῖς ἀναγκαίοις διαρκεστάτη. τοσαῦτα ἄρα πολίσματα καὶ χώραν ὡς πλείστην ἔνδον ἐναπολαμβάνει τὸ ἔρυμα, ὡς μὴ πολεμίοις εὐέφοδα εἶναι. τότε δὴ οὖν ὁ Ζαβεργὰν εὐωχούμενος τῶν ἐλπίδων διενοεῖτο καθ' αὑτὸν ὡς, εἴ γε τὸ τεῖχος καθέλοι καὶ P. 156 τοῖς ἔνδον ὁμιλήσει χωρίοις, δυνήσεται θᾶττον καὶ τῆς θαλάττης κρατῆσαι· ἐντεῦθέν τε ὠνειροπόλει νεῶν αὐτῷ παρέσεσθαι πλῆθος καὶ ὅτι διαβήσεται κατὰ τὴν Ἀσίαν, τὸν μεταξὺ πόρον στενώτατον ὄντα καὶ οὐ μάλα τραχεῖ κύματι χαραττόμενον εὐκολώτατα διαπλεύσας, καὶ ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται καὶ τὸ ἐν αὐτῇ πορθήσει δεκατευτήριον. τού- V. 109 τοις δὴ οὖν μάτην τοῖς βουλεύμασιν ἐξηρεθισμένος ἔστειλε δύναμιν ἀνὰ τὴν Χερρόνησον, ὁπόσην ἀποχρήσειν ἐς τόδε τὸ ἔργον ἡγεῖτο· αὐτὸς δὲ ξὺν ἑπτακισχιλίοις ἱππόταις ἰθὺ τῆς Κωνσταντίνου πόλεως πορευόμενος τούς τε ἀγροὺς ἐδῄου καὶ τῶν πολισμάτων ἐπειρᾶτο καὶ ἅπαντα ἐκίνει χύδην καὶ B ξυνετάραττεν. αἰτία δὲ ἦν τῆς ἐφόδου τῷ μὲν ἀληθεστάτῳ λόγῳ ἀδικία βαρβαρικὴ καὶ πλεονεξίας ἐπιθυμία, σκῆψιν δὲ ὅμως τινὰ καὶ προκάλυμμα ἐποιεῖτο τὴν πρὸς τοὺς Οὐτιγούρους δυσμένειαν· Σάνδιλχος γάρ τις ὄνομα Οὖννος ἀνὴρ ἡγεῖτο μὲν ἐκείνου τοῦ γένους, εὔνους δὲ ἐς τὰ μάλιστα καὶ ἔνσπονδος ὑπῆρχεν Ῥωμαίοις. τοιγάρτοι βασιλεὺς ἔστεργέ τε αὐτὸν καὶ ἐγέραιρε καὶ δώροις θαμὰ ἐφι-

a.C. 558 Iustiniani 32 λοφρονεῖτο. οἱ δὲ Κοτρίγουροι ἅτε δὴ οὐ τῶν ὁμοίων μετέχοντες, ἀλλὰ παντάπασι περιπεφρονημένοι καὶ περιφανῶς προπηλακιζόμενοι, τήνδε ποιεῖσθαι τὴν C ἐκστρατείαν ᾠήθησαν χρῆναι, ὡς ἂν καὶ αὐτοὶ δῆθεν φοβεροί τε καὶ λόγου ἄξιοι ἀποδειχθεῖεν καὶ οἷοι μὴ ἐφιέναι τῷ ἀτιμάζοντι.

13. Καὶ τοίνυν, οὐδὲν γὰρ ὁτιοῦν αὐτοῖς ἀντίπαλον ἐμποδὼν εἱστήκει οὐδὲ ὑπηντίαζε, κατέτρεχον ἀφειδῶς καὶ ἐλεηλάτουν τὴν χώραν, λείαν τε ἄφθονον περιβαλλόμενοι καὶ αἰχμαλώτων ἀθροίζοντες πλήθη· ἐν τοῖς καὶ γύναια πολλὰ τῶν εὖ γεγονότων καὶ σώφρονα δίαιταν ᾑρημένων ὠμότατα ἤγοντο, καὶ ξυμφορὰν πασῶν μείζονα ἐδυστύχουν, ἐς ἀκολασίας ἀμετρίαν ὑπηρετεῖν ἀναγκαζόμενα· ἔνιαι δὲ καὶ ἀπειρηκυῖαι ἤδη ἐκ παίδων γάμοις τε καὶ φιλοκοσμίᾳ καὶ ταύτῃ δὴ τῇ περὶ τὸν βίον ἀναστροφῇ D καὶ ὁμιλίᾳ ἐν ἀποκεκριμένῳ τινὶ καὶ τῇ πρὸς τὸ θεῖον ἱκετείᾳ προσήκοντι ὑπεκρύπτοντο δωματίῳ, τὸ ἀμιγές τε καὶ ἐλεύθερον καὶ παντάπασιν ἀκοινώνητον τῆς μετ᾽ ἀνδρῶν ξυνουσίας περὶ πλείστου ποιούμεναι καὶ μόνῳ τῷ ἠρεμεῖν ἀνειμέναι. οἱ δὲ καὶ ἐς ταύτας ἐξύβριζον ἀφαιρούμενοι τοῦ ἱεροῦ παρθενῶνος καὶ ἀπρεπῶς αὐταῖς πρὸς βίαν ξυγκαλινδούμενοι· ἄλλαι δὲ πολλαὶ τῶν ἄρρεσιν ἐς ταὐτὸ ἰέναι οὐκ ἀνηναμένων, κύουσαι ἐν τῷ τότε οὕτω παρασχὸν εἵλκοντο, καὶ εἶτα, ἐπειδὴ παρῆν ἡ τοῦ τόκου ἀνάγκη, οὕτω δή τι ἐν μέσῃ τῇ πορείᾳ ἐμφανέστατα ἔτικτον, οὔτε τὰ αἰσχυντηλὰ τῶν ὠδίνων ἐπικαλύπτειν δυνάμεναι οὔτε περιστεῖλαι, ὡς θέμις, P. 157 καὶ ἀνελέσθαι τὰ βρέφη· ἀλλ᾽ αἱ μὲν καὶ ὡς ἐσύροντο, μηδὲ ἀλγῆσαι αὐταῖς, εἰ οἷόν τε φάναι, ξυγκεχωρημένον, τὰ δὲ δείλαια ἐκεῖνα ἐπ᾽ ἐρημίας ἐλεί-

πετο κυσί τε καὶ οἰωνοῖς σπαραττόμενα, ὥσπερ τοῦδε ἕνεκα μόνου ἐς φῶς προαχθέντα καὶ μάτην τοῦ φῦναι ἀπογευσάμενα, ἐς τοῦτο γὰρ τύχης τὰ Ῥωμαίων πράγματα ἠληλάκει ὡς ἐν αὐτῇ δήπου τῇ περιοικίδι τῆς βασιλίδος πόλεως τοιαῦτα δεινὰ πάσχειν ὑπὸ βαρβάρων σφόδρα ὀλίγων. τοῖς δὲ οὐ μέχρι τούτων ἐτελεύτα τὸ θράσος, ἀλλ' ὁδῷ ἰόντες εἴσω τῶν μακρῶν ὀνομαζομένων τειχῶν ῥᾳδίως παρῆλθον καὶ τοῖς ἔνδον φρουρίοις ἐπέλαζον. πολλαχοῦ γὰρ ὑπὸ χρόνου καὶ ἀτημελείας ἐπεπτώκει καὶ διελέλυτο ἡ B τοῦ μεγίστου ἐρύματος οἰκοδομία· ἔνια δὲ μέρη καὶ αὐτοὶ καταβεβλήκασιν ἀδεῶς οὕτω καὶ ἀταλαιπώρως, ὥσπερ οἰκίας καταστρεφόμενοι. καὶ οὐδὲν ἦν τὸ ἀπεῖργον τῷ μήτε φρουρὰν στρατιωτικὴν ἐνθάδε ἱδρῦσθαι μήτε ἀμυντήρια μηχανήματα καὶ τοὺς ταῦτα κινεῖν ἐπισταμένους, ἀλλὰ μήτε κυνῶν ὑλακὴν ἀκούεσθαι, εἰ μὴ λίαν καταγέλαστον εἰπεῖν, ὡς γοῦν ἐν συφεῶσι καὶ μάνδραις. τὰ γὰρ τῶν Ῥωμαίων στρατεύματα οὐ τοσαῦτα διαμεμενηκότα ὁπόσα τὴν ἀρχὴν ὑπὸ τῶν πάλαι βασιλέων ἐξεύρηται, ἐς ἐλαχίστην δέ τινα μοῖραν περιελθόντα, οὐκέτι τῷ μεγέθει τῆς πολιτείας ἐξήρκουν. δέον γὰρ ἐς πέντε C καὶ τετταράκοντα καὶ ἑξακοσίας χιλιάδας μαχίμων ἀνδρῶν τὴν ὅλην ἀγείρεσθαι δύναμιν, μόλις ἐν τῷ τότε ἐς πεντήκοντα καὶ ἑκατὸν περιειστήκει. καὶ τούτων αἱ μὲν ἐν Ἰταλίᾳ ἐτετάχατο, αἱ δὲ κατὰ τὴν Λιβύην, ἕτεραι δὲ ἐν Ἱσπανίᾳ, καὶ ἄλλαι περὶ τοὺς V. 110 Κόλχους καὶ ἄλλαι κατὰ τὴν Ἀλεξάνδρου καὶ Θήβην τὴν Αἰγυπτίαν. ἐκάθηντο δὲ ὀλίγοι καὶ πρὸς τὰ ἑῷα τῶν Περσῶν ὅρια· οὐ γὰρ δήπου ἔδει ἐκεῖσε πλειόνων διὰ τὰς σπονδὰς καὶ τὸ βέβαιον τῆς ἐκεχειρίας. ὧδέ πως ἄρα ἐς βραχύτατον μέρος περιέ-

a. C. 558 Iustiniani 32

a.C.558 Iustiniani 32 σταλτο τὰ πλήθη καὶ ὑπετέτμητο τῇ τῶν κρατούντων ὀλιγωρίᾳ.

D 14. Ὁ γὰρ βασιλεὺς ἐπειδὴ πρότερον Ἰταλίαν ξύμπασαν ἐχειρώσατο καὶ Λιβύην καὶ τοὺς μεγίστους ἐκείνους πολέμους διήνυσε, καὶ πρῶτος ὡς εἰπεῖν ἐν τοῖς κατὰ τὸ Βυζάντιον βεβασιλευκόσι Ῥωμαίων αὐτοκράτωρ ὀνόματί τε καὶ πράγματι ἀπεδέδεικτο· ἐπειδὴ οὖν αὐτῷ ταῦτά τε καὶ ἄλλα ὅμοια τούτοις νεάζοντι ἔτι καὶ ἐρρωμένῳ ἐξείργαστο, τότε δὴ ἀμφὶ τὴν ἐσχάτην τοῦ βίου πορείαν, ἤδη γὰρ καὶ ἐγεγηράκει, ἀπειρηκέναι τοῖς πόνοις ἐδόκει, καὶ μᾶλλόν τι αὐτὸν ἤρεσκε ξυγκρούειν ἐν σφίσι τοὺς πολεμίους, δώροις τε αὐτούς, εἴ πῃ δεήσοι, καταθωπεύειν, καὶ ταύτῃ ἀμωσγέπως ἀποκρούεσθαι, ἢ ἐφ' ἑαυτῷ πεποιθέναι καὶ μέχρι παντὸς διακινδυνεύειν. τοιγάρτοι

P.158 καὶ περιεώρα τὰς τάξεις διαφθειρομένας, ὡς δὴ τὸ λοιπὸν ἥκιστά γε αὐτῶν προσδεησόμενος. καὶ τοίνυν ταύτης ἐπιλαβόμενοι τῆς ῥᾳθυμίας οἱ τὴν δευτέραν ἀρχὴν τῶν σκήπτρων διέποντες, οἷς δὴ φορολογεῖν τὴν ὑπήκοον καὶ εἶτα διανέμειν τοῖς στρατεύμασι τὰ ἐπιτήδεια ἐκπεφρόντισται, οὗτοι δὴ τὰ μὲν περιφανῶς ἀπεστέρουν, τὰ δὲ καὶ πολλῷ ὕστερον ἢ ὁπηνίκα ἐχρῆν ἀπεδίδοσαν· δοθέντος δὲ ὅμως ὀψὲ γοῦν τοῦ ὀφλήματος, εὐθὺς οἱ τὴν πανοῦργον ταύτην καὶ δημώδη λογιστικὴν ἠσκημένοι ἐφίσταντο τοῖς κατα-

B λόγοις καὶ ἀνεκαλοῦντο τὰ πεπορισμένα. τοῦτο γὰρ αὐτοῖς γέρας τε ὑπῆρχε καὶ ἀξίωμα, τὸ τοῖς στρατιώταις ἐγκλήματα ἐπάγειν ἄλλοτε ἄλλα καὶ τῆς ἐδωδῆς αὐτοὺς ἀφαιρεῖσθαι· καὶ καθάπερ ἐν παλιρροίᾳ ὑδάτων αὐτὸ δήπου τὸ μέτρον τῆς παρασχεθείσης τοῖς τάγμασι δασμοφορίας οὐκ οἶδα ὅντινα τρόπον ἐς τοὔμπαλιν μετωχετεύετο καὶ ἐπανῄει ὅθεν ἐρρύη

a. C Iu nia

καὶ οὕτω μὲν τὸ ὑπερμαχοῦν καὶ παραταττόμενον κατημέλητο καὶ τροφῆς ἀπορίᾳ πιεζόμενοι κατελίμπανον τοὺς ἀγῶνας, οἷς ἐτύγχανον ἐντεθραμμένοι· καὶ ἄλλοι ἄλλοθι ἀπεχώρουν, ὡς ἕτερόν τινα μετελευσόμενοι βίον· ἐς δὲ γυναῖκας ἀκόσμους ὡς τὰ πολλὰ καὶ ἡνιόχους καὶ ἄνδρας ἀγεννεῖς μὲν ἐν τοῖς ἀναγκαίοις καὶ ἁβροδιαίτους, μόνον δὲ πρὸς τὰς C ἐμφύλους ταραχὰς καὶ τὴν περὶ τὰ χρώματα ἔριν ἐμμανεῖς καὶ θαρραλέους καὶ ἄλλους ἔτι τούτων ἀχρειοτέρους, τὰ στρατιωτικὰ ἐσκεδάννυντο χρήματα. ταῦτά τοι ἥ τε ἄλλη Θρᾴκη καὶ τὰ πρὸς αὐτῇ τῇ βασιλίδι πόλει χωρία ἔρημά τε ἦν καὶ ἀφύλακτα, ἐς ὅσον καὶ τοῖς βαρβάροις βατὰ εἶναι καὶ εὐεπίδρομα· ἐς τοῦτο γὰρ ἐκεῖνοι ἤρθησαν ἀλαζονείας ὡς καὶ ἀμφὶ Μελαντιάδα τὴν κώμην στρατοπεδεύσασθαι, οὐ πολλῷ τῆς πόλεως διεστηκυῖαν, ὅτι μὴ τετταράκοντα καὶ ἑκατόν που σταδίους. παραρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμός, ὃς δὴ ὀλίγον τι προελθὼν καὶ ἐπὶ ἄνεμον καικίαν ἠρέμα ἐκκλίνας ἐς τὴν Προποντίδα D τὸν ῥοῦν ἀπερεύγεται· ὅθεν δὴ καὶ τὸ πρὸς τῇ ἀκτῇ καὶ ταῖς ἐκβολαῖς παρατεταμένον ἐπίνειον τὴν ἐκείνου φέρεται προσηγορίαν. οὕτω δὲ τῶν πολεμίων ὡς ἐγγύτατα αὐλιζομένων εὐθὺς ἀνὰ τὸ Βυζάντιον τὰ πλήθη τῶν ἀστῶν ἐδεδίει καὶ κατεπέπληκτο, καὶ τὰ δεινὰ οὐ μόνον ὁποῖα παρῆν, ἀλλ' ἔτι μείζονα διενοοῦντο, πολιορκίας τε ὀνειροπολοῦντες καὶ ἐμπρήσεις καὶ σπάνιν τῶν ἀναγκαίων καὶ διαρρήξεις τοῦ περιβόλου. τοιγάρτοι πολλάκις καὶ ἐν ταῖς ἑκατέρω λεωφόροις φυγαὶ ἀθρόοι τῶν ἐκ τοῦ ὁμίλου ἐγίγνοντο καὶ ὠθισμοὶ καὶ πτοῖαι παράλογοι, ὥσπερ ἤδη τῶν βαρβάρων ἐσβεβληκότων. πάταγός τε πολὺς ᾕρετο ἐν τοῖς πωλητηρίοις, τῶν θυρῶν

C. 558 Iusti- βιαιότερον προσαραττομένων. οὐ μόνον δὲ τοῖς ani 32 πολλοῖς καὶ ἠγνοημένοις τὸ ἀνιᾶσθαι προσῆν καὶ . 159 δειμαίνειν, ἀλλὰ γὰρ καὶ ἅπασι τοῖς ἐν τέλει· καὶ βασιλεὺς δέ, οἶμαι, αὐτὸς οὐ μάλα τὰ ξυνενεχθέντα περιεφρόνει. ἀπεκοσμοῦντο τοιγαροῦν, πρὸς αὐτοῦ . 111 ἐπιτετραμμένον, τὰ ἱερὰ ὁπόσα ἐκτὸς τοῦ ἄστεος ἵδρυται κατὰ τὰ Εὐρωπαῖα μέρη καὶ τὸν παράκτιον χῶρον, ὃς δὴ ἄρχεται μὲν ἐκ τῶν καλουμένων Βλαχερνῶν καὶ τοῦ Κέρως, μέχρι δὲ τοῦ Εὐξείνου Πόντου παρατεινόμενος τῷ Βοσπόρῳ ξυναπολήγει. τούτων δὴ οὖν ἁπάντων τά τε ἔντιμα τῶν ἀναθημάτων καὶ τὴν ἄλλην ἀφαιρούμενοι κατασκευὴν οἷς ταῦτα ἀνεῖτο, τὰ μὲν ἐφ' ἁμαξῶν φέροντες εἴσω τῆς πόλεως ἀπετίθεντο, τὰ δὲ ἀκάτοις ἐμβάλλοντες καὶ τὸν μεταξὺ πορθμὸν διαπεραιούμενοι ἐς τὴν κατ' ἀντικρὺ ἤπειρον ἀπεκόμιζον. καὶ ἦν ἐν τῷ B τότε θεάσασθαι τοὺς ἐκείνῃ νεὼς γυμνοὺς καὶ ἀπηγλαϊσμένους, ὥσπερ οὔπω τῆς ἁγιστείας μετειληχότας, ἀλλ' ἄρτι καθίστασθαι ἀρχομένους.

15. Οὕτω δὲ φοβεροί τε καὶ μέγιστοι κίνδυνοι ἐπίδοξοι ἦσαν ὡς πάντως ἐσόμενοι ὥστε ἀμέλει τῷ τε ἐν Συκαῖς τείχει καὶ τῇ Χρυσῇ καλουμένῃ πύλῃ λοχαγοί τινες καὶ ταξίαρχοι καὶ ὁπλῖται πολλοὶ ἐφειστήκεσαν, ὡς δὴ προθύμως ἀμυνούμενοι τοὺς δυσμενεῖς, εἴ που ἐπίοιεν. ἦσαν δὲ οὐ μάχιμοι ὡς ἀληθῶς οὐδὲ μετρίως γοῦν τὰ τοιαῦτα πεπαιδευμένοι, ἀλλ' ἐκ τῶν ταγμάτων ἐκείνων, οἳ ἐς τὸ διημερεύειν τε καὶ διανυκτερεύειν ἐν τῇ αὐλῇ ἀποκέκριντο, οὓς δὴ σχολαρίους ἀποκαλοῦσιν. οὗτοι C στρατιῶται μὲν ὀνομάζονται, καὶ ἐγγεγράφαται τοῖς τῶν καταλόγων βιβλίοις· εἰσὶ δὲ οἱ πολλοὶ ἀστεῖοί τε καὶ φαιδροείμονες, καὶ μόνον, οἶμαι, ὄγκου τοῦ

βασιλείου ἕνεκα καὶ τῆς ἐν ταῖς προόδοις μεγαλαυ- a. C. 558 Iustiniani 32 χίας ἐξευρημένοι. καὶ τὸ μὲν παλαιὸν οὐκ ἄλλους τινὰς ἐν τοῖσδε θεμιτὸν ἦν κατατάττεσθαι ἢ τοὺς αὐτουργεῖν τὰ πολέμια ἠσκημένους. καὶ τοίνυν οὐδὲ χρήματα ἐσῆγον ἐφ᾽ ᾧ ἐνστρατεύσασθαι, ἀλλὰ χαριστηρίαν διαφανῶς καὶ ἀζήμιον ἐδέχοντο τὴν τιμήν, ἅτε δὴ ἄξιοι ἐκ τῶν προηγωνισμένων ἀναδειχθέντες. Ζήνων δὲ φαίνεται πρῶτος ὁ Ἴσαυρος μετὰ τὴν τῆς βασιλείας ἀνάκτησιν πολλοὺς τῶν ὁμοφύλων τοῖσδε τοῖς τάγμασιν ἐναριθμήσας, ἥκιστα μὲν ἐν ξυμπλοκαῖς ἀριστεύσαντας ἢ ὅλως ἐμπείρους D γεγενημένους, ἄλλως δέ πως γνωρίμους αὐτῷ καὶ ξυνήθεις. εἶτα δοθέντος ἐν τῷ τότε καὶ παρειλημμένου τοῦ ἐξεῖναι οὐ μόνον ἀντὶ μόχθων τε καὶ ἀγώνων καὶ τῆς ἐν μάχαις ἀρετῆς, ὡς ἐν ἀμοιβῆς τρόπῳ καὶ γέρως ἐγκαταλέγεσθαι τοὺς ἀξίους, ἀλλὰ καὶ τοὺς παντάπασιν ἀπολέμους τῶν ὁμοίων μεταλαγχάνειν οὐ πρὸς ἀξίαν, ἀλλὰ πρὸς χάριν· δοθέντος δὴ οὖν τούτου τὴν ἀρχὴν παρῆλθεν εἰκότως ἐς μέσον ἐξ ἐκείνου καὶ ἐκ τῶν λημμάτων ἐπικουρία, ἡ πασῶν, ὡς ἔοικε, τῶν ἄλλων ἐγκρατεστέρα, καὶ τὸ λοιπὸν ἐς ἐμπορίαν μετέστη τὸ χρῆμα, ὡς μηκέτι ἄλλως ἐν τοῖσδε τοῖς στρατεύμασι καταλέγεσθαι τοὺς P. 160 βουλομένους, πρὶν ἂν χρυσίου τι μέτρον καταθεῖναι· τοῦτο δὲ ἀποτίσαντες εὐθὺς ἐγχαράττονται ἀνεξετάστως καὶ τῇ ἄλλῃ δυνάμει ἐναριθμοῦνται, εἰ καὶ παντάπασι πολεμικῶν ἔργων ἀνεπιστήμονες τύχοιεν ὄντες. οὕτω τε τῆς κρίσεως ἠμελημένης, εἰκότως ἄρα ἥκιστα διαπονεῖσθαι καταναγκάζονται, ὡς δὴ ὤνιον ἑλόντες τὸ γέρας, καὶ πλείστου ὅσου πριάμενοι τὴν ἀργίαν. τοιοῦτοι δὴ οὖν ἄνδρες ἀπορίᾳ τῶν ἐν πολέμοις ἀνατεθραμμένων τοῖς τείχεσιν

C. 558 Justiniani 32 ἐφεδρεύοντες φυλάττειν ἐδόκουν. ὡς δὲ ἐπὶ πολὺ ἡ μὲν πόλις ἐν θορύβῳ ὑπῆρχεν, οἱ δὲ βάρβαροι οὐκ
B ἀνίεσαν τὰ ἐν ποσὶ ληιζόμενοι, τότε δὴ Βελισάριος ὁ στρατηγὸς κεκμηκὼς ἤδη ὑπὸ τοῦ γήρως στέλλεται ὅμως ἐπ' αὐτοὺς ἐκ βασιλέως. καὶ τοίνυν ὁ πρεσβύτης διὰ μακροῦ αὖθις χρόνου θώρακά τε ἐνδὺς καὶ κράνος ἀναδησάμενος, καὶ ἅπαν τὸ ἐκ παίδων αὐτῷ ξυνειθισμένον περιβαλόμενος σχῆμα, ἀνενεοῦτο τῇ μνήμῃ τὰ φθάσαντα, καὶ ἐνέαξε τῇ προθυμίᾳ· τοῦτον γὰρ τὸν ἀγῶνα ὕστατον ἐν τῷ οἰκείῳ βίῳ ἀπεργασάμενος οὐχ ἧττον ἀπηνέγκατο κλέος ἢ ὁπότε τὰ κατὰ Βανδίλων τε καὶ Γότθων ἀνεστήσατο τρόπαια. ἡ γὰρ τῶν προξυμβεβηκότων ἀνάγκη καὶ ἡ περὶ τοῦ μέλλοντος ἀμηχανία τήν τε ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν καὶ τὴν
C νίκην ἀσμενεστάτην. εἰρήσεται δέ μοι αὐτίκα ἐς τὸ ἀκριβὲς ὅπως ἕκαστα διηνύσθη.

p. 112 16. Ὑπεξελθὼν γὰρ ὁ στρατηγὸς ὀλίγον τοῦ ἄστεος, καὶ ἐν Χέττου κώμῃ τῷ χωρίῳ στρατοπεδευσάμενος, ἐμπειρίαν τε ἐς τὰ μάλιστα ἐπεδείκνυτο καὶ τόλμαν πολλῷ κρείττονα τῆς ἡλικίας. γηραιὸς μὲν γὰρ ἦν ἤδη καὶ ἀσθενείᾳ ὥσπερ εἰκὸς εἴχετο πολλῇ· οὔτε δὲ ἐνδιδοὺς τοῖς πόνοις ἐφαίνετο οὔτε ἄλλως φιλοψυχήσας. εἵποντο δὲ ὁπλῖται μὲν ἄνδρες ἀγαθοὶ ἐς ἀλκὴν καὶ ξὺν αὐτῷ ἔνια τῶν ἀγώνων πεπονηκότες, ὁπόσα δὴ ἐν Ἑσπέρᾳ ἐτύγχανε διανύσας, οὐ πολλῷ πλείους τῶν τριακοσίων· τὸ δὲ λοι-
D πὸν ἅπαν πλῆθος ἄνοπλόν τε ἦν περιφανῶς καὶ ἀπόλεμον καὶ μόνῳ τῷ ἀπείρως ἔχειν ἡδίστους ἡγούμενοι τοὺς κινδύνους, θέας τε ἕνεκα μᾶλλον ἢ παρατάξεως ἀφιγμένοι. ξυνέρρει δὲ ἀμφ' αὐτὸν καὶ ὁ τῶν πλησιοχώρων ἀγροίκων ὅμιλος. πεπορθημέ-

a.C. 558 Iustiniani 32

νων γὰρ αὐτοῖς ἤδη τῶν ἀγρῶν ὑπὸ τῶν βαρβάρων οὐκ ἔχοντες ὅποι τραπεῖεν, ὡς Βελισάριον αὐτίκα ἠθροίζοντο. ὁ δὲ τῷ πλήθει τῶν ἀγροίκων ἐν δέοντι προσχρησάμενος τάφρον εὐρεῖαν περιεβάλετο, καὶ κατασκόπους θαμὰ ἔστελλε, τὰς τῶν ἐναντίων δυνάμεις εἰκάσοντας ὡς οἷόν τε καὶ ἐξαριθμησομένους, καὶ εἴ τι ἕτερον ἑλεῖν δυνηθεῖεν ἀπαγγελοῦντας. οὕτω δὲ διετέλει ἕκαστα γνωματεύων καὶ διανοού- P. 161 μενος· νυκτὸς δὲ ἐπιγιγνομένης φρυκτωρίας ἀνῆπτε πολλὰς ἐπὶ μέγα τοῦ πεδίου σκεδαννυμένας, ἵνα δὴ οἱ πολέμιοι ὁρῶντες οἰηθεῖεν μέγιστον εἶναι τὸ στράτευμα, ταῖς πυραῖς ἀναμετροῦντες· καὶ τοίνυν οὕτω δὴ ᾤοντο, καὶ δεδιότες ἠρέμουν. ἀτὰρ οὐκ ἐπὶ πλεῖστον ταῖς τοιαύταις ἀπάταις καταστρατηγούμενοι ἡσυχίαν ἦγον· ἠκηκόεσαν γὰρ ἤδη ὡς ἐλάχιστος εἴη ὁ τῶν Ῥωμαίων στρατὸς καὶ ἥκιστα αὐτοῖς ἀξιόμαχος· πλὴν ἀλλ' οἱ στρατιῶται πολλῆς εἴχοντο προθυμίας, περιφρονοῦντες μὲν τοὺς ἀντιπάλους, εἰ καὶ μυρίοι ὅσοι ἐπιφοιτήσαιεν, τῇ σφετέρᾳ δὲ ἀρετῇ μάλιστα πεποιθότες, ἅτε δὴ Ῥωμαῖοί γε ὄντες καὶ B ἐμπειρίᾳ μεγάλων ἤδη κινδύνων τὰ πολέμια ἐκμελετήσαντες. ξυναισθόμενος δὲ ὁ Βελισάριος τῆς τῶν ἀνδρῶν μεγαλοφροσύνης καὶ ὅτι μειζόνως ἤπερ ἐχρῆν ἐπὶ τοῖς φθάσασι πόνοις βρενθυόμενοι τῶν ἐν ποσὶ κατολιγωροῦσιν, ἐδεδίει μήποτε ἄρα ἐντεῦθεν μεγίστην εὐρυχωρίαν ταῖς ἐλπίσι παράσχοιεν, παρεσδῦναί τε αὐτοὺς καὶ ἀπάγειν ὅποι καὶ βούλονται τῷ ῥᾳδίας καὶ προσηνεῖς ὑποφαίνειν τὰς τῶν ἐγχειρημάτων ἐκβάσεις. ὡς ἂν οὖν μὴ οὕτω ταῦτα ξυμβαῖεν, ἤθροισεν ἅπαντας ἐς ταὐτὸ, ὥσπερ ἤδη τοῦ ἀγῶνος ἐφεστηκότος· καὶ φανεὶς ἐς μέσον ἔλεξε C τοιάδε.

a. C. 558 Iustiniani 32 προσηκόντων ἐχομένῳ τὸ ὑπερβάλλον τῆς τόλμης καὶ πρὸς αὐθάδειαν ἀνάγον ὑποτεμνέσθω. οὐ γὰρ ὄκνον ἐντίθησι καὶ δειλίαν τὸ λογίζεσθαι καὶ σκοπεῖν ὅπως τοῖς παροῦσι χρηστέον, ἀλλὰ σεμνότητα καὶ παρρησίαν. οὕτω γὰρ τῶν ὠφελίμων διαγνωσθέντων ἕπεται πάντως τὸ δικαίως θαρρεῖν, ὡς οὐ πρὸς ἀδήλους τύχας εἰκῇ προηγμένον, ἀλλὰ τῇ κρίσει τὸ βέβαιον ἔχειν καταληφθὲν καὶ πεπιστευμένον. ἀλλ' ἴσως ἐρεῖ τις ὑμῶν ὡς οὐχ οἷόν τε φύσιν γενναίαν εὐλόγως ὁρμῶσαν καὶ τοῦ μοχθεῖν διὰ παντὸς ἐφιε-
P. 163 μένην, εἶτα νῦν ἀθρόον ἐπέχειν καὶ βιάζεσθαι πρὸς τὸ ἠρεμοῦν καὶ ὑφειμένον καὶ πέρα τῆς ἀνάγκης μέλλον καὶ βουλευόμενον, μάλιστα δυσανασχετοῦσαν ἐφ' οἷς καθ' ἡμῶν οἱ βάρβαροι παροινοῦσι, φέροντες ἀνέδην ἅπαντα καὶ παρ' αὐτὴν δήπου τὴν βασιλίδα πόλιν τὰς ἐκδρομὰς ποιεῖσθαι τολμῶντες. ἔχει μὲν οὖν οὕτω ταῦτα καὶ βεβαιοῦται τῇ πείρᾳ τὸ προσηκόντως ὑμᾶς τοῖς πολεμίοις ὀργίζεσθαι. οἷς γὰρ ξυνεκεχώρηντο πρότερον, οὐ μετρίως ἐχρήσαντο· πλὴν ἀλλὰ καὶ λίαν ἐφικτόν, οἶμαι, τοῖς ἔμφροσιν, περιελεῖν μὲν τοῦ θυμοῦ τὸ μεμηνὸς καὶ ταραχῶδες καὶ τοῖς προστυχοῦσιν ἐγχειρεῖν ἀνεξετάστως ἱέμε-
B νον, κατέχειν δὲ μόνον αὐτοῦ τὸ μεγαλουργόν τε καὶ ἄτρεπτον καὶ πρὸς τὰς ἐναντιώσεις ἀντέχον. τῶν γὰρ τῆς ψυχῆς κινημάτων τὰ μὲν ὅσα πεφύκασι καθαρὸν ἔχειν καὶ ἀκραιφνὲς τὸ αἱρετὸν καὶ καθῆκον, τούτων ἐντελῶς καὶ δὴ ἀνθεκτέον. οἷς δὲ μέτεστι καὶ τῆς πρὸς τἀναντία τροπῆς καὶ ἐκνεύσεως, τούτοις οὐ διὰ πάντων χρηστέον, ἀλλ' ἐς ὅσον ἔχουσι τὸ ξυμφέρον. τὸ μὲν οὖν φρονοῦν ἀμιγὲς ἀγαθὸν καὶ ἀνόθευτον ἅπαντες εἶναι φήσοιτε ἄν, τῆς δὲ ὀργῆς τὸ μὲν δραστήριον εὐκλεές, τὸ δὲ

θράσος φευκτὸν καὶ ἀξύμφορον. οὐκοῦν τὸ μὲν a. C. 558 Iustiniani 32 ὅλον, τῆς δὲ τὸ βέλτιστον ἐξαιρούμενοι καὶ φρονήσει τὸ κατορθοῦν ἀναμιγνύντες, ἴωμεν οὕτω ξὺν παρρη- C σίᾳ κατὰ τῶν δυσμενῶν, ὡς οὐδενὸς ἡμῖν τῶν δεόντων περιοφθέντος. γιγνώσκειν γὰρ μόνον χρεὼν ὡς ἀγωνιστέον πρὸς ἄνδρας βαρβάρους, ἐπιέναι μὲν V. 114 ληστρικώτερον εἰθισμένους καὶ λαθραίας ἐφόδους ποιεῖσθαι, πρὸς δὲ παρατάξεις ἐμφανεῖς οὐ μάλα γεγυμνασμένους οὐδὲ ταῖς ξυμπλοκαῖς ἐγκαρτερεῖν παιδευθέντας. ὁρῶντες δὲ νῦν σταδίαν μάχην κατ' αὐτῶν παρεσκευασμένην, ἐρυμάτων τε καὶ περιβόλων ἐκτὸς τὸ ἀντιστατοῦν καὶ ἀμυνόμενον ἐπὶ στρατοπέδου συντεταγμένον, ἀποβαλοῦσι μὲν κατὰ τὸ εἰκὸς τὰ ξυνειθισμένα, περιαχθήσονται δὲ πρὸς τὸ ἐμμίξαι καὶ προσπελάσαι καὶ συστάδην διαγωνί- D ζεσθαι, διδασκούσης αὐτοὺς τῆς ἀνάγκης· πλὴν ἀλλὰ σωφρονούντων ἡμῶν καὶ τῇ πατρίῳ τάξει χρωμένων καὶ μετ' εὐβουλίας ἐπὶ τὰ πρακτέα χωρούντων, εἴσονται διὰ τῆς πείρας ὡς τῷ παντὶ κρεῖττον ἀεὶ τὸ προησκημένον καὶ τὸ αὐθαίρετον τοῦ αὐτοσχεδίου καὶ ἠναγκασμένου."

19. Τοσαῦτα μὲν ὁ Βελισάριος εἶπεν. οἱ δὲ στρατιῶται μεταμαθόντες τὸ λῷον εἴχοντο μὲν καὶ ὣς τῆς ἀνδρείας, πλέον δέ τι ἦν ἐν αὐτοῖς τοῦ γαυρουμένου τὸ εὐλαβούμενον. τοιούτου τε, οἶμαι, φρονήματος μετ' εὐκοσμίας ἐνεπίμπλαντο, ὡς ἐλάχιστα μεγάλοις εἰκάσαι, ὁποίῳ δὴ πάλαι φασὶ τοὺς ἀμφὶ Λεωνίδαν Λακεδαιμονίους ἐν Θερμοπύλαις, προσβάλλοντος ἤδη τοῦ Ξέρξου, ἐγκαλλωπίσασθαι, P. 164 ἀλλ' ἐκεῖνοι μὲν πανωλεθρίᾳ διεφθάρησαν, μόνῳ τούτῳ εὐδοκιμήσαντες τῷ μὴ ἀγεννῶς ἀπολέσθαι, ἀλλὰ πολλοὺς πρότερον τῶν Περσῶν ἀποκτείναντες·

a.C. 558 Iustiniani 32 τῇ ῥύμῃ φέρεται ἰθὺ τῶν διωκόντων, οἱ δὲ ἀντίξοι καταθέοντες ἀντεμπίπτουσι καὶ ἀντεπιφέρονται, σφοδροτέραν τε τὴν πληγὴν σφίσιν αὐτοῖς ἐκτελοῦσι τῷ ὑπαντιάζειν καὶ ὡς πλησιαίτατα ὑποδέχεσθαι.

20. Ἀλλὰ τότε γε ἅπαντα τοῖς Οὔννοις ἀμήχανα εἶναι ἐδόκει καὶ οὐδὲ ἐς πεῖραν ἐλθεῖν τέχνης τινὸς ἠβούλοντο ἀμυντηρίας. ἐτεθνήκεσαν δὲ αὐτῶν μὲν ἀμφὶ τοὺς τετρακοσίους, Ῥωμαίων δὲ ὅστις οὐδείς· μόνον δὲ τραυματίαι ὀλίγοι ἐγεγένηντο. μόλις δὴ οὖν Ζαβεργάν τε ὁ ἡγεμὼν καὶ οἱ ἐκφυ-
C γόντες ἄσμενοι ἐς τὸ στρατόπεδον ἵκοντο· οἱ γὰρ δὴ τῶν Ῥωμαίων ἵπποι πρὸς τὴν δίωξιν ἀπειρηκότες αἰτιώτατοι αὐτοῖς τοῦ περιεῖναι γεγένηνται, ἐπεὶ ἂν αὐτοβοεὶ ἅπαντας κατειργάσαντο. νῦν δὲ οἱ μὲν τοῖς χαρακώμασι ξὺν πλείστῳ θορύβῳ ἐμβαλόντες ξυνεκύκησαν ἅπαν τὸ λοιπὸν στράτευμα, ὑποτοπήσαντας αὐτίκα μάλα διαφθερεῖσθαι. οἰμωγή τε ἠκούετο μακρὰ βαρβαρική· τοῖς γὰρ ξιφιδίοις τὰς παρειὰς καταξαίνοντες ὠλοφύροντο κατὰ τὸν πάτριον νόμον. Ῥωμαῖοι δὲ ξὺν Βελισαρίῳ ἀπεχώρουν ἐς τὰ ὀπίσω, κρείττονα μὲν ἐλπίδος ὡς ἐκ τῶν παρόντων διαπρα-
D ξάμενοι, ἄξια δὲ ὅμως τῆς τοῦ στρατηγοῦ προμηθείας. τούτου δὲ τοῦ πάθους τοῖς βαρβάροις ξυνενεχθέντος, αὐτίκα οἵγε ἄραντες ἐκ Μελαντιάδος ᾤχοντο ἐς τὰ ὀπίσω πεφοβημένοι. Βελισάριος δὲ καίτοι κατὰ τὸ εἰκὸς οἷός τε ὢν αὐτοὺς πορευομένους μᾶλλόν τι διαχειρίσασθαι καὶ πημῆναι, ἐπισπόμενος ἀνθρώποις ἤδη κατεπτηχόσι καὶ οἷον φυγὴν τὴν ἀναχώρησιν ποιουμένοις· ὁ δὲ εὐθὺς ὅμως ἀνὰ τὴν πόλιν ἐπανῄει οὐ μάλα ἑκών, ἀλλ' ἐκ βασιλέως αὐτῷ προστεταγμένον. ἐπειδὴ γὰρ ἅπας ὁ δῆμος, τοῦ ἔργου σφίσιν ἀπηγγελμένου, ᾖδόν τε αὐτὸν καὶ

ἀνύμνουν κατὰ ξυλλόγους, ὡς ὑπ' ἐκείνου περιφα- a.C.558 Iustiniani 32 νέστατα σεσωσμένοι, τοῦτο δὴ ἔδακε πολλοὺς τῶν ἐν τέλει καὶ ἠνίασε φθόνῳ ληφθέντας καὶ βασκανίᾳ, πάθεσιν οὕτω δεινοῖς καὶ ἀεὶ τὰ κάλλιστα λυμαινομένοις. τοιγάρτοι διέβαλλον τὸν ἄνδρα ὡς μεγα- P.166 λαυχοῦντα καὶ διαθρυπτόμενον ἐπὶ τῇ τοῦ ὁμίλου εὐνοίᾳ καὶ ἐς ἄλλας ὁρῶντα ἐλπίδας. ὧν δὴ ἕνεκα τάχιστά τε ἀφῖκται, ὡς μὴ τελεώτατον ἄροιτο κλέος. καὶ οὐδὲ ἐπὶ τοῖς ἤδη πεπονημένοις τιμῆς ἀπώνατο τῆς προσηκούσης· ἀλλὰ διέρρει αὐτῷ τὰ τῆς νίκης, τό γε ἐπ' ἐκείνοις, φροῦδα καὶ ἄμισθα καὶ παντάπασι σεσιγημένα. ὡς μὲν οὖν τῶν ἀρίστων ψυχῶν ἀμβλύνεται τὸ δραστήριον, ἡνίκα μὴ ἐπαινοῖντο μηδὲ τοῦ πρέποντος ἀπολαύοιεν, καὶ ὅπως ἐνθένδε τὰ κοινὰ καταδεέστερα γίγνεται τῷ μὴ ὀρθῶς ἀσκεῖσθαι τὰ ἀτιμαζόμενα, εἴτε πολέμων εἶεν ἀγῶνες εἴτε λόγων παιδεῖαι εἴτε ἄλλο τι τῶν οὕτω καιριωτάτων, εἴρηται μὲν ἤδη τοῖς πάλαι σοφοῖς καὶ ἀποδέδεικται, B ῥᾴδιον δέ, οἶμαι, καὶ παντὶ τῷ προστυχόντι διαγιγνώσκειν ἐκ τῶν ὁσημέραι ξυμφερομένων. οἱ δὲ Οὖννοι τὰ μὲν πρῶτα δίωξίν τινα ὑποτοπήσαντες καὶ ξὺν θορύβῳ πολλῷ τῶν μακρῶν καλουμένων τειχῶν ὑπεκβάντες, ἐπειδὴ ἔγνωσαν ὡς Βελισάριος μετάπεμπτος ἐγεγόνει καὶ οὐδὲ ἕτερός τις αὐτοῖς ἐπεφοίτα, πάλιν σχολαίτερον ἐπορεύοντο.

21. Ἐν τούτῳ δὲ ἅτερος τῶν βαρβάρων ἀποδασμός, οἳ δὴ ἐτύγχανον ἐφεδρεύοντες τῇ Χερρο- V.116 νήσῳ, πολλάκις μὲν τῷ περιβόλῳ προσέβαλλον κλίμακάς τε προσάγοντες καὶ τὰς μηχανὰς τὰς ἑλεπόλεις· πολλάκις δὲ ὑπὸ τῶν ἔνδον ὄντων Ῥωμαίων ἀπεκρούοντο σθένει παντὶ ἀμυνομένων. ἡγεῖτο δὲ τούτων Γερμανὸς ὁ Δωροθέου, νέος μέν γε ὢν κομιδῇ C

558 τοῦ κόλπου ἀκτὴν τοῦ πρὸς τῇ Αἴνῳ τῇ πόλει
4- 132 περιαγνυμένου· ἐμβάντες δὴ οὖν ἐν αὐταῖς ἄνδρες
ἐς ἑξακοσίους, καὶ πτύα ὡς πλεῖστα ταῖς ἐπισκαλμί-
σιν ἐντροπωσάμενοι, καὶ ἀμαθέστερόν πως ταύτῃ
ἐρέττοντες, ἀνήγοντο ὡς ἀπωτάτω τῆς χέρσου, ἐξω-
πλισμένοι τε εὖ μάλα καὶ πρὸς τὸ ἐνεργὸν ἑστηκότες.
οὕτω γὰρ ᾤοντο πελάγιοι ἠρέμα γιγνόμενοι ῥᾳδίως
ὑπερβαλέσθαι καὶ περιπλεῦσαι τὸν ἀγκῶνα τοῦ τεί-
χους τὸν μέχρι τοῦ βάθους ἐκτεταμένον καὶ τὸ
17 λοιπὸν ἀδεῶς ἐπιβήσεσθαι τῶν ἐνδοτέρω χωρίων,
ὡς δὴ οὐδαμῶς ἐρύμασι περιεχομένων ἢ μόνῳ τῷ
Ἑλλησπόντῳ. ταῦτα δὴ ὁ Γερμανὸς ἐκ τῶν κατα-
68 σκόπων πυθόμενος, καὶ γιγνώσκων ὡς οὐκ ἐς μα-
κρὰν ὁ τῶν καλάμων στόλος ἐπιφοιτήσει, ἐπεκερτό-
μησε μὲν τοὺς πολεμίους τῆς ἀβουλίας, μάλα δὲ
ἥσθη ἐπ' αὐτῇ, ὡς δὴ πρὸς αὐτοῦ ἐσομένῃ. αὐτίκα
γὰρ ἐπακρίδας εἴκοσι πολυήρεις τε καὶ ἀμφιπρύ-
μνους ἀνδρῶν ἐμπλήσας σιδήρῳ τεθωρακισμένων,
ἀσπίδας τε φερόντων καὶ τόξα καὶ πρός γε δορυ-
δρέπανα, τούς τε ἐρέττοντας ἐμβαλὼν καὶ τοὺς τοῖς
πηδαλίοις ἐφεστηκότας ὑπὸ τὴν ἔνδον παρατεινο-
μένην τῆς θαλάττης γλωχῖνα καθάπερ εἰς ἐνέδραν
καθορμίσας, ἐνέκρυψεν, ὡς ἂν μὴ πόρρωθεν
προοφθεῖεν. ἐπεὶ δὲ οἱ βάρβαροι ἤδη ὑπερβάντες
τὸ προπετὲς τοῦ τείχους καὶ ἀπολῆγον καὶ τοῦ
B αἰγιαλοῦ προεξέχον ἐνέκλινον πρὸς τὰ εἴσω καὶ ἐπε-
φέροντο φρονήματι ξὺν πολλῷ καὶ παρρησίᾳ, τότε
δὴ καὶ τῶν Ῥωμαίων ὁλκάδες ἀντανήγοντο καὶ ἀντε-
πῄεσαν· καί πως αὐταῖς τοῦ ῥοῦ ξυλλαμβανομένου
ἀντίπρῳροι κατιοῦσαι βιαιότερον προσπίπτουσι ταῖς
ἐκ τῶν καλάμων σχεδίαις. καὶ δῆτα αἱ μὲν τῇ
προσκρούσει περιετρέποντο ἐς τοὔμπαλιν ὑπὸ τοῦ

σάλου καὶ ἐκαλινδοῦντο ὡς μηκέτι ἀσφαλῆ τὴν βάσιν a. C. 558 Iustiniani 32 παρέχεσθαι τοῖς ἐφεστηκόσιν, ἀλλὰ τοὺς μὲν ἐν τοῖς κύμασιν ἀποβληθέντας ἀπόλλυσθαι, τοὺς δὲ ξυνιζάνειν ἐν αὐταῖς πρὸς ἀνάγκης καὶ διαπορεῖν ὅ τι καὶ δράσαιεν. οἵ γε μὴν ἔτι ἑστηκότες διεταράττοντο ὑπὸ τοῦ κλυδωνίου, μετρίου μὲν ὄντος καὶ ἐλαχίστου ὡς ἐς νηῶν κίνησιν καὶ ἀκάτων, τοῖς δὲ καλάμοις διὰ τὴν κουφότητα καὶ μάλα χαλεπωτάτου. C τοιγάρτοι μετέωροί τε θαμὰ ἐγίνοντο ὑπὸ κυρτῷ αἰρόμενοι τῷ ῥοθίῳ, καὶ ξυγκαθείλκοντο αὖθις κοιλαινομένῳ. καὶ τοίνυν οἱ ἄνδρες διαμάχεσθαι μὲν οὐδὲ ἐπειρῶντο, ἦν δὲ αὐτοῖς οὐδέν τι ἕτερον εὐκτόν τε καὶ ἐσπουδασμένον ἢ ὅπως ἂν ἑστάναι γοῦν μόνον δύναιντο καὶ βεβηκέναι. οὕτω δὲ τῶν βαρβάρων ἐν θορύβῳ τε καὶ ἀφασίᾳ καθεστηκότων, οἱ Ῥωμαῖοι διέκπλους, ὅποι παρείκοι, ποιούμενοι, ὠθισμοῖς τε ἐχρῶντο καθάπερ ἐν πεζομαχίᾳ καὶ ταύτῃ πολλοὺς τῶν ἐναντίων κατέβαλλον, ἅτε δὴ αὐτοὶ βεβαιότατα ἐν ταῖς ὁλκάσιν ἐρηρεισμένοι· ἐνίους δὲ τοῖς ξίφεσιν ἐκ χειρὸς πλήττοντες ἔκτεινον. ἐπεὶ δέ γε αὐτῶν πολλαχοῦ καὶ ἀφειστήκεσαν καὶ D οὔπω ἐπέλλαξον, ἐνταῦθα τοῖς δορατίοις ἐφικνούμενοι καὶ τὰς δρεπανώδεις τούτων αἰχμὰς ταῖς μηρίνθοις ἐκείναις, αἷς δὴ οἱ κάλαμοι ἐτύγχανον ξυμπεπλεγμένοι, ἐμβάλλοντες, ἐξέτεμνον στοιχηδὸν ἁπάσας καὶ διέλυον τὴν ξυνέχειαν. τότε δὴ οὖν οἱ μὲν δόνακες ἀποτμηγέντες ἀλλήλων καὶ σποράδην ἐπινηχόμενοι ἄλλος ἄλλοθι ἀπεπτύετο. οἱ δὲ Οὖννοι, τῆς βάσεως αὐτοὺς ἐπιλειπούσης, ἀθρόον κατεδύοντο ἐν τῷ βάθει καὶ ἔθνησκον ἀχρήστου ποτοῦ ἐμπιπλάμενοι. οὕτω τε ἅπαντες διεφθάρησαν, καὶ οὐδεὶς ὅστις αὐτῶν ἀνὰ τὴν ἤπειρον ἐπανῆκεν.

.C. 558 Iusti- 23. Αὐτίκα δὲ οἱ Ῥωμαῖοι τὰ ὅπλα τῶν δυσμε-
iani 32 νῶν ἀνελόμενοι, ὁπόσα γε ἄνω ἔτι ἐφέρετο καὶ
P. 169 ἐπέπλει, καὶ ἐς τὰ πρότερα χωρία κατάραντες, με-
γίστης ἡδονῆς καὶ θυμηδίας ἅπαντα ἔπλησαν τὸν
στρατὸν, γεγηθότας ἐπὶ τοῖς ξυνενεχθεῖσι. καὶ οὖν
ἀθροισθέντες ἅπαντες ἐς ταὐτὸ ἀποχρήσασθαι ᾤοντο
χρῆναι κἂν τοῖς ἐφεξῆς τῷ καιρῷ καὶ τῇ τάξει τοῦ
προτερήματος. τοιγάρτοι ὀλίγαις ὕστερον ἡμέραις
εὖ μάλα καθοπλισθέντες ἐκδρομὴν ἀθρόον ἐκ τοῦ
περιβόλου πεποίηνται, καὶ προσβάλλουσι τῷ λοιπῷ
πλήθει τῶν ἐφεδρευόντων βαρβάρων ἀνιωμένων ἔτι
ἐπὶ τῇ ξυμφορᾷ καὶ κατεπτηχότων. τότε δὴ οὖν ὁ
Γερμανὸς, ἅτε δὴ νεώτατος ὢν καὶ οὔπω ἐντελῶς
τὰς τῆς φύσεως ἐπέχειν ὁρμὰς καὶ ἐγκατείργειν
δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκό-
B τος τῷ φιλοδοξοῦντι τοῦ τρόπου καὶ προθυμουμένῳ
πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς
V. 118 πολεμίοις καὶ προυκινδύνευε, οὐ στρατηγικῶς ἐπεί-
γων καὶ διατάττων, ἀλλὰ στρατιωτικώτερον ξυμπλε-
κόμενος· τῷ τοι ἄρα καὶ πλήττεται βέλει τὸν μηρὸν,
ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι· πλὴν
ἀλλ' ἥ τῶν ἐφεστηκότων πραγμάτων ἀνάγκη καὶ τὸ
μέγεθος τοῦ ἐγχειρήματος ἐγκρατέστερα τῆς ὀδύνης
γεγένηται· καὶ οὐ πρότερον ἀνῆκεν αὐτός τε μοχθῶν
καὶ τοῖς ἄλλοις ἐγκελευόμενος πρὶν σφόδρα πημῆναι
τὸ δυσμενὲς καὶ πολλοὺς ὅσους διαχειρίσασθαι. τότε
μὲν οὖν διελύετο ἡ μάχη· καὶ οἱ Ῥωμαῖοι αὖθις εἴσω
C τοῦ ἐρύματος ἐπανῆλθον, γιγνώσκοντες ὡς οὐκ
ἀσφαλὲς αὐτοῖς οὐδὲ εὔβουλον κατὰ πολὺ τῷ πλή-
θει ἐλαττουμένοις εἶτα μέχρι παντὸς συστάδην δια-
γωνίζεσθαι. ἐς τοῦτο δὲ ὅμως οἱ βάρβαροι ἤλασαν
ἀπορίας ἐπί τε τῇ ἐκ τῶν ναυαγίων φορᾷ καὶ ὅτι

ἀθρόον οἱ Ῥωμαῖοι κατ' αὐτῶν προσβολὴν ἐποιή- a. C. 558 Iustiniani 32 σαντο, ὡς μεθεῖναι αὐθημερὸν τὰ ἀμφὶ τὴν Χερρόνησον πεδία, καὶ πρὸς τὸν Ζαβεργάν τε καὶ τὸν ἀμφ' αὐτὸν ὅμιλον ἀφικέσθαι, ἡττημένοι πρὸς ἡττημένους. οἱ δὲ ἀνὰ τὴν Ἑλλάδα πρότερον ἐσταλμένοι οὐδέν τι ἀξιαφήγητον ἔδρασαν, μήτε τῷ Ἰσθμῷ προσβαλόντες, μηδέ γε τὴν ἀρχὴν τὰς Θερμοπύλας D παραμειψάμενοι διὰ τὴν φρουρὰν τῶν ἐκεῖσε ἱδρῦσθαι τεταγμένων Ῥωμαίων. τοιγάρτοι ἀποχωρήσαντες καὶ οἵδε τῆς ἐπὶ τὴν Θρᾴκην εἴχοντο πορείας, ὡς ἐν αὐτῇ κατὰ τὸ εἰκὸς τοῖς ὁμοφύλοις προστεθησόμενοι, καὶ κοινῇ τὸ λοιπὸν ἐς τὰ σφέτερα ἐπανήξοντες. οἱ δὲ ἀμφὶ τὸν Ζαβεργὰν οὐ πρότερον ἀποστήσεσθαι ἔφασαν πρὶν ἂν χρήματα ὡς πλεῖστα παρὰ Ῥωμαίων κομίσαιντο, καθάπερ οἱ Οὐτίγουροι· τούς τε αἰχμαλώτους, εἰ μὴ θᾶττον πρίαιντο οἱ ἐπιτήδειοι, ἀποσφάττειν αὐτίκα ἠπείλουν. ὁ δὲ βασιλεὺς χρυσίον αὐτοῖς ἔστειλεν, ὁπόσον ἀποχρῆν ᾤετο ἔς τε τὰ λύτρα τῶν ξυνειλημμένων καὶ ὅπως εἰρηναῖοι τὸ λοιπὸν ἀπαλλαγεῖεν τῆς χώρας. καὶ δὴ ἄλλους τε πολλοὺς ἀπέδοντο καὶ δὴ Σέργιον τὸν Βάκχου τὸν στρατηγόν· ἑαλώκει γὰρ ὀλίγου ἔμπροσθεν καὶ αὐτὸς ἀπαισίᾳ τινὶ χρησάμενος τύχῃ, καὶ ἐν τοῖς P. 170 αἰχμαλώτοις ἐτέλει. οὕτω τε μόλις ἐπαύοντο ληλατοῦντες καὶ τῆς οἴκαδε εἴχοντο πορείας, ἀναλαβόντες οὐκ ἐς μακρὰν καὶ τοὺς ἐκ τῆς Ἑλλάδος ἀφικομένους.

24. Τοῖς μὲν οὖν τῆς πόλεως τῆς βασιλίδος ἀστοῖς αἱ τοιαῦται ξυνθῆκαι ἀγεννεῖς εἶναι ἐδόκουν καὶ αἰσχραὶ καὶ ἀνελεύθεροι, εἴ γε ὥσπερ οὐ φορητὸν ὑπάρχον, ὅτι δὴ πλησιαίτατα τῆς πόλεως οἱ πολέμιοι ἀφιγμένοι καὶ ἐγγελάσαντες οὐκ αὐτοὶ πανωλεθρίᾳ διεφθάρησαν, ἀλλ' ἔτι καὶ χρυσίον

A.C. 558 Iustiniani 32 ἐκομίσαντο χαριστήριον, ὥσπερ ἡμῶν ἐς αὐτοὺς πεπλημμεληκότων. ἡ δὲ τοῦ βασιλέως γνώμη ἐς B ἄλλο τι μεῖζον ἑώρα, ὅπερ οὐκ ἐς μακρὰν ἀποβὰν ἔπεισε τοὺς πρότερον νεμεσῶντας ὑπεράγασθαι αὐτὸν ὡς ἄγαν προμηθῆ καὶ ἀγχινούστατον· ἔγνω γὰρ χρῆναι μᾶλλον ἁπάσῃ μηχανῇ ξυγκρούεσθαι τὸ βάρβαρον ἐφ' ἑαυτὸ καὶ ἐκπολεμοῦσθαι. ὡς ἂν δὲ τοῦτο ξυμβαίη, αὐτίκα, ἕως οἱ ἀμφὶ Ζαβεργὰν μαλθακώτερον ἐπορεύοντο, ἔστελλε γράμμα παρὰ Σάνδιλχον τὸν ἕτερον ἡγεμόνα ἔνσπονδόν τέ οἱ ὄντα καὶ μισθοφόρον. ἐδήλου δὲ τοιάδε ἄττα τὸ γράμμα· "Εἰ μὲν ἐπιστάμενος τὰ παρὰ τῶν Κοτριγούρων ἐφ' ἡμᾶς μεμελετημένα εἶτα ἑκὼν ἠρεμεῖς, θαυμάσαιμι ἂν εἰκότως σοῦ μὲν τῆς ἀπιστίας, ἡμῶν δὲ αὐτῶν τοῦ C μὴ τῆς σῆς γνώμης ὀρθότατα ἐστοχάσθαι, ἀλλὰ περὶ τὴν κρίσιν διαμαρτεῖν· εἰ δὲ οὔπω μεμαθηκώς, ξυγγνωστέον μέν, ἐπιδείξεις δὲ ἂν οὐκ ἄλλως τὴν ἐπὶ τοῦ φθάσαντος ἄγνοιαν ἢ μόνῳ τῷ μὴ μετὰ ταῦτα μελλῆσαι. παραγεγόνασι γὰρ ἐνθάδε οὐ τοῦτο μέλον αὐτοῖς καὶ ἐσπουδασμένον ὅτι μὴ ὡς ὁδοῦ πάρεργον τὸ δεῖν λυμήνασθαι τὰ ἡμέτερα, ἀλλὰ διὰ τῶν ἔργων δηλώσοντες ὅτι δὴ τοὺς μείζονάς τε καὶ ἀρίστους παρέντες ἐξηπατήμεθα, τὸ ἐπὶ σοὶ πεποιθέναι προὔργου ποιούμενοι. οὐδὲ γὰρ ἀνεκτὸν εἶναι ἡγοῦνται, ἤν τις αὐτοὺς ἴσους τε καὶ ἀμφηρίστους V.119 τοῖς Οὐτιγούροις ἀποκαλέσοι, οὐδὲ εἰ μετρίῳ τινὶ D ὑπερβάλλειν, μόλις δὲ εἴ γε σφόδρα πολλῷ. καὶ τοίνυν οὐκ ἀνῆκαν ἀνὰ τὴν Θρᾴκην ἀλώμενοι, πρὶν τὸ χρυσίον ἅπαν ὁπόσον σοι ἀν' ἔτος ἕκαστον μισθοῦ χάριν δωρεῖσθαι εἰώθαμεν αὐτοὶ ἐκομίσαντο· καίτοι ῥᾴδιον ἦν ἡμῖν ἢ ἄρδην ἅπαντας ἀποκτεῖναι, ἢ τό γοῦν ἔλαττον ἀπράκτους σφᾶς ἀποπέμψασθαι.

ἐφήκαμεν δὲ ὅμως ἑκάτερα τῆς σῆς πειρώμενοι δόξης. εἰ μὲν γὰρ ὡς ἀληθῶς ἀνδρειότερος εἶ καὶ φρενήρης καὶ οἷος μὴ ἐπιτρέπειν τοῖς τὰ σὰ σφετεριζομένοις, οὐδὲ νῦν ἔλαττον ἕξεις. πάρεστι γάρ σοι ἐν καιρῷ τὸ δυσμενὲς ἀμύνασθαι καὶ τῇ μάχῃ κεκρατηκότι τοὺς οἰκείους μισθοὺς ἀπολαβεῖν, ὥσπερ δι' αὐτῶν σοι ἀπεσταλμένους. εἰ δὲ καὶ τοιαῦτα πρὸς αὐτῶν ὑβρισμένος ἡσυχίαν ἄγειν ἐθέλεις, δεδιώς, οἶμαι, καὶ τὴν αἰσχίστην ἑλόμενος ἀπραγμοσύνην, σὺ μέν, ὦ γενναῖε, ἀπόμισθος ἔσῃ, ἐκείνοις δὲ τὰ παρ' ἡμῶν δεδωρήσθω· καὶ τὸ λοιπὸν μέθες, εἰ δοκεῖ, τὸ φρόνημα καὶ τοῖς κρείττοσιν εἴκειν διδάσκου. εὖ γὰρ ἴσθι, ὦ φέριστε, ὡς καὶ τὰς ξυνθήκας μεταθετέον ἡμῖν ἐπ' αὐτούς, ἃς δὴ πρὸς σὲ καὶ τὸ σὸν ἐθέμεθα γένος. ἀνόητον γὰρ καὶ ἄλλως τοῖς ἡττωμένοις ξυναδοξεῖν, παρὸν τὸ κρατοῦν οἰκειώσασθαι."

25. Ταῦτα ὁ Σάνδιλχος διὰ τῶν ἑρμηνέων ἀναλεξάμενος εὐθὺς ἐχαλέπαινε καὶ ἐλύττα καὶ κατέχειν οὐ μάλα οἷός τε ἦν τὴν ὀργήν, ἀλλ' αὐθημερὸν ἵετο τίσασθαι τοὺς Κοτριγούρους τῆς ἐς αὐτὸν παροινίας. πῶς δὲ οὐκ ἤμελλεν ῥᾳδίως τοῖσδε τοῖς ῥήμασι διαταραχθῆναι ψυχὴ βάρβαρος καὶ αὐθάδης καὶ ἀεὶ κερδῶν γλιχομένη; τοιγάρτοι κινήσας τὸν οἰκεῖον στρατὸν πρῶτα μὲν ἐμβάλλει ἀθρόον τοῖς τῶν πολεμίων χωρίοις· καταπλήξας τε τοὺς αὐτοῦ μεμενηκότας τῷ ἀπροσδοκήτῳ γύναια πολλὰ καὶ παῖδας ἠνδραποδίσατο. ἔπειτα δὲ καὶ τοῖς ἐκ Θρᾴκης ἐπανερχομένοις ἄρτι τὸν Ἴστρον ποταμὸν διαπεραιωθεῖσιν ὑπαντιάζει ἐξαπιναῖα· καὶ πολλοὺς ὅσους ἀποκτείνας τά τε χρήματα αὐτοὺς τὰ παρὰ βασιλέως καὶ ἅπασαν τὴν λείαν ἀφαιρεῖται. μόλις δὲ οἱ σεσωσμένοι ἐς τὰ σφέτερα ἤδη ἀπονοστήσαντες καὶ κατ' αὐτὸ τοῖς

a. C. 558 Iustiniani 32 ἄλλοις γενόμενοι ἐς πόλεμον τοῖς ἐναντίοις καθίσταντο· οὕτω τε ἐξ ἐκείνου ἐπὶ πλεῖστον ἑκάτεροι C διετέλουν κατ' ἀλλήλων τρεπόμενοι καὶ τὴν δυσμένειαν ἐμπεδοῦντες. νῦν μὲν γὰρ ἐφόδους καὶ λεηλασίας ἐποιήσαντο, νῦν δὲ ἐς ἐμφανῆ μάχην παρετάττοντο, ἕως ἑκατέρωθεν αἱ δυνάμεις διαρρυεῖσαι ἀνάστατοι ἄρδην γεγένηνται, ὡς καὶ αὐτὴν δήπου τὴν πάτριον ἐπωνυμίαν ἀποβεβληκέναι. ἐς τοῦτο γὰρ συμφορᾶς τάδε τὰ Οὐννικὰ ἔθνη ἐξώκειλεν ὡς εἴπερ ἄρα τι αὐτῶν καὶ μεμένηκεν μέρος, σποράδην D ἑτέροις δουλεύειν καὶ ἐς τὸ ἐκείνων ὄνομα μεταβεβλῆσθαι. οὕτω δή τι αὐτοὺς ἐνεργότατα μετῆλθον αἱ ποιναὶ τῶν προτέρων ἀσεβημάτων. ἀλλ' ἡ μὲν παντελὴς τοῖνδε τοῖν γενοῖν ἀνατροπὴ καὶ κατάλυσις χρόνῳ ὕστερον ξυνηνέχθη, καί μοι εἰρήσεται ἕκαστα προσηκόντως ἁρμοζομένῳ ὡς οἷόν τε τῇ τῶν χρόνων ὁμολογίᾳ. τῆς δὲ στάσεως ἔτι ἀκμαζούσης καὶ κατὰ τὸ Βυζάντιον ἀπαγγελλομένης, τότε δὴ ἅπασιν ἀνωμολόγητο καὶ διαδηλοτάτη ἐδείκνυτο ἡ τοῦ βασιλέως προμήθεια καὶ εὐβουλία, ὅτι δὴ τῶν βαρβάρων ὑπὸ σφῶν διαφθειρομένων αὐτὸς ὅπλα μὴ κινῶν πάντως ἐνίκα τῇ γνώμῃ ἐφ' ἑκατέρᾳ ῥοπῇ τοῦ πολέμου, καὶ ἀπέλαυε τῆς ἐλπίδος. ἐπειδὴ γὰρ ἐμόχθουν ἑκάστοτε τοῖς οἴκοι δεινοῖς ἐνησχολημένοι, οὐκέτι κατὰ Ῥωμαίων χωρεῖν διενοοῦντο, ἀλλὰ καὶ ὅποι γῆς ἐτύγχανον ὄντες τοῖς πλείστοις ἠγνόηντο.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΚ ΤΗΣ ΑΝΘΟΛΟΓΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΕΦΑΛΑ.

---

1. (Anth. Gr. ex editione Fr. Iacobsii IV, 3.)

Ἀγαθίου Σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου συλλογὴ νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντίνου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσμᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀκροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας.

Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους
ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,
ἔτι που τὰ σιτία προσκόρως ἐρυγγάνειν·
καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι.
λόγων γὰρ ἡμῖν πολυτελῶν καὶ ποικίλων
πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας
περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.
τί δὲ νῦν ποιήσωμεν; τὰ προυξειργασμένα
οὕτως ἐάσω συντετῆχθαι κείμενα,
ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ
παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;
καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;
τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου,
εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;

ἀλλ' ἐστὶν ἐλπὶς εὐμενῶς τῶν δρωμένων
ὑμᾶς μεταλαβεῖν κοὐ κατεβλακευμένως.
ἔθος γὰρ ὑμῖν τῇ προθυμίᾳ μόνῃ,
τῇ τῶν καλούντων, ἐμμετρεῖν τὰ σιτία·
καὶ πρός γε τούτῳ δεῖπνον ἠρανισμένον
ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων.
ἐπεὶ γὰρ οὐκ ἔνεστιν ἐξ ἐμοῦ μόνου
ὑμᾶς μεταλαβεῖν, ἄνδρες, ἀξίας τροφῆς,
πολλοὺς ἔπεισα ξυλλαβεῖν μοι τοῦ πόνου,
καὶ ξυγκαταβαλεῖν κἀὶ ξυνεστιᾶν πλέον.
καὶ δὴ παρέσχον ἀφθόνως οἱ πλούσιοι
ἐξ ὧν τρυφῶσι, καὶ παραλαβὼν γνησίως
ἐν τοῖς ἐκείνων πέμμασιν φρυάττομαι.
τοῦτο δέ τις αὐτῶν προσφόρως, δεικνὺς ἐμὲ,
ἴσως ἐρεῖ πρὸς ἄλλον, ἀρτίως ἐμοῦ
μᾶζαν μεμαχότος μουσικήν τε καὶ νέαν,
οὗτος παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ταῦτ' οὖν ἐρεῖ τις, οὐδὲ τῶν σοφωτάτων,
τῶν ὀψοποιῶν, ὧν χάριν δοκῶ μόνος
εἶναι τοσαύτης ἡγεμὼν πανδαισίας.
θαρρῶν γὰρ αὐτοῖς λιτὸν οἴκοθεν μέρος
καὐτὸς παρέμιξα, τοῦ δοκεῖν μὴ παντελῶς
ξένος τις εἶναι τῶν ὑπ' ἐμοῦ ξυνηγμένων.
ἀλλ' ἐξ ἑκάστου σμικρὸν εἰσάγω μέρος,
ὅσον ἀπογεῦσαι. τῶν δὲ λοιπῶν εἰ θέλοι
τυχεῖν τις ἁπάντων καὶ μετασχεῖν ἐς κόρον,
ἴστω γε ταῦτα κατ' ἀγορὰν ζητητέα.

Κόσμον δὲ προσθεὶς τοῖς ἐμοῖς πονήμασιν,
ἐκ τοῦ βασιλέως τοὺς προλόγους ποιήσομαι·
ἅπαντα γάρ μοι δεξιῶς προβήσεται.
καί μοι μεγίστων πραγμάτων ὑμνουμένων
εὑρεῖν γένοιτο καὶ λόγους ἐπηρμένους.

Μή τις ἐπαυχενίοιο λιπὼν ζωστῆρα λεπάδνου
βάρβαρος ἐς βασιλῆα βιημάχον ὄμμα τανύσσῃ,
μηδ' ἔτι Περσὶς ἄναλκις ἀναστείλασα καλύπτρην
ὄρθιον ἀθρήσειεν· ὑποκλάζουσα δὲ γαίῃ,
καὶ λόφον αὐχήεντα καταγνάμπτουσα τενόντων,
Αὐσονίοις ἄκλητος ὑποκλίνοιτο ταλάντοις.
Ἑσπερίη θεράπαινα, σὺ δ' ἐς κρηπῖδα Γαδείρων,
καὶ παρὰ πορθμὸν Ἴβηρα καὶ Ὠκεανίτιδα Θούλην,
ἤπιον ἀμπνεύσειας, ἀμοιβαίων δὲ τυράννων
κράατα μετρήσασα τεῇ κρυφθέντα κονίῃ,
θαρσαλέαις παλάμῃσι φίλην ἀγκάζεο Ῥώμην.
Καυκασίῳ δὲ τένοντι καὶ ἐν ῥηγμῖνι Κυταίῃ,
ὁππόθι ταυρείοιο ποδὸς δουπήτορι χαλκῷ
σκληρὰ σιδηρείης ἐλακίζετο νῶτα κονίης,
σύννομον Ἀδριάδεσσιν ἀναπλέξασα χορείην
Φασιὰς εἱλίσσοιτο φίλῳ σκιρτήματι νύμφη,
καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος,
μόχθον ἀπορρίψασα γιγαντείου τοκετοῖο.
μηδὲ γὰρ αὐχήσειεν Ἰωλκίδος ἔμβολον Ἄργος,
ὅττι πόνους ἥρωος ἀγασσαμένη Παγασαίου
οὐκέτι Κολχὶς ἄρουρα, γονῇ πλησθεῖσα Γιγάντων,
εὐπτολέμοις σταχύεσσι μαχήμονα βῶλον ἀθοίγει.
κεῖνα γὰρ ἢ μῦθός τις ἀνέπλασεν, ἢ διὰ τέχνης
οὐχ ὁσίης τετέλεστο, πόθων ὅτε λύσσαν ἑλοῦσα
παρθενικὴ δολόεσσα μάγον κίνησεν ἀνάγκην.
ἀλλὰ δόλων ἔκτοσθε καὶ ὀρφναίου κυκεῶνος
Βάκτριος ἡμετέροισι Γίγας δούπησε βελέμνοις.
οὐκέτι μοι χῶρός τις ἀνέμβατος, ἀλλ' ἐνὶ πόντῳ
Ὑρκανίου κόλποιο, καὶ ἐς βυθὸν Αἰθιοπῆα
Ἰταλικαῖς νήεσσιν ἐρέσσεται ἥμερον ὕδωρ.
ἀλλ' ἴθι νῦν ἀφύλακτος ὅλην ἤπειρον ὁδεύων,
Αὐσόνιε, σκίρτησον, ὁδοίπορε, Μασσαγέτην δὲ

ἀμφιθέων ἀγκῶνα, καὶ ἄξενα τέμπεα Σούσων,
Ἰνδῴης ἐπίβηθι κατ' ὀργάδος· ἐν δὲ κελεύθοις
εἴποτε διψήσειας, ἀρύεο δοῦλον Ὕδασπιν·
ναὶ μὴν καὶ κυανωπόν, ὑπὲρ δύσιν ἄτρομος ἕρπων
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
ἐσχατιὴν δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο καὶ παρὰ Σύρτιν, ὅπῃ νοτίῃσι θυέλλαις
ἐς κλίσιν ἀντίπρῳρον ἀνακλασθεῖσα Βορῆος,
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἀλίπλοις
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν ἀΐξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
ἐς Σκυθίην πλάζοιτο καὶ ἐς Μαιώτιδα λίμνην.
τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ' ἡμετέρῳ βασιλῆϊ,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.
σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· ἐς σὲ δὲ μύθων
ἐργασίην ἤσκησα, μιῇ δ' ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης,
καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,
στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,
ὡς φηγὸν Κρονίωνι, καὶ ὁλκάδας Ἐννοσιγαίῳ,
ὡς Ἄρεϊ ζωστῆρα, καὶ Ἀπόλλωνι φαρέτρην,
ὡς χέλυν Ἑρμάωνι, καὶ ἡμερίδας Διονύσῳ.

οἶδα γὰρ ὡς ἄλληκτον ἐμῆς ἱδρῶτι μερίμνης
εὖχος ἐπιστάξειεν ἐπωνυμίη Θεοδώρου.
Πρῶτα δέ σοι λέξαιμι, παλαιγενέεσσιν ἐρίζων,
ὅσσαπερ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς,
ὡς προτέροις μακάρεσσιν ἀνειμένα· καὶ γὰρ ἐῴκει
γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.
Ἀλλὰ πάλιν μετ' ἐκεῖνα παλαίτερον εὖχος ἀείρει
ὅσσαπερ ἢ γραφίδεσσι χαράξαμεν, ἤ τινι χώρῳ,
εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης
τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.
Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου
ὅσσα θέμις τύμβοισι· τάπερ θεὸς ἐν μὲν ἀοιδῇ
ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκοι.
Ὅσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις
γράψαμεν, ἀσταθέος δὲ τύχης σφαλεροῖσι ταλάντοις,
δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτην.
Ναὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,
ὁππόθι κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς
γράψαμεν· ἑκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη
εἰς ὀάρους ἐλέγοιο παρατρέψειε πορείην
καὶ γλυκεροὺς ἐς ἔρωτας· ἐν ἑβδομάτῃ δὲ μελίσσῃ,
εὐφροσύνας Βάκχοιο, φιλακρήτους τε χορείας
καὶ μέθυ καὶ κρητῆρα, καὶ ὄλβια δεῖπνα νοήσεις.

2. (Ibid.)

Τοῦ αὐτοῦ Ἀγαθίου.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
  αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ' ἐς ὅσον ζώουσι· τὰ γὰρ κενὰ κύδεα φωτῶν
  ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται·
ἡ δ' ἀρετὴ σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
  κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
οὕτως οὔτε Πλάτων βρενθύεται οὔτ' ἄρ' Ὅμηρος

a. C. 558 ἐκομίσαντο χαριστήριον, ὥσπερ ἡμῶν ἐς αὐτοὺς
Iustiniani 32 πεπλημμεληκότων. ἡ δὲ τοῦ βασιλέως γνώμη ἐς
B ἄλλο τι μεῖζον ἑώρα, ὅπερ οὐκ ἐς μακρὰν ἀποβὰν
ἔπεισε τοὺς πρότερον νεμεσῶντας ὑπεράγασθαι αὐ-
τὸν ὡς ἄγαν προμηθῆ καὶ ἀγχινούστατον· ἔγνω γὰρ
χρῆναι μᾶλλον ἁπάσῃ μηχανῇ ξυγκρούεσθαι τὸ βάρ-
βαρον ἐφ' ἑαυτὸ καὶ ἐκπολεμοῦσθαι. ὡς ἂν δὲ τοῦτο
ξυμβαίη, αὐτίκα, ἕως οἱ ἀμφὶ Ζαβεργὰν μαλθακώ-
τερον ἐπορεύοντο, ἔστελλε γράμμα παρὰ Σάνδιλχον
τὸν ἕτερον ἡγεμόνα ἔνσπονδόν τέ οἱ ὄντα καὶ
μισθοφόρον. ἐδήλου δὲ τοιάδε ἄττα τὸ γράμμα· "Εἰ
μὲν ἐπιστάμενος τὰ παρὰ τῶν Κοτριγούρων ἐφ' ἡμᾶς
μεμελετημένα εἶτα ἑκὼν ἠρεμεῖς, θαυμάσαιμι ἂν
εἰκότως σοῦ μὲν τῆς ἀπιστίας, ἡμῶν δὲ αὐτῶν τοῦ
C μὴ τῆς σῆς γνώμης ὀρθότατα ἐστοχάσθαι, ἀλλὰ περὶ
τὴν κρίσιν διαμαρτεῖν· εἰ δὲ οὔπω μεμαθηκώς,
ξυγγνωστέον μέν, ἐπιδείξεις δὲ ἂν οὐκ ἄλλως τὴν
ἐπὶ τοῦ φθάσαντος ἄγνοιαν ἢ μόνῳ τῷ μὴ μετὰ
ταῦτα μελλῆσαι. παραγεγόνασι γὰρ ἐνθάδε οὐ τοῦτο
μέλον αὐτοῖς καὶ ἐσπουδασμένον ὅτι μὴ ὡς ὁδοῦ
πάρεργον τὸ δεῖν λυμήνασθαι τὰ ἡμέτερα, ἀλλὰ διὰ
τῶν ἔργων δηλώσοντες ὅτι δὴ τοὺς μείζονάς τε καὶ
ἀρίστους παρέντες ἐξηπατήμεθα, τὸ ἐπὶ σοὶ πεποι-
θέναι προὔργου ποιούμενοι. οὐδὲ γὰρ ἀνεκτὸν εἶναι
ἡγοῦνται, ἤν τις αὐτοὺς ἴσους τε καὶ ἀμφηρίστους
V. 119 τοῖς Οὐτιγούροις ἀποκαλέσοι, οὐδὲ εἰ μετρίῳ τινὶ
D ὑπερβάλλειν, μόλις δὲ εἴ γε σφόδρα πολλῷ. καὶ
τοίνυν οὐκ ἀνῆκαν ἀνὰ τὴν Θρᾴκην ἀλώμενοι, πρὶν
τὸ χρυσίον ἅπαν ὁπόσον σοι ἀν' ἔτος ἕκαστον
μισθοῦ χάριν δωρεῖσθαι εἰώθαμεν αὐτοὶ ἐκομίσαντο·
καίτοι ῥάδιον ἦν ἡμῖν ἢ ἄρδην ἅπαντας ἀποκτεῖναι,
ἢ τὸ γοῦν ἔλαττον ἀπράκτους σφᾶς ἀποπέμψασθαι.

ἐφήκαμεν δὲ ὅμως ἑκάτερα τῆς σῆς πειρώμενοι δόξης. a. C. Iustiniani
εἰ μὲν γὰρ ὡς ἀληθῶς ἀνδρειότερος εἶ καὶ φρενήρης καὶ οἷος μὴ ἐπιτρέπειν τοῖς τὰ σὰ σφετεριζομένοις, οὐδὲ νῦν ἔλαττον ἕξεις. πάρεστι γάρ σοι ἐν καιρῷ τὸ δυσμενὲς ἀμύνασθαι καὶ τῇ μάχῃ κεκρατηκότι τοὺς οἰκείους μισθοὺς ἀπολαβεῖν, ὥσπερ δι' αὐτῶν σοι ἀπεσταλμένους. εἰ δὲ καὶ τοιαῦτα πρὸς αὐτῶν ὑβρισμένος ἡσυχίαν ἄγειν ἐθέλεις, δεδιώς, οἶμαι, P. 1
καὶ τὴν αἰσχίστην ἑλόμενος ἀπραγμοσύνην, σὺ μέν, ὦ γενναῖε, ἀπόμισθος ἔσῃ, ἐκείνοις δὲ τὰ παρ' ἡμῶν δεδωρήσθω· καὶ τὸ λοιπὸν μέθες, εἰ δοκεῖ, τὸ φρόνημα καὶ τοῖς κρείττοσιν εἴκειν διδάσκου. εὖ γὰρ ἴσθι, ὦ φέριστε, ὡς καὶ τὰς ξυνθήκας μεταθετέον ἡμῖν ἐπ' αὐτούς, ἃς δὴ πρὸς σὲ καὶ τὸ σὸν ἐθέμεθα γένος. ἀνόητον γὰρ καὶ ἄλλως τοῖς ἡττωμένοις ξυναδοξεῖν, παρὸν τὸ κρατοῦν οἰκειώσασθαι."

25. Ταῦτα ὁ Σάνδιλχος διὰ τῶν ἑρμηνέων ἀναλεξάμενος εὐθὺς ἐχαλέπαινε καὶ ἐλύττα καὶ κατέχειν οὐ μάλα οἷός τε ἦν τὴν ὀργήν, ἀλλ' αὐθημερὸν ἵετο τίσασθαι τοὺς Κοτριγούρους τῆς ἐς αὐτὸν παροινίας. B
πῶς δὲ οὐκ ἤμελλεν ῥᾳδίως τοῖσδε τοῖς ῥήμασι διαταραχθῆναι ψυχὴ βάρβαρος καὶ αὐθάδης καὶ ἀεὶ κερδῶν γλιχομένη; τοιγάρτοι κινήσας τὸν οἰκεῖον στρατὸν πρῶτα μὲν ἐμβάλλει ἀθρόον τοῖς τῶν πολεμίων χωρίοις· καταπλήξας τε τοὺς αὐτοῦ μεμενηκότας τῷ ἀπροσδοκήτῳ γύναια πολλὰ καὶ παῖδας ἠνδραποδίσατο. ἔπειτα δὲ καὶ τοῖς ἐκ Θρᾴκης ἐπανερχομένοις ἄρτι τὸν Ἴστρον ποταμὸν διαπεραιωθεῖσιν ὑπαντιάζει ἐξαπιναῖα· καὶ πολλοὺς ὅσους ἀποκτείνας τά τε χρήματα αὐτοὺς τὰ παρὰ βασιλέως καὶ ἅπασαν τὴν λείαν ἀφαιρεῖται. μόλις δὲ οἱ σεσωσμένοι ἐς τὰ σφέτερα ἤθη ἀπονοστήσαντες καὶ κατ' αὐτὸ τοῖς

C. 558 Iustiniani 32 ἄλλοις γενόμενοι ἐς πόλεμον τοῖς ἐναντίοις καθίσταντο· οὕτω τε ἐξ ἐκείνου ἐπὶ πλεῖστον ἑκάτεροι C διετέλουν κατ' ἀλλήλων τρεπόμενοι καὶ τὴν δυσμένειαν ἐμπεδοῦντες. νῦν μὲν γὰρ ἐφόδους καὶ λεηλασίας ἐποιήσαντο, νῦν δὲ ἐς ἐμφανῆ μάχην παρετάττοντο, ἕως ἑκατέρωθεν αἱ δυνάμεις διαρρυεῖσαι ἀνάστατοι ἄρδην γεγένηνται, ὡς καὶ αὐτὴν δήπου τὴν πάτριον ἐπωνυμίαν ἀποβεβληκέναι. ἐς τοῦτο γὰρ συμφορᾶς τάδε τὰ Οὐννικὰ ἔθνη ἐξώκειλεν ὡς εἴπερ ἄρα τι αὐτῶν καὶ μεμένηκεν μέρος, σποράδην D ἑτέροις δουλεύειν καὶ ἐς τὸ ἐκείνων ὄνομα μεταβεβλῆσθαι. οὕτω δή τι αὐτοὺς ἐνεργότατα μετῆλθον αἱ ποιναὶ τῶν προτέρων ἀσεβημάτων. ἀλλ' ἡ μὲν παντελὴς τοῖνδε τοῖν γενοῖν ἀνατροπὴ καὶ κατάλυσις χρόνῳ ὕστερον ξυνηνέχθη, καί μοι εἰρήσεται ἕκαστα προσηκόντως ἁρμοζομένῳ ὡς οἷόν τε τῇ τῶν χρόνων ὁμολογίᾳ. τῆς δὲ στάσεως ἔτι ἀκμαζούσης καὶ κατὰ τὸ Βυζάντιον ἀπαγγελλομένης, τότε δὴ ἅπασιν ἀνωμολόγητο καὶ διαδηλοτάτη ἐδείκνυτο ἡ τοῦ βασιλέως προμήθεια καὶ εὐβουλία, ὅτι δὴ τῶν βαρβάρων ὑπὸ σφῶν διαφθειρομένων αὐτὸς ὅπλα μὴ κινῶν πάντως ἐνίκα τῇ γνώμῃ ἐφ' ἑκατέρᾳ ῥοπῇ τοῦ πολέμου, καὶ ἀπέλαυε τῆς ἐλπίδος. ἐπειδὴ γὰρ ἐμόχθουν ἑκάστοτε τοῖς οἴκοι δεινοῖς ἐνησχολημένοι, οὐκέτι κατὰ Ῥωμαίων χωρεῖν διενοοῦντο, ἀλλὰ καὶ ὅποι γῆς ἐτύγχανον ὄντες τοῖς πλείστοις ἠγνόηντο.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΚ ΤΗΣ ΑΝΘΟΛΟΓΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΕΦΑΛΑ.

---

1. (Anth. Gr. ex editione Fr. Iacobsii IV, 3.)

Ἀγαθίου Σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου συλλογὴ νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντίνου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσμᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀκροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας.

Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους
ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,
ἔτι που τὰ σιτία προσκόρως ἐρυγγάνειν·
καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι.
λόγων γὰρ ἡμῖν πολυτελῶν καὶ ποικίλων
πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας
περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.
τί δὲ νῦν ποιήσωμεν; τὰ προυξειργασμένα
οὕτως ἐάσω συντετῆχθαι κείμενα,
ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ
παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;
καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;
τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου,
εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;

ἀλλ' ἐστὶν ἐλπὶς εὐμενῶς τῶν δρωμένων
ὑμᾶς μεταλαβεῖν κοὐ κατεβλακευμένως.
ἔθος γὰρ ὑμῖν τῇ προθυμίᾳ μόνῃ,
τῇ τῶν καλούντων, ἐμμετρεῖν τὰ σιτία·
καὶ πρός γε τούτῳ δεῖπνον ἠρανισμένον
ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων.
ἐπεὶ γὰρ οὐκ ἔνεστιν ἐξ ἐμοῦ μόνου
ὑμᾶς μεταλαβεῖν, ἄνδρες, ἀξίας τροφῆς,
πολλοὺς ἔπεισα ξυλλαβεῖν μοι τοῦ πόνου,
καὶ ξυγκαταβαλεῖν καὶ ξυνεστιᾶν πλέον.
καὶ δὴ παρέσχον ἀφθόνως οἱ πλούσιοι
ἐξ ὧν τρυφῶσι, καὶ παραλαβὼν γνησίως
ἐν τοῖς ἐκείνων πέμμασιν φρυάττομαι.
τοῦτο δέ τις αὐτῶν προσφόρως, δεικνὺς ἐμὲ,
ἴσως ἐρεῖ πρὸς ἄλλον, ἀρτίως ἐμοῦ
μᾶζαν μεμαχότος μουσικήν τε καὶ νεαν,
οὗτος παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ταῦτ' οὖν ἐρεῖ τις, οὐδὲ τῶν σοφωτάτων,
τῶν ὀψοποιῶν, ὧν χάριν δοκῶ μόνος
εἶναι τοσαύτης ἡγεμὼν πανδαισίας.
θαρρῶν γὰρ αὐτοῖς λιτὸν οἴκοθεν μέρος
καὐτὸς παρέμιξα, τοῦ δοκεῖν μὴ παντελῶς
ξένος τις εἶναι τῶν ὑπ' ἐμοῦ ξυνηγμένων.
ἀλλ' ἐξ ἑκάστου σμικρὸν εἰσάγω μέρος,
ὅσον ἀπογεῦσαι. τῶν δὲ λοιπῶν εἰ θέλοι
τυχεῖν τις ἁπάντων καὶ μετασχεῖν ἐς κόρον,
ἴστω γε ταῦτα κατ' ἀγορὰν ζητητέα.

Κόσμον δὲ προσθεὶς τοῖς ἐμοῖς πονήμασιν,
ἐκ τοῦ βασιλέως τοὺς προλόγους ποιήσομαι·
ἅπαντα γάρ μοι δεξιῶς προβήσεται.
καί μοι μεγίστων πραγμάτων ὑμνουμένων
εὑρεῖν γένοιτο καὶ λόγους ἐπηρμένους.

Μή τις ἐπαυχενίοιο λιπὼν ζωστῆρα λεπάδνου
βάρβαρος ἐς βασιλῆα βιημάχον ὄμμα τανύσσῃ,
μηδ' ἔτι Περσὶς ἄναλκις ἀναστείλασα καλύπτρην
ὄρθιον ἀθρήσειεν· ὑποκλάζουσα δὲ γαίῃ,
καὶ λόφον αὐχήεντα καταγνάμπτουσα τενόντων,
Αὐσονίοις ἄκλητος ὑποκλίνοιτο ταλάντοις.
Ἑσπερίη θεράπαινα, σὺ δ' ἐς κρηπῖδα Γαδείρων,
καὶ παρὰ πορθμὸν Ἴβηρα καὶ Ὠκεανίτιδα Θούλην,
ἤπιον ἀμπνεύσειας, ἀμοιβαίων δὲ τυράννων
κράατα μετρήσασα τεῇ κρυφθέντα κονίῃ,
θαρσαλέαις παλάμῃσι φίλην ἀγκάζεο Ῥώμην.
Καυκασίῳ δὲ τένοντι καὶ ἐν ῥηγμῖνι Κυταίῃ,
ὁππόθι ταυρείοιο ποδὸς δουπήτορι χαλκῷ
σκληρὰ σιδηρείης ἐλακίζετο νῶτα κονίης,
σύννομον Ἀδριάδεσσιν ἀναπλέξασα χορείην
Φασιὰς εἱλίσσοιτο φίλῳ σκιρτήματι νύμφη,
καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος,
μόχθον ἀπορρίψασα γιγαντείου τοκετοῖο.
μηδὲ γὰρ αὐχήσειεν Ἰωλκίδος ἔμβολον Ἄργος,
ὅττι πόνους ἥρωος ἀγασσαμένη Παγασαίου
οὐκέτι Κολχὶς ἄρουρα, γονῇ πλησθεῖσα Γιγάντων,
εὐπτολέμοις σταχύεσσι μαχήμονα βῶλον ἀνοίγει.
κεῖνα γὰρ ἢ μῦθός τις ἀνέπλασεν, ἢ διὰ τέχνης
οὐχ ὁσίης τετέλεστο, πόθων ὅτε λύσσαν ἑλοῦσα
παρθενικὴ δολόεσσα μάγον κίνησεν ἀνάγκην.
ἀλλὰ δόλων ἔκτοσθε καὶ ὀρφναίου κυκεῶνος
Βάκτριος ἡμετέροισι Γίγας δούπησε βελέμνοις.
οὐκέτι μοι χῶρός τις ἀνέμβατος, ἀλλ' ἐνὶ πόντῳ
Ὑρκανίου κόλποιο, καὶ ἐς βυθὸν Αἰθιοπῆα
Ἰταλικαῖς νήεσσιν ἐρέσσεται ἥμερον ὕδωρ.
ἀλλ' ἴθι νῦν ἀφύλακτος ὅλην ἤπειρον ὁδεύων,
Αὐσόνιε, σκίρτησον, ὁδοίπορε, Μασσαγέτην δὲ

ἀμφιθέων ἀγκῶνα, καὶ ἄξενα τέμπεα Σούσων,
Ἰνδῴης ἐπίβηθι κατ' ὀργάδος· ἐν δὲ κελεύθοις
εἴποτε διψήσειας, ἀρύεο δοῦλον Ὕδασπιν·
ναὶ μὴν καὶ κυανωπόν, ὑπὲρ δύσιν ἄτρομος ἕρπων
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
ἐσχατιὴν δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο καὶ παρὰ Σύρτιν, ὅπη νοτίῃσι θυέλλαις
ἐς κλίσιν ἀντίπρῳρον ἀνακλασθεῖσα Βορῆος,
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἁλίπλοις
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν ἀΐξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
ἐς Σκυθίην πλάζοιτο καὶ ἐς Μαιώτιδα λίμνην.
τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ' ἡμετέρῳ βασιλῆϊ,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.
σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· ἐς σὲ δὲ μύθων
ἐργασίην ἤσκησα, μιῇ δ' ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης,
καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,
στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,
ὡς φηγὸν Κρονίωνι, καὶ ὁλκάδας Ἐννοσιγαίῳ,
ὡς Ἄρεϊ ζωστῆρα, καὶ Ἀπόλλωνι φαρέτρην,
ὡς χέλυν Ἑρμάωνι, καὶ ἡμερίδας Διονύσῳ.

οἶδα γὰρ ὡς ἄλληκτον ἐμῆς ἱδρῶτι μερίμνης
εὖχος ἐπιστάξειεν ἐπωνυμίη Θεοδώρου.
Πρῶτα δέ σοι λέξαιμι, παλαιγενέεσσιν ἐρίζων,
ὅσσαπερ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς,
ὡς προτέροις μακάρεσσιν ἀνειμένα· καὶ γὰρ ἐῴκει
γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.
᾿Αλλὰ πάλιν μετ᾿ ἐκεῖνα παλαίτερον εὖχος ἀείρει
ὅσσαπερ ἢ γραφίδεσσι χαράξαμεν, ἤ τινι χώρῳ,
εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης
τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.
Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου
ὅσσα θέμις τύμβοισι· τάπερ θεὸς ἐν μὲν ἀοιδῇ
ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκοι.
῞Οσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις
γράψαμεν, ἀσταθέος δὲ τύχης σφαλεροῖσι ταλάντοις,
δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτην.
Ναὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,
ὁππόθι κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς
γράψαμεν· ἕκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη
εἰς ὀάρους ἐλέγοιο παρατρέψειε πορείην
καὶ γλυκεροὺς ἐς ἔρωτας· ἐν ἑβδομάτῃ δὲ μελίσσῃ,
εὐφροσύνας Βάκχοιο, φιλακρήτους τε χορείας
καὶ μέθυ καὶ κρητῆρα, καὶ ὄλβια δεῖπνα νοήσεις.

2. (Ibid.)

Τοῦ αὐτοῦ ᾿Αγαθίου.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ᾿ ἐς ὅσον ζώουσι· τὰ γὰρ κενὰ κύδεα φωτῶν
ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται·
ἡ δ᾿ ἀρετὴ σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
οὕτως οὔτε Πλάτων βρενθύεται οὔτ᾿ ἄρ᾿ ῞Ομηρος

a. C. 558 Iustiniani 32 ἄλλοις γενόμενοι ἐς πόλεμον τοῖς ἐναντίοις καθίσταντο· οὕτω τε ἐξ ἐκείνου ἐπὶ πλεῖστον ἑκάτεροι C διετέλουν κατ' ἀλλήλων τρεπόμενοι καὶ τὴν δυσμένειαν ἐμπεδοῦντες. νῦν μὲν γὰρ ἐφόδους καὶ λεηλασίας ἐποιήσαντο, νῦν δὲ ἐς ἐμφανῆ μάχην παρετάττοντο, ἕως ἑκατέρωθεν αἱ δυνάμεις διαρρυεῖσαι ἀνάστατοι ἄρδην γεγένηνται, ὡς καὶ αὐτὴν δήπου τὴν πάτριον ἐπωνυμίαν ἀποβεβληκέναι. ἐς τοῦτο γὰρ συμφορᾶς τάδε τὰ Οὐννικὰ ἔθνη ἐξώκειλεν ὡς εἴπερ ἄρα τι αὐτῶν καὶ μεμένηκεν μέρος, σποράδην D ἑτέροις δουλεύειν καὶ ἐς τὸ ἐκείνων ὄνομα μεταβεβλῆσθαι. οὕτω δή τι αὐτοὺς ἐνεργότατα μετῆλθον αἱ ποιναὶ τῶν προτέρων ἀσεβημάτων. ἀλλ' ἡ μὲν παντελὴς τοῖνδε τοῖν γενοῖν ἀνατροπὴ καὶ κατάλυσις χρόνῳ ὕστερον ξυνηνέχθη, καί μοι εἰρήσεται ἕκαστα προσηκόντως ἁρμοζομένῳ ὡς οἷόν τε τῇ τῶν χρόνων ὁμολογίᾳ. τῆς δὲ στάσεως ἔτι ἀκμαζούσης καὶ κατὰ τὸ Βυζάντιον ἀπαγγελλομένης, τότε δὴ ἅπασιν ἀνωμολόγητο καὶ διαδηλοτάτη ἐδείκνυτο ἡ τοῦ βασιλέως προμήθεια καὶ εὐβουλία, ὅτι δὴ τῶν βαρβάρων ὑπὸ σφῶν διαφθειρομένων αὐτὸς ὅπλα μὴ κινῶν πάντως ἐνίκα τῇ γνώμῃ ἐφ' ἑκατέρᾳ ῥοπῇ τοῦ πολέμου, καὶ ἀπέλαυε τῆς ἐλπίδος. ἐπειδὴ γὰρ ἐμόχθουν ἑκάστοτε τοῖς οἴκοι δεινοῖς ἐνησχολημένοι, οὐκέτι κατὰ Ῥωμαίων χωρεῖν διενοοῦντο, ἀλλὰ καὶ ὅποι γῆς ἐτύγχανον ὄντες τοῖς πλείστοις ἠγνόηντο.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΚ ΤΗΣ ΑΝΘΟΛΟΓΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΕΦΑΛΑ.

---

1. (Anth. Gr. ex editione Fr. Iacobsii IV, 3.)

Ἀγαθίου Σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου συλλογὴ νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντίνου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσμᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀκροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας.

Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους
ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,
ἔτι που τὰ σιτία προσκόρως ἐρυγγάνειν·
καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι.
λόγων γὰρ ἡμῖν πολυτελῶν καὶ ποικίλων
πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας
περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.
τί δὲ νῦν ποιήσωμεν; τὰ προυξειργασμένα
οὕτως ἐάσω συντετῆχθαι κείμενα,
ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ
παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;
καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;
τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου,
εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;

ἀλλ' ἐστὶν ἐλπὶς εὐμενῶς τῶν δρωμένων
ὑμᾶς μεταλαβεῖν κοὐ κατεβλακευμένως.
ἔθος γὰρ ὑμῖν τῇ προθυμίᾳ μόνῃ,
τῇ τῶν καλούντων, ἐμμετρεῖν τὰ σιτία·
καὶ πρός γε τούτῳ δεῖπνον ἠρανισμένον
ἥκω προθήσων ἐκ νέων ἡδυσμάτων.
ἐπεὶ γὰρ οὐκ ἔνεστιν ἐξ ἐμοῦ μόνου
ὑμᾶς μεταλαβεῖν, ἄνδρες, ἀξίας τροφῆς,
πολλοὺς ἔπεισα ξυλλαβεῖν μοι τοῦ πόνου,
καὶ ξυγκαταβαλεῖν καὶ ξυνεστιᾶν πλέον.
καὶ δὴ παρέσχον ἀφθόνως οἱ πλούσιοι
ἐξ ὧν τρυφῶσι, καὶ παραλαβὼν γνησίως
ἐν τοῖς ἐκείνων πέμμασιν φρυάττομαι.
τοῦτο δέ τις αὐτῶν προσφόρως, δεικνὺς ἐμὲ,
ἴσως ἐρεῖ πρὸς ἄλλον, ἀρτίως ἐμοῦ
μᾶζαν μεμαχότος μουσικήν τε καὶ νέαν,
οὗτος παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ταῦτ' οὖν ἐρεῖ τις, οὐδὲ τῶν σοφωτάτων,
τῶν ὀψοποιῶν, ὧν χάριν δοκῶ μόνος
εἶναι τοσαύτης ἡγεμὼν πανδαισίας.
θαρρῶν γὰρ αὐτοῖς λιτὸν οἴκοθεν μέρος
καὐτὸς παρέμιξα, τοῦ δοκεῖν μὴ παντελῶς
ξένος τις εἶναι τῶν ὑπ' ἐμοῦ ξυνηγμένων.
ἀλλ' ἐξ ἑκάστου σμικρὸν εἰσάγω μέρος,
ὅσον ἀπογεῦσαι. τῶν δὲ λοιπῶν εἰ θέλοι
τυχεῖν τις ἁπάντων καὶ μετασχεῖν ἐς κόρον,
ἴστω γε ταῦτα κατ' ἀγορὰν ζητητέα.
  Κόσμον δὲ προσθεὶς τοῖς ἐμοῖς πονήμασιν,
ἐκ τοῦ βασιλέως τοὺς προλόγους ποιήσομαι·
ἅπαντα γάρ μοι δεξιῶς προβήσεται.
καί μοι μεγίστων πραγμάτων ὑμνουμένων
εὑρεῖν γένοιτο καὶ λόγους ἐπηρμένους.

Μή τις ἐπαυχενίοιο λιπὼν ζωστῆρα λεπάδνου
βάρβαρος ἐς βασιλῆα βιημάχον ὄμμα τανύσσῃ,
μηδ' ἔτι Περσὶς ἄναλκις ἀναστείλασα καλύπτρην
ὄρθιον ἀθρήσειεν· ὑποκλάζουσα δὲ γαίῃ,
καὶ λόφον αὐχήεντα καταγνάμπτουσα τενόντων,
Αὐσονίοις ἄκλητος ὑποκλίνοιτο ταλάντοις.
Ἑσπερίη θεράπαινα, σὺ δ' ἐς κρηπῖδα Γαδείρων,
καὶ παρὰ πορθμὸν Ἴβηρα καὶ Ὠκεανίτιδα Θούλην,
ἤπιον ἀμπνεύσειας, ἀμοιβαίων δὲ τυράννων
κράατα μετρήσασα τεῇ κρυφθέντα κονίῃ,
θαρσαλέαις παλάμῃσι φίλην ἀγκάζεο Ῥώμην.
Καυκασίῳ δὲ τένοντι καὶ ἐν ῥηγμῖνι Κυταίῃ,
ὁππόθι ταυρείοιο ποδὸς δουπήτορι χαλκῷ
σκληρὰ σιδηρείης ἐλακίζετο νῶτα κονίης,
σύννομον Ἀδριάδεσσιν ἀναπλέξασα χορείην
Φασιὰς εἱλίσσοιτο φίλῳ σκιρτήματι νύμφη,
καὶ καμάτους μέλψειε πολυσκήπτρου βασιλῆος,
μόχθον ἀπορρίψασα γιγαντείου τοκετοῖο.
μηδὲ γὰρ αὐχήσειεν Ἰωλκίδος ἔμβολον Ἄργος,
ὅττι πόνους ἥρωος ἀγασσαμένη Παγασαίου
οὐκέτι Κολχὶς ἄρουρα, γονῇ πλησθεῖσα Γιγάντων,
εὐπτολέμοις σταχύεσσι μαχήμονα βῶλον ἀνοίγει.
κεῖνα γὰρ ἢ μῦθός τις ἀνέπλασεν, ἢ διὰ τέχνης
οὐχ ὁσίης τετέλεστο, πόθων ὅτε λύσσαν ἑλοῦσα
παρθενικὴ δολόεσσα μάγον κίνησεν ἀνάγκην.
ἀλλὰ δόλων ἔκτοσθε καὶ ὀρφναίου κυκεῶνος
Βάκτριος ἡμετέροισι Γίγας δούπησε βελέμνοις.
οὐκέτι μοι χῶρός τις ἀνέμβατος, ἀλλ' ἐνὶ πόντῳ
Ὑρκανίου κόλποιο, καὶ ἐς βυθὸν Αἰθιοπῆα
Ἰταλικαῖς νήεσσιν ἐρέσσεται ἥμερον ὕδωρ.
ἀλλ' ἴθι νῦν ἀφύλακτος ὅλην ἤπειρον ὁδεύων,
Αὐσόνιε, σκίρτησον, ὁδοίπορε, Μασσαγέτην δὲ

ἀμφιθέων ἀγκῶνα, καὶ ἄξενα τέμπεα Σούσων,
Ἰνδῴης ἐπίβηθι κατ' ὀργάδος· ἐν δὲ κελεύθοις
εἴποτε διψήσειας, ἀρύεο δοῦλον Ὕδασπιν·
ναὶ μὴν καὶ κυανωπόν, ὑπὲρ δύσιν ἄτρομος ἕρπων
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
ἐσχατιὴν δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο καὶ παρὰ Σύρτιν, ὅπη νοτίῃσι θυέλλαις
ἐς κλίσιν ἀντίπρῳρον ἀνακλασθεῖσα Βορῆος,
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἀλίπλοις
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν αἴξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
ἐς Σκυθίην πλάζοιτο καὶ ἐς Μαιώτιδα λίμνην.
τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ' ἡμετέρῳ βασιλῆϊ,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.
σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· ἐς σὲ δὲ μύθων
ἐργασίην ἤσκησα, μιῇ δ' ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης,
καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,
στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,
ὡς φηγὸν Κρονίωνι, καὶ ὁλκάδας Ἐννοσιγαίῳ,
ὡς Ἄρεϊ ζωστῆρα, καὶ Ἀπόλλωνι φαρέτρην,
ὡς χέλυν Ἑρμάωνι, καὶ ἡμερίδας Διωνύσῳ.

οἶδα γὰρ ὡς ἄλληκτον ἐμῆς ἱδρῶτι μερίμνης
εὖχος ἐπιστάξειεν ἐπωνυμίη Θεοδώρου.
Πρῶτα δέ σοι λέξαιμι, παλαιγενέεσσιν ἐρίζων,
ὅσσαπερ ἐγράψαντο νέης γενετῆρες ἀοιδῆς,
ὡς προτέροις μακάρεσσιν ἀνειμένα· καὶ γὰρ ἐῴκει
γράμματος ἀρχαίοιο σοφὸν μίμημα φυλάξαι.
Ἀλλὰ πάλιν μετ' ἐκεῖνα παλαίτερον εὖχος ἀείρει
ὅσσαπερ ἢ γραφίδεσσι χαράξαμεν, ἤ τινι χώρῳ,
εἴτε καὶ εὐποίητον ἐπὶ βρέτας, εἴτε καὶ ἄλλης
τέχνης ἐργοπόνοιο πολυσπερέεσσιν ἀέθλοις.
Καὶ τριτάτην βαλβῖδα νεήνιδος ἔλλαχε βίβλου
ὅσσα θέμις τύμβοισι· τάπερ θεὸς ἐν μὲν ἀοιδῇ
ἐκτελέειν νεύσειεν, ἐν ἀτρεκίῃ δὲ διώκοι.
Ὅσσα δὲ καὶ βιότοιο πολυσπερέεσσι κελεύθοις
γράψαμεν, ἀσταθέος δὲ τύχης σφαλεροῖσι ταλάντοις,
δέρκεό μοι βίβλοιο παρὰ κρηπῖδα τετάρτην.
Ναὶ τάχα καὶ πέμπτοιο χάρις θέλξειεν ἀέθλου,
ὁππόθι κερτομέοντες ἐπεσβόλον ἦχον ἀοιδῆς
γράψαμεν· ἑκταῖον δὲ μέλος κλέπτουσα Κυθήρη
εἰς ὀάρους ἐλέγοιο παρατρέψειε πορείην
καὶ γλυκεροὺς ἐς ἔρωτας· ἐν ἑβδομάτῃ δὲ μελίσσῃ,
εὐφροσύνας Βάκχοιο, φιλακρήτους τε χορείας
καὶ μέθυ καὶ κρητῆρα, καὶ ὄλβια δεῖπνα νοήσεις.

2. (Ibid.)

Τοῦ αὐτοῦ Ἀγαθίου.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ' ἐς ὅσον ζώουσι· τὰ γὰρ κενὰ κύδεα φωτῶν
ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται·
ἡ δ' ἀρετὴ σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
οὕτως οὔτε Πλάτων βρενθύεται οὔτ' ἄρ' Ὅμηρος

χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
ἀλλ' οὐκ ἐς κενεὰς εἰκόνας ἐνδιάει.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΧΡΙΣΤΙΑΝΙΚΑ.

3. (I, 34.)

Εἰς εἰκόνα τοῦ ἀρχαγγέλου ἐν Πλάτῃ.

Ἄσκοπον ἀγγελίαρχον, ἀσώματον εἴδεϊ μορφῆς,
ἆ μέγα τολμήεις, κηρὸς ἀπεπλάσατο·
ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων
θυμὸν ἀπιθύνει κρείσσονι φαντασίῃ·
οὐκέτι δ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ
τὸν τύπον ἐγγράψας ὡς παρεόντα τρέμει·
ὄμματα δ' ὀτρύνουσι βαθὺν νόον· οἶδε δὲ τέχνη
χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην.

4. (I, 35.)

Εἰς τὸν αὐτὸν ἐν τῷ Σωσθενίῳ.

Καρικὸς Αἰμιλιανός, Ἰωάννης τε σὺν αὐτῷ,
Ῥουφῖνος Φαρίης, Ἀγαθίης Ἀσίης,
τέτρατον, ἀγγελίαρχε, νόμων λυκάβαντα λαχόντες,
ἄνθεσιν εἰς σέ, μάκαρ, τὴν σφετέρην γραφίδα,
αἰτοῦντες τὸν ἔπειτα καλὸν χρόνον· ἀλλὰ φανείης
ἐλπίδας ἰθύνων ἐσσομένου βιότου.

5. (I, 36.)

Εἰς εἰκόνα Θεοδώρου Ἰλλουστρίου καὶ δὶς ἀνθυπάτου, ἐν ᾗ γέγραπται παρὰ τοῦ ἀρχαγγέλου δεχόμενος τὰς ἀξίας ἐν Ἐφέσῳ.

Ἵλαθι μορφωθείς, ἀρχάγγελε· σὴ γὰρ ὀπωπὴ
ἄσκοπος· ἀλλὰ βροτῶν δῶρα πέλουσι τάδε·
ἐκ σέο γὰρ Θεόδωρος ἔχει ζωστῆρα μαγίστρου
καὶ δὶς ἀεθλεύει πρὸς θρόνον ἀνθυπάτων·

τῆς δ' εὐγνωμοσύνης μάρτυς γραφίς· ὑμετέρην γὰρ
χρώμασι μιμηλὴν ἀντετύπωσε χάριν.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΡΩΤΙΚΑ.

6. (V, 216.)

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης.
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένῳ.
ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν
καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ' ἐστὶν ἄριστος ἐρωτικὸς ὃς τάδε μίξει,
οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

7. (V, 218).

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
κείραντα Γλυκέρας τῆς ἀλόχου πλοκάμους,
ὁπλότερος Πολέμων μιμήσατο καὶ τὰ Ῥοδάνθης
βόστρυχα παντόλμοις χερσὶν ἐληΐσατο,
καὶ τραγικοῖς ἀχέεσσι τὸ κωμικὸν ἔργον ἀμείψας
μάστιξεν ῥαδινῆς ἅψεα θηλυτέρης.
ζηλομανὲς τὸ κόλασμα· τί γὰρ τόσον ἤλιτε κούρη,
εἴ με κατοικτείρειν ἤθελε τειρόμενον;
σχέτλιος, ἀμφοτέρους δὲ διέτμαγε, μέχρι καὶ αὐτοῦ
βλέμματος ἐνστήσας αἴθοπα βασκανίην.
ἀλλ' ἔμπης τελέθει μισούμενος· αὐτὰρ ἔγωγε
δύσκολος οὐχ ὁρόων τὴν περικειρομένην.

8. (V, 220.)

Εἰ καὶ νῦν πολιή σε κατεύνασε, καὶ τὸ θαλυκρὸν
κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης,
ὤφελες, ὦ Κλεόβουλε, πόθους νεότητος ἐπιγνούς,
νῦν καὶ ἐποικτείρειν ὁπλοτέρων ὀδύνας,

μηδ' ἐπὶ τοῖς ξυνοῖς κοτέειν μέγα, μηδὲ κομάων
τὴν ῥαδινὴν κούρην πάμπαν ἀπαγλαΐσαι.
ἀντίπατρος τῇ παιδὶ πάρος μεμέλησο ταλαίνῃ,
καὶ νῦν ἐξαπίνης ἀντίπαλος γέγονας.

9. (V, 222.)

Εἰς Ἀριάδνην κιθαριστρίδα.

Εἴ ποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἑλοῦσα
κούρη, Τερψιχόρης ἀντεμέλιξε μίτοις·
εἴ ποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνὴν,
αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο·
εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτὴ
Κύπρις ἐνικήθη κἀνεδίκαζε Πάρις.
σιγῇ ἐφ' ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας
τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

10. (V, 237.)

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι· εὖτε δ' ἐπέλθῃ
ὄρθρος ἐλινῦσαι μικρὰ χαριζόμενος,
ἀμφιπεριτρύζουσι χελιδόνες, ἐς δέ με δάκρυ
βάλλουσιν, γλυκερὸν κῶμα παρωσάμεναι.
ὄμματα δὲ σταλάοντα φυλάσσεται· ἡ δὲ Ῥοδάνθης
αὖθις ἐμοῖς στέρνοις φροντὶς ἀναστρέφεται.
ὦ φθονεραὶ παύσασθε λαλητρίδες· οὐ γὰρ ἔγωγε
τὴν Φιλομηλείην γλῶσσαν ἀπεθρισάμην.
ἀλλ' Ἴτυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
εἰς ἔποπος κραναὴν αὖλιν ἐφεζόμεναι, 1
βαιὸν ἵνα κνώσσοιμεν· ἴσως δέ τις ἥξει ὄνειρος,
ὅς με Ῥοδανθείοις πήχεσιν ἀμφιβάλοι.

11. (V, 261.)

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ' ἐθέλῃς με μεθύσσαι
πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι.

εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
εὐμαρές, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
πορθμεύει γὰρ ἔμοιγε κύλιξ παρὰ σοῦ τὸ φίλημα,
καί μοι ἀπαγγέλλει τὴν χάριν ἣν ἔλαβεν.

12. (V, 263.)

Μήποτε, λύχνε, μύκητα φέροις, μηδ' ὄμβρον ἐγείροις,
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι, καὶ γὰρ ὅθ' Ἡρὼ
ἥρμοσε Λειάνδρῳ . . . θυμέ, τὸ λοιπὸν ἔα.
Ἡφαίστου τελέθεις, καὶ πείθομαι, ὅττι χαλέπτων
Κύπριδα θωπεύεις δεσποτικὴν ὀδύνην.

13. (V, 267.)

[a] *Τί στενάχεις;* [β] *φιλέω.* [a] *τίνα;* [β] *παρθένον·* [a] *ἦ ῥά γε καλήν;*
[β] *καλὴν ἡμετέροις ὄμμασι φαινομένην.*
[a] *ποῦ δέ μιν εἰσενόησας;* [β] *ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν*
ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάδι.
[a] *ἐλπίζεις δὲ τυχεῖν;* [β] *ναὶ ναὶ φίλος· ἀμφαδίην δὲ*
οὐ ζητῶ φιλίην, ἀλλ' ὑποκλεπτομένην.
[a] *τὸν νόμιμον μᾶλλον φεύγεις γάμον;* [β] *ἀτρεκὲς ἔγνων*
ὅττι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον;
[a] *ἔγνως; οὐ φιλέεις, ἐψεύσαο· πῶς δύναται γὰρ*
ψυχὴ ἐρωμανέειν ὀρθὰ λογιζομένη;

14. (V, 269.)

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσος ἐκείμην,
τῆς μὲν ἐφιμείρων, τῇ δὲ χαριζόμενος.
εἷλκε δέ μ' ἡ φιλέουσα· πάλιν δ' ἐγώ, οἷά τέ τις φώρ,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν,
ζῆλον ὑποκλέπτων τῆς γείτονος, ἧς τὸν ἔλεγχον
καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.

ὀχθήσας δ' ἄρ' ἔειπον· ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι
ὡς τὸ φιλεῖν χαλεπόν, δισσὰ κολαζομένῳ.

15. (V, 273.)

Ἡ πάρος ἀγλαΐησι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη πλεκτὰς καὶ σοβαρευομένη,
ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
γήραϊ ῥικνώδης τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
τὴν πολιὴν καλέω Νέμεσιν Πόθου, ὅττι δικάζει
ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.

16. (V, 276.)

Σοὶ τόδε τὸ κρήδεμνον, ἐμὴ μνήστειρα, κομίζω,
χρυσεοπηνήτῳ λαμπόμενον γραφίδι.
βάλλε δὲ σοῖς πλοκάμοισιν· ἐφεσσαμένη δ' ὑπὲρ ὤμων
στήθεϊ παλλεύκῳ τήνδε δὸς ἀμπεχόνην.
ναὶ ναὶ στήθεϊ μᾶλλον, ὅπως ἐπιμάζιον εἴη
ἀμφιπεριπλέγδην ἐς σὲ κεδαννύμενον.
καὶ τόδε μὲν φορέοις ἅτε παρθένος· ἀλλὰ καὶ εὐνὴν
λεύσσοις καὶ τεκέων εὔσταχυν ἀνθοσύνην,
ὄφρα σοι ἐκτελέσαιμι καὶ ἀργυφέην ἀναδέσμην
καὶ λιθοκολλήτων πλέγματα κεκρυφάλων.

17. (V, 278.)

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
τήξουσιν κενεὴν ἐχθομένῳ κραδίην,
ἄρσενας εἰ σπεύσω φιλέειν ποτέ. μήτε τυχήσω,
μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἁλιτήματα, κεῖνα κομίσσω,
καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

18. (V, 280.)

Ἦ ῥά γε καὶ σύ, Φίλιννα, φέρεις πόνον, ἦ ῥα καὶ αὐτὴ

κάμνεις, αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος οὔτε λόγος γίγνεται οὔτ' ἀριθμός;
εὑρήσεις τάχ' ὅμοια, τεὴν δ', ἀμέγαρτε, παρειὴν
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

19. (V, 282.)

Ἡ ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν,
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες, ὄμμα δὲ θέλγειν
οὐ λάθε· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ' ἔγνων
ὅττι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

20. (V, 285.)

Εἰργομένη φιλέειν με κατὰ στόμα δῖα Ῥοδάνθη
ζώνην παρθενικὴν ἐξετάνυσσε μέσην,
καὶ κείνην φιλέεσκεν· ἐγὼ δέ τις ὡς ὀχετηγὸς
ἀρχὴν εἰς ἑτέρην εἷλκον ἔρωτος ὕδωρ,
αὐερύων τὸ φίλημα· περὶ ζωστῆρα δὲ κούρης
μάστακι ποππύζων τηλόθεν ἀντεφίλουν.
ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις· ἡ γλυκερὴ γὰρ
ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου.

21. (V, 287.)

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ·
βήσομαι ἔς ξείνην τινὰ που χθόνα· μίμνε δὲ κούρη
ἀρτίπος, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
ἡ δὲ μέγα στονάχησε καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης,
καί με μένειν ἱκέτευσεν. ἐγὼ δέ τις ὡς βραδυπειθὴς

a.C.558 Iustiniani 32 23. Αὐτίκα δὲ οἱ Ῥωμαῖοι τὰ ὅπλα τῶν δυσμε-
νῶν ἀνελόμενοι, ὁπόσα γε ἄνω ἔτι ἐφέρετο καὶ
P.169 ἐπέπλει, καὶ ἐς τὰ πρότερα χωρία κατάραντες, με-
γίστης ἡδονῆς καὶ θυμηδίας ἅπαντα ἔπλησαν τὸν
στρατὸν, γεγηθότας ἐπὶ τοῖς ξυνενεχθεῖσι. καὶ οὖν
ἀθροισθέντες ἅπαντες ἐς ταὐτὸ ἀποχρήσασθαι ᾤοντο
χρῆναι κἂν τοῖς ἐφεξῆς τῷ καιρῷ καὶ τῇ τάξει τοῦ
προτερήματος. τοιγάρτοι ὀλίγαις ὕστερον ἡμέραις
εὖ μάλα καθοπλισθέντες ἐκδρομὴν ἀθρόον ἐκ τοῦ
περιβόλου πεποίηνται, καὶ προσβάλλουσι τῷ λοιπῷ
πλήθει τῶν ἐφεδρευόντων βαρβάρων ἀνιωμένων ἔτι
ἐπὶ τῇ ξυμφορᾷ καὶ κατεπτηχότων. τότε δὴ οὖν ὁ
Γερμανὸς, ἅτε δὴ νεώτατος ὢν καὶ οὔπω ἐντελῶς
τὰς τῆς φύσεως ἐπέχειν ὁρμὰς καὶ ἐγκατείργειν
δυνάμενος, ἀλλὰ πλέον τοῦ προμηθοῦς καὶ βεβηκό-
B τος τῷ φιλοδοξοῦντι τοῦ τρόπου καὶ προθυμουμένῳ
πέρα τοῦ μετρίου ἐγκείμενος, ἀφειδῶς ἐπῄει τοῖς
V.118 πολεμίοις καὶ προυκινδύνευε, οὐ στρατηγικῶς ἐπεί-
γων καὶ διατάττων, ἀλλὰ στρατιωτικώτερον ξυμπλε-
κόμενος· τῷ τοι ἄρα καὶ πλήττεται βέλει τὸν μηρὸν,
ὡς μικροῦ δεῖν μελλῆσαι ἀπόμαχος ἔσεσθαι· πλὴν
ἀλλ' ἡ τῶν ἐφεστηκότων πραγμάτων ἀνάγκη καὶ τὸ
μέγεθος τοῦ ἐγχειρήματος ἐγκρατέστερα τῆς ὀδύνης
γεγένηται· καὶ οὐ πρότερον ἀνῆκεν αὐτός τε μοχθῶν
καὶ τοῖς ἄλλοις ἐγκελευόμενος πρὶν σφόδρα πημῆναι
τὸ δυσμενὲς καὶ πολλοὺς ὅσους διαχειρίσασθαι. τότε
μὲν οὖν διελύετο ἡ μάχη· καὶ οἱ Ῥωμαῖοι αὖθις εἴσω
C τοῦ ἐρύματος ἐπανῆλθον, γιγνώσκοντες ὡς οὐκ
ἀσφαλὲς αὐτοῖς οὐδὲ εὔβουλον κατὰ πολὺ τῷ πλή-
θει ἐλαττουμένοις εἶτα μέχρι παντὸς συστάδην δια-
γωνίζεσθαι. ἐς τοῦτο δὲ ὅμως οἱ βάρβαροι ἤλασαν
ἀπορίας ἐπί τε τῇ ἐκ τῶν ναυαγίων φορᾷ καὶ ὅτι

ἀθρόον οἱ Ῥωμαῖοι κατ' αὐτῶν προσβολὴν ἐποιήσαντο, ὡς μεθεῖναι αὐθημερὸν τὰ ἀμφὶ τὴν Χερρόνησον πεδία, καὶ πρὸς τὸν Ζαβεργάν τε καὶ τὸν ἀμφ' αὐτὸν ὅμιλον ἀφικέσθαι, ἡττημένοι πρὸς ἡττημένους. (a. C. 558 Iustiniani 32) οἱ δὲ ἀνὰ τὴν Ἑλλάδα πρότερον ἐσταλμένοι οὐδέν τι ἀξιαφήγητον ἔδρασαν, μήτε τῷ Ἰσθμῷ προσβαλόντες, μηδέ γε τὴν ἀρχὴν τὰς Θερμοπύλας (D) παραμειψάμενοι διὰ τὴν φρουρὰν τῶν ἐκεῖσε ἱδρῦσθαι τεταγμένων Ῥωμαίων. τοιγάρτοι ἀποχωρήσαντες καὶ οἵδε τῆς ἐπὶ τὴν Θρᾴκην εἴχοντο πορείας, ὡς ἐν αὐτῇ κατὰ τὸ εἰκὸς τοῖς ὁμοφύλοις προστεθησόμενοι, καὶ κοινῇ τὸ λοιπὸν ἐς τὰ σφέτερα ἐπανήξοντες. οἱ δὲ ἀμφὶ τὸν Ζαβεργὰν οὐ πρότερον ἀποστήσεσθαι ἔφασαν πρὶν ἂν χρήματα ὡς πλεῖστα παρὰ Ῥωμαίων κομίσαιντο, καθάπερ οἱ Οὐτίγουροι· τούς τε αἰχμαλώτους, εἰ μὴ θᾶττον πρίαιντο οἱ ἐπιτήδειοι, ἀποσφάττειν αὐτίκα ἠπείλουν. ὁ δὲ βασιλεὺς χρυσίον αὐτοῖς ἔστειλεν, ὁπόσον ἀποχρῆν ᾤετο ἔς τε τὰ λύτρα τῶν ξυνειλημμένων καὶ ὅπως εἰρηναῖοι τὸ λοιπὸν ἀπαλλαγεῖεν τῆς χώρας. καὶ δὴ ἄλλους τε πολλοὺς ἀπέδοντο καὶ δὴ Σέργιον τὸν Βάκχου τὸν στρατηγόν· ἑαλώκει γὰρ ὀλίγου ἔμπροσθεν καὶ αὐτὸς ἀπαισίᾳ τινὶ χρησάμενος τύχῃ, καὶ ἐν τοῖς (P. 170) αἰχμαλώτοις ἐτέλει. οὕτω τε μόλις ἐπαύοντο λεηλατοῦντες καὶ τῆς οἴκαδε εἴχοντο πορείας, ἀναλαβόντες οὐκ ἐς μακρὰν καὶ τοὺς ἐκ τῆς Ἑλλάδος ἀφικομένους.

24. Τοῖς μὲν οὖν τῆς πόλεως τῆς βασιλίδος ἀστοῖς αἱ τοιαῦται ξυνθῆκαι ἀγεννεῖς εἶναι ἐδόκουν καὶ αἰσχραὶ καὶ ἀνελεύθεροι, εἴ γε ὥσπερ οὐ φορητὸν ὑπάρχον, ὅτι δὴ πλησιαίτατα τῆς πόλεως οἱ πολέμιοι ἀφιγμένοι καὶ ἐγγελάσαντες οὐκ αὐτοὶ πανωλεθρίᾳ διεφθάρησαν, ἀλλ' ἔτι καὶ χρυσίον

a. C. 558 Iustiniani 32 ἐκομίσαντο χαριστήριον, ὥσπερ ἡμῶν ἐς αὐτοὺς πεπλημμεληκότων. ἡ δὲ τοῦ βασιλέως γνώμη ἐς B ἄλλο τι μεῖζον ἑώρα, ὅπερ οὐκ ἐς μακρὰν ἀποβὰν ἔπεισε τοὺς πρότερον νεμεσῶντας ὑπεράγασθαι αὐτὸν ὡς ἄγαν προμηθῆ καὶ ἀγχινούστατον· ἔγνω γὰρ χρῆναι μᾶλλον ἁπάσῃ μηχανῇ ξυγκρούεσθαι τὸ βάρβαρον ἐφ᾽ ἑαυτὸ καὶ ἐκπολεμοῦσθαι. ὡς ἂν δὲ τοῦτο ξυμβαίη, αὐτίκα, ἕως οἱ ἀμφὶ Ζαβεργὰν μαλθακώτερον ἐπορεύοντο, ἔστελλε γράμμα παρὰ Σάνδιλχον τὸν ἕτερον ἡγεμόνα ἔνσπονδόν τέ οἱ ὄντα καὶ μισθοφόρον. ἐδήλου δὲ τοιάδε ἄττα τὸ γράμμα· "Εἰ μὲν ἐπιστάμενος τὰ παρὰ τῶν Κοτριγούρων ἐφ᾽ ἡμᾶς μεμελετημένα εἶτα ἑκὼν ἠρεμεῖς, θαυμάσαιμι ἂν εἰκότως σοῦ μὲν τῆς ἀπιστίας, ἡμῶν δὲ αὐτῶν τοῦ C μὴ τῆς σῆς γνώμης ὀρθότατα ἐστοχάσθαι, ἀλλὰ περὶ τὴν κρίσιν διαμαρτεῖν· εἰ δὲ οὔπω μεμαθηκώς, ξυγγνωστέον μέν, ἐπιδείξεις δὲ ἂν οὐκ ἄλλως τὴν ἐπὶ τοῦ φθάσαντος ἄγνοιαν ἢ μόνῳ τῷ μὴ μετὰ ταῦτα μελλῆσαι. παραγεγόνασι γὰρ ἐνθάδε οὐ τοῦτο μέλον αὐτοῖς καὶ ἐσπουδασμένον ὅτι μὴ ὡς ὁδοῦ πάρεργον τὸ δεῖν λυμήνασθαι τὰ ἡμέτερα, ἀλλὰ διὰ τῶν ἔργων δηλώσοντες ὅτι δὴ τοὺς μείζονάς τε καὶ ἀρίστους παρέντες ἐξηπατήμεθα, τὸ ἐπὶ σοὶ πεποιθέναι προὔργου ποιούμενοι. οὐδὲ γὰρ ἀνεκτὸν εἶναι ἡγοῦνται, ἤν τις αὐτοὺς ἴσους τε καὶ ἀμφηρίστους V. 119 τοῖς Οὐτιγούροις ἀποκαλέσοι, οὐδὲ εἰ μετρίῳ τινὶ D ὑπερβάλλειν, μόλις δὲ εἴ γε σφόδρα πολλῷ. καὶ τοίνυν οὐκ ἀνῆκαν ἀνὰ τὴν Θρᾴκην ἀλώμενοι, πρὶν τὸ χρυσίον ἅπαν ὁπόσον σοι ἀν᾽ ἔτος ἕκαστον μισθοῦ χάριν δωρεῖσθαι εἰώθαμεν αὐτοὶ ἐκομίσαντο· καίτοι ῥᾴδιον ἦν ἡμῖν ἢ ἄρδην ἅπαντας ἀποκτεῖναι, ἢ τὸ γοῦν ἔλαττον ἀπράκτους σφᾶς ἀποπέμψασθαι.

ἐφήκαμεν δὲ ὅμως ἑκάτερα τῆς σῆς πειρώμενοι δόξης. a.C.55 Iusti-
εἰ μὲν γὰρ ὡς ἀληθῶς ἀνδρειότερος εἶ καὶ φρενήρης niani
καὶ οἷος μὴ ἐπιτρέπειν τοῖς τὰ σὰ σφετεριζομένοις,
οὐδὲ νῦν ἔλαττον ἕξεις. πάρεστι γάρ σοι ἐν καιρῷ
τὸ δυσμενὲς ἀμύνασθαι καὶ τῇ μάχῃ κεκρατηκότι
τοὺς οἰκείους μισθοὺς ἀπολαβεῖν, ὥσπερ δι' αὐτῶν
σοι ἀπεσταλμένους. εἰ δὲ καὶ τοιαῦτα πρὸς αὐτῶν
ὑβρισμένος ἡσυχίαν ἄγειν ἐθέλεις, δεδιώς, οἶμαι, P.17
καὶ τὴν αἰσχίστην ἑλόμενος ἀπραγμοσύνην, σὺ μέν,
ὦ γενναῖε, ἀπόμισθος ἔσῃ, ἐκείνοις δὲ τὰ παρ' ἡμῶν
δεδωρήσθω· καὶ τὸ λοιπὸν μέθες, εἰ δοκεῖ, τὸ φρόνημα καὶ τοῖς κρείττοσιν εἴκειν διδάσκου. εὖ γὰρ ἴσθι, ὦ φέριστε, ὡς καὶ τὰς ξυνθήκας μεταθετέον ἡμῖν ἐπ' αὐτούς, ἃς δὴ πρὸς σὲ καὶ τὸ σὸν ἐθέμεθα γένος. ἀνόητον γὰρ καὶ ἄλλως τοῖς ἡττωμένοις ξυναδοξεῖν, παρὸν τὸ κρατοῦν οἰκειώσασθαι."

25. Ταῦτα ὁ Σάνδιλχος διὰ τῶν ἑρμηνέων ἀναλεξάμενος εὐθὺς ἐχαλέπαινε καὶ ἐλύττα καὶ κατέχειν οὐ μάλα οἷός τε ἦν τὴν ὀργήν, ἀλλ' αὐθημερὸν ἵετο
τίσασθαι τοὺς Κοτριγούρους τῆς ἐς αὐτὸν παροινίας. B
πῶς δὲ οὐκ ἤμελλεν ῥᾳδίως τοῖσδε τοῖς ῥήμασι διαταραχθῆναι ψυχὴ βάρβαρος καὶ αὐθάδης καὶ ἀεὶ κερδῶν γλιχομένη; τοιγάρτοι κινήσας τὸν οἰκεῖον στρατὸν πρῶτα μὲν ἐμβάλλει ἀθρόον τοῖς τῶν πολεμίων χωρίοις· καταπλήξας τε τοὺς αὐτοῦ μεμενηκότας τῷ ἀπροσδοκήτῳ γύναια πολλὰ καὶ παῖδας ἠνδραποδίσατο. ἔπειτα δὲ καὶ τοῖς ἐκ Θρᾴκης ἐπανερχομένοις ἄρτι τὸν Ἴστρον ποταμὸν διαπεραιωθεῖσιν ὑπαντιάζει ἐξαπιναῖα· καὶ πολλοὺς ὅσους ἀποκτείνας τά τε χρήματα αὐτοὺς τὰ παρὰ βασιλέως καὶ ἅπασαν τὴν λείαν ἀφαιρεῖται. μόλις δὲ οἱ σεσωσμένοι ἐς τὰ σφέτερα ἤδη ἀπονοστήσαντες καὶ κατ' αὐτὸ τοῖς

a. C. 558 Iustiniani 32 ἄλλοις γενόμενοι ἐς πόλεμον τοῖς ἐναντίοις καθίσταντο· οὕτω τε ἐξ ἐκείνου ἐπὶ πλεῖστον ἑκάτεροι C διετέλουν κατ' ἀλλήλων τρεπόμενοι καὶ τὴν δυσμένειαν ἐμπεδοῦντες. νῦν μὲν γὰρ ἐφόδους καὶ λεηλασίας ἐποιήσαντο, νῦν δὲ ἐς ἐμφανῆ μάχην παρετάττοντο, ἕως ἑκατέρωθεν αἱ δυνάμεις διαρρυεῖσαι ἀνάστατοι ἄρδην γεγένηνται, ὡς καὶ αὐτὴν δήπου τὴν πάτριον ἐπωνυμίαν ἀποβεβληκέναι. ἐς τοῦτο γὰρ συμφορᾶς τάδε τὰ Οὐννικὰ ἔθνη ἐξώκειλεν ὡς εἴπερ ἄρα τι αὐτῶν καὶ μεμένηκεν μέρος, σποράδην D ἑτέροις δουλεύειν καὶ ἐς τὸ ἐκείνων ὄνομα μεταβεβλῆσθαι. οὕτω δή τι αὐτοὺς ἐνεργότατα μετῆλθον αἱ ποιναὶ τῶν προτέρων ἀσεβημάτων. ἀλλ' ἡ μὲν παντελὴς τοῖνδε τοῖν γενοῖν ἀνατροπὴ καὶ κατάλυσις χρόνῳ ὕστερον ξυνηνέχθη, καί μοι εἰρήσεται ἕκαστα προσηκόντως ἁρμοζομένῳ ὡς οἷόν τε τῇ τῶν χρόνων ὁμολογίᾳ. τῆς δὲ στάσεως ἔτι ἀκμαζούσης καὶ κατὰ τὸ Βυζάντιον ἀπαγγελλομένης, τότε δὴ ἅπασιν ἀνωμολόγητο καὶ διαδηλοτάτη ἐδείκνυτο ἡ τοῦ βασιλέως προμήθεια καὶ εὐβουλία, ὅτι δὴ τῶν βαρβάρων ὑπὸ σφῶν διαφθειρομένων αὐτὸς ὅπλα μὴ κινῶν πάντως ἐνίκα τῇ γνώμῃ ἐφ' ἑκατέρᾳ ῥοπῇ τοῦ πολέμου, καὶ ἀπέλαυε τῆς ἐλπίδος. ἐπειδὴ γὰρ ἐμόχθουν ἑκάστοτε τοῖς οἴκοι δεινοῖς ἐνησχολημένοι, οὐκέτι κατὰ Ῥωμαίων χωρεῖν διενοοῦντο, ἀλλὰ καὶ ὅποι γῆς ἐτύγχανον ὄντες τοῖς πλείστοις ἠγνόηντο.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΕΚ ΤΗΣ ΑΝΘΟΛΟΓΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΕΦΑΛΑ.

---

1. (Anth. Gr. ex editione Fr. Iacobsii IV, 3.)

Ἀγαθίου Σχολαστικοῦ Ἀσιανοῦ Μυριναίου συλλογὴ νέων ἐπιγραμμάτων ἐκτεθεῖσα ἐν Κωνσταντίνου πόλει πρὸς Θεόδωρον Δεκουρίωνα τὸν Κοσμᾶ· εἴρηται δὲ τὰ προοίμια μετὰ τὰς συνεχεῖς ἀκροάσεις τὰς κατ' ἐκεῖνο καιροῦ γενομένας.

Οἶμαι μὲν ὑμᾶς, ἄνδρες, ἐμπεπλησμένους
ἐκ τῆς τοσαύτης τῶν λόγων πανδαισίας,
ἔτι που τὰ σιτία προσκόρως ἐρυγγάνειν·
καὶ δὴ κάθησθε τῇ τρυφῇ σεσαγμένοι.
λόγων γὰρ ἡμῖν πολυτελῶν καὶ ποικίλων
πολλοὶ προθέντες παμμιγεῖς εὐωχίας
περιφρονεῖν πείθουσι τῶν εἰθισμένων.
τί δὲ νῦν ποιήσωμεν; τὰ προυξειργασμένα
οὕτως ἐάσω συντετῆχθαι κείμενα,
ἢ καὶ προθῶμαι τῆς ἀγορᾶς ἐν τῷ μέσῳ
παλιγκαπήλοις εὐτελῶς ἀπεμπολῶν;
καὶ τίς μετασχεῖν τῶν ἐμῶν ἀνέξεται;
τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου,
εἰ μὴ φέροι πως ὦτα μὴ τετρημένα;

ἀμφιθέων ἀγκῶνα, καὶ ἄξενα τέμπεα Σούσων,
Ἰνδῴης ἐπίβηθι κατ᾽ ὀργάδος· ἐν δὲ κελεύθοις
εἴποτε διψήσειας, ἀρύεο δοῦλον Ὕδασπιν·
ναὶ μὴν καὶ κυανωπόν, ὑπὲρ δύσιν ἄτρομος ἔρπ
κύρβιας Ἀλκείδαο μετέρχεο· θαρσαλέως δὲ
ἴχνιον ἀμπαύσειας ἐπὶ ψαμάθοισιν Ἰβήρων,
ὁππόθι, καλλιρέεθρον ὑπὲρ βαλβῖδα θαλάσσης,
δίζυγος ἠπείροιο συναντήσασα κεραίη
ἐλπίδας ἀνθρώποισι βατῆς εὔνησε πορείης.
ἐσχατιὴν δὲ Λίβυσσαν ἐπιστείβων Νασαμώνων
ἔρχεο καὶ παρὰ Σύρτιν, ὅπῃ νοτίῃσι θυέλλαις
ἐς κλίσιν ἀντίπρῳρον ἀνακλασθεῖσα Βορῆος,
καὶ ψαφαρὴν ἄμπωτιν ὕπερ ῥηγμῖνι ἀλίπλοις
ἀνδράσι δῖα θάλασσα πόρον χερσαῖον ἀνοίγει.
οὐδὲ γὰρ ὀθνείης σε δεδέξεται ἤθεα γαίης,
ἀλλὰ σοφοῦ κτεάνοισιν ὁμιλήσεις βασιλῆος,
ἔνθα κεν ἀΐξειας, ἐπεὶ κυκλώσατο κόσμον
κοιρανίῃ· Τάναϊς δὲ μάτην ἤπειρον ὁρίζων
ἐς Σκυθίην πλάζοιτο καὶ ἐς Μαιώτιδα λίμνην.
τοὔνεκεν, ὁππότε πάντα φίλης πέπληθε γαλήνης,
ὁππότε καὶ ξείνοιο καὶ ἐνδαπίοιο κυδοιμοῦ
ἐλπίδες ἐθραύσθησαν ὑφ᾽ ἡμετέρῳ βασιλῆϊ,
δεῦρο, μάκαρ Θεόδωρε, σοφὸν στήσαντες ἀγῶνα
παίγνια κινήσωμεν ἀοιδοπόλοιο χορείης.
σοὶ γὰρ ἐγὼ τὸν ἄεθλον ἐμόχθεον· ἐς σὲ δὲ μύθ
ἐργασίην ἤσκησα, μιῇ δ᾽ ὑπὸ σύζυγι βίβλῳ
ἐμπορίην ἤθροισα πολυξείνοιο μελίσσης,
καὶ τόσον ἐξ ἐλέγοιο πολυσπερὲς ἄνθος ἀγείρας,
στέμμα σοι εὐμύθοιο καθήρμοσα Καλλιοπείης,
ὡς φηγὸν Κρονίωνι, καὶ ὁλκάδας Ἐννοσιγαίῳ,
ὡς Ἄρεϊ ζωστῆρα, καὶ Ἀπόλλωνι φαρέτρην,
ὡς χέλυν Ἑρμάωνι, καὶ ἡμερίδας Διωνύσῳ.

[β] οὐ μὰ τόν· ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
ἐσσὶ δὲ τίς; [α] Περίκλεια· [β] γυνὴ τίνος; [α] ἀνδρὸς ἀρίστου,
ῥήτορος ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
[β] πῶς δὲ σὲ Βοσπορίη κατέχει κόνις; [α] εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
[β] παῖδα λίπες; [α] τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
[β] αἴθε καλῶς ζώοι. [α] ναὶ ναί, φίλος, εὔχεο κείνῳ,
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.

44. (VII, 567.)

Κανδαύλου τόδε σῆμα· Δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
ἦν ἄρα Κανδαύλην παθέειν κακόν· οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

45. (VII, 568.)

In Anth. Planudea p. 262. HSt. ἄδηλον.

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
ἣν μούνην Διδύμῳ πατρὶ Θάλεια τέκεν.
ἆ Μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παστοὺς
ἠγάγετ', οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;
οἱ μὲν γὰρ γονέες με γαμήλιον εἰς Ὑμέναιον
μέλλον ἄγειν· στυγεροῦ δ' εἰς Ἀχέροντος ἔβην.
ἀλλὰ θεοί, λίτομαι, μητρός γε γόους πατέρος τε
παύσατε, τηκομένων εἵνεκ' ἐμεῦ φθιμένης.

46. (VII, 569.)

Ναὶ λίτομαι, παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ,
εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην·
κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,

χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
ἀλλ' οὐκ ἐς κενεὰς εἰκόνας ἐνδιάει.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΧΡΙΣΤΙΑΝΙΚΑ.

3. (I, 34.)

Εἰς εἰκόνα τοῦ ἀρχαγγέλου ἐν Πλάτῃ.

Ἄσκοπον ἀγγελίαρχον, ἀσώματον εἴδεϊ μορφῆς,
ἆ μέγα τολμήεις, κηρὸς ἀπεπλάσατο·
ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων
θυμὸν ἀπιθύνει κρείσσονι φαντασίῃ·
οὐκέτι δ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ
τὸν τύπον ἐγγράψας ὡς παρεόντα τρέμει·
ὄμματα δ' ὀτρύνουσι βαθὺν νόον· οἶδε δὲ τέχνη
χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην.

4. (I, 35.)

Εἰς τὸν αὐτὸν ἐν τῷ Σωσθενίῳ.

Καρικὸς Αἰμιλιανός, Ἰωάννης τε σὺν αὐτῷ,
Ῥουφῖνος Φαρίης, Ἀγαθίης Ἀσίης,
τέτρατον, ἀγγελίαρχε, νόμων λυκάβαντα λαχόντες,
ἄνθεσιν εἰς σέ, μάκαρ, τὴν σφετέρην γραφίδα,
αἰτοῦντες τὸν ἔπειτα καλὸν χρόνον· ἀλλὰ φανείης
ἐλπίδας ἰθύνων ἐσσομένου βιότου.

5. (I, 36.)

Εἰς εἰκόνα Θεοδώρου Ἰλλουστρίου καὶ δὶς ἀνθυπάτου, ἣ γέγραπται παρὰ τοῦ ἀρχαγγέλου δεχόμενος τὰς ἀξίας ἐν Ἐφέσῳ.

Ἵλαθι μορφωθείς, ἀρχάγγελε· σὴ γὰρ ὀπωπὴ
ἄσκοπος· ἀλλὰ βροτῶν δῶρα πέλουσι τάδε·
ἐκ σέο γὰρ Θεόδωρος ἔχει ζωστῆρα μαγίστρου
καὶ δὶς ἀεθλεύει πρὸς θρόνον ἀνθυπάτων·

νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα κάθηται,
γαστρὶ δὲ δυσκόλπῳ νεκρὸν ἔνεστι τέκος·
τρισσὴ δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει
τὸ βρέφος ἀπρήκτοις ἐλπίσι τικτόμενον.
κούφη σοὶ τελέθει γαστήρ, τέκος, ἀντὶ κονίης·
αὕτη γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

51. (VII, 589.)

Μηδὲν ἀπαγγείλειας ἐς Ἀντιόχειαν, ὁδῖτα,
μὴ πάλιν οἰμώξῃ χεύματα Κασταλίης.
οὕνεκεν ἐξαπίνης Εὐστόργιος ἔλλιπε μοῦσαν,
θεσμῶν τ' Αὐσονίων ἐλπίδα μαψιδίην,
ἑβδόματον δέκατόν τε λαχὼν ἔτος· ἐς δὲ κονίην
ἠμείφθη κενεὴν εὔσταχυς ἡλικίη.
καὶ τὸν μὲν κατέχει χθόνιος τάφος, ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ γραφίδων χρώματα δερκόμεθα.

52. (VII, 592.)

A Brunckio inter Iuliani epigrammata editum.

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοιο θαλάσσης
κύμασιν, Ὑπατίου σῶμα καλυψαμένοις·
ἤθελε γάρ μιν ἔχειν γέρας ὕστατον, οἷα θανόντα,
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
ἔνθεν, πρηϋνόου κραδίης μέγα δεῖγμα, φαεινὸν
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

53. (VII, 593.)

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐᾳ καὶ ἀοιδᾷ,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

54. (VII, 596.)

Ἐπὶ Θεοδότῳ τῷ γαμβρῷ, ἐπ' ἔχθρᾳ τετελευτηκότι τῆς ἰδίας γαμετῆς.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτ' ἐμ' ἄκοιτις

ὀχθήσας δ' ἄρ' ἔειπον· ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι
ὡς τὸ φιλεῖν χαλεπόν, δισσὰ κολαζομένῳ.

15. (V, 273.)

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη πλεκτὰς καὶ σοβαρευομένη,
ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
γήραϊ ῥικνώδης τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
τὴν πολιὴν καλέω Νέμεσιν Πόθου, ὅττι δικάζει
ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.

16. (V, 276.)

Σοὶ τόδε τὸ κρήδεμνον, ἐμὴ μνήστειρα, κομίζω,
χρυσεοπηνήτῳ λαμπόμενον γραφίδι.
βάλλε δὲ σοῖς πλοκάμοισιν· ἐφεσσαμένη δ' ὑπὲρ ὤμ
στήθεϊ παλλεύκῳ τήνδε δὸς ἀμπεχόνην.
ναὶ ναὶ στήθεϊ μᾶλλον, ὅπως ἐπιμάζιον εἴη
ἀμφιπεριπλέγδην ἐς σὲ κεδαννύμενον.
καὶ τόδε μὲν φορέοις ἅτε παρθένος· ἀλλὰ καὶ εὐνὴ
λεύσσοις καὶ τεκέων εὔσταχυν ἀνθοσύνην,
ὄφρα σοι ἐκτελέσαιμι καὶ ἀργυφέην ἀναδέσμην
καὶ λιθοκολλήτων πλέγματα κεκρυφάλων.

17. (V, 278.)

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
τήξουσιν κενεὴν ἐχθομένῳ κραδίην,
ἄρσενας εἰ σπεύσω φιλέειν ποτέ. μήτε τυχήσω,
μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἁλιτήματα, κεῖνα κομίσσω,
καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

18. (V, 280.)

Ἡ ῥά γε καὶ σύ, Φίλιννα, φέρεις πόνον, ἦ ῥα καὶ αὐ

κάμνεις, αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος οὔτε λόγος γίγνεται οὔτ' ἀριθμός;
εὑρήσεις τάχ' ὅμοια, τεὴν δ', ἀμέγαρτε, παρειὴν
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

19. (V, 282.)

Η ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν,
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες, ὄμμα δὲ θέλγειν
οὐ λάθε· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ' ἔγνων
ὅττι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

20. (V, 285.)

Εἰργομένη φιλέειν με κατὰ στόμα δῖα Ῥοδάνθη
ζώνην παρθενικὴν ἐξετάνυσσε μέσην,
καὶ κείνην φιλέεσκεν· ἐγὼ δέ τις ὡς ὀχετηγὸς
ἀρχὴν εἰς ἑτέρην εἷλκον ἔρωτος ὕδωρ,
αὐερύων τὸ φίλημα· περὶ ζωστῆρα δὲ κούρης
μάστακι ποππύζων τηλόθεν ἀντεφίλουν.
ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις· ἡ γλυκερὴ γὰρ
ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου.

21. (V, 287.)

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ·
βήσομαι ἐς ξείνην τινὰ που χθόνα· μίμνε δὲ κούρη
ἀρτίπος, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
ἡ δὲ μέγα στονάχησε καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης,
καί με μένειν ἱκέτευσεν. ἐγὼ δέ τις ὡς βραδυπειθὴς

26. (V, 297.)

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἁταλοψύχοις ἔχραε θηλυτέραις.
τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέῳ·
παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
πλάζονται γραφίδων χρώμασι ῥεμβόμενοι.
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

27. (V, 299.)

"Μηδὲν ἄγαν" σοφὸς εἶπεν· ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλός, ἠέρθην ταῖς μεγαλοφροσύναις,
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης, τῆς τάχα κερδαλέης.
ἡ δ' ὑπερηέρθη, σοβαρὴν θ' ὑπερέσχεθεν ὀφρύν,
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.
καὶ νῦν ὁ βλοσυρωπός, ὁ χάλκεος, ὁ βραδυπειθής,
ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης·
πάντα δ' ἔναλλα γένοντο· πεσὼν δ' ἐπὶ γούνασι κούρης
ἴαχον· "ἱλήκοις, ἤλιτεν ἡ νεότης."

28. (V, 302.)

Ποίην τις πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς
μαχλάδος οἰμώξεις χρυσομανεῖ σπατάλῃ.
εἰ δ' ἐπὶ παρθενικῆς πελάσοις λέχος, ἐς γάμον ἥξεις
ἔννομον ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.
κουριδίαις δὲ γυναιξὶν ἀτερπέα κύπριν ἐγείρειν
τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
μοίχια λέκτρα κάκιστα καὶ ἔκτοθέν εἰσιν ἐρώτων·
ὧν μέτα παιδομανὴς κείσθω ἀλιτροσύνη.
χήρη δ', ἡ μὲν ἄκοσμος ἔχει πάνδημον ἐραστήν,

καὶ πάντα φρονέει δήνεα μαχλοσύνης·
ἡ δὲ σαοφρονέουσα μόλις φιλότητι μιγεῖσα
δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
καὶ στυγέει τὸ τελεσθέν· ἔχουσα δὲ λείψανον αἰδοῦς,
ἂψ ἐπὶ λυσιγάμους χάζεται ἀμβολίας.
ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς
δοῦλος ἐναλλάγδην δμωΐδι γιγνόμενος·
εἰ δὲ καὶ ὀθνείῃ, τότε σοι νόμος αἶσχος ἀνάψει,
ὕβριν ἀνιχνεύων δώματος ἀλλοτρίου.
πάντ' ἄρα Διογένης ἔφυγεν τάδε, τὸν δ' Ὑμέναιον
ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΝΑΘΗΜΑΤΙΚΑ.

29. (VI, 32.)

Δικραίρῳ δικέρωτα, δασυκνάμῳ δασυχαίταν,
ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ,
Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς
κνακὸν ὑπηνήτᾳ τόνδ' ἀνέθηκε τράγον.

30. (VI, 41.)

Χαλκὸν ἀροτρητήν, κλασιβώλακα, νειοτομῆα,
καὶ τὴν ταυροδέτιν βύρσαν ὑπαυχενίην,
καὶ βούπληκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,
τμήξας εὐαρότου ῥάχιν ὀργάδος· εἰ δ' ἐπινεύσεις 5
τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

31. (VI, 59.)

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
εὗρετο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος Ἠριγενείης
  ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων.
σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε· τἄλλα δὲ πάντα
  ἥρπασα, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν.
νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
  μὴ τὸ τεὸν κείνη λείψανον ἐξερύσῃ.

40. (VII, 205.)

Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικα φαγοῦσα
  ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις;
οὔ σε, φίλη πέρδιξ, φθιμένην ἀγέραστον ἐάσω,
  ἀλλ' ἐπὶ σοὶ κτενέω τὴν σέθεν ἀντιβίην.
ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω
  ὅσσ' ἐπ' Ἀχιλλῆος Πύρρος ἔτευξε τάφῳ.

41. (VII, 220.)

Ἕρπων εἰς Ἐφύρην τάφον ἔδρακον ἀμφὶ κέλευθον
  Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
δάκρυ δ' ἐπισπείσας, "χαίροις γύναι· ἐκ γὰρ ἀκουῆς
  οἰκτείρω σε" ἔφην "ἣν πάρος οὐκ ἰδόμην.
ἆ πόσον ἠϊθέων νόον ἤκαχες· ἀλλ' ἴδε Λήθην
  ναίεις, ἀγλαΐην ἐν χθονὶ κατθεμένη."

42. (VII, 551.)

Λητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε
  ξυνὴν μὲν βιότου ξυζυγίην ἐχέτην,
ξυνὰ δὲ καὶ Μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
  Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.
οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
  ἀλλὰ συνετρεχέτην καὶ παρὰ Φερσεφόνην.
χαίρετον, ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων
  ὤφελεν ἱδρῦσθαι βωμὸς Ὁμοφροσύνης.

43. (VII, 552.)

α Ὦ ξένε, τί κλαίεις; β διὰ σὸν μόρον. α οἶσθα τίς εἰμι;

[β] οὐ μὰ τόν· ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
ἐσσὶ δὲ τίς; [α] Περίκλεια· [β] γυνὴ τίνος; [α] ἀνδρὸς ἀρίστου,
ῥήτορος ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
[β] πῶς δὲ σὲ Βοσπορίη κατέχει κόνις; [α] εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
[β] παῖδα λίπες; [α] τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.
[β] αἴθε καλῶς ζώοι. [α] ναὶ ναί, φίλος, εὔχεο κείνῳ,
ὄφρα μοι ἡβήσας δάκρυ φίλον σταλάοι.

44. (VII, 567.)

Κανδαύλου τόδε σῆμα· Δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
ἦν ἄρα Κανδαύλην παθέειν κακόν· οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

45. (VII, 568.)

In Anth. Planudea p. 262. HSt. ἄδηλον.

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
ἣν μούνην Διδύμῳ πατρὶ Θάλεια τέκεν.
ἆ Μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ παστοὺς
ἠγάγετ', οὐδ' ἐρατῆς ἔργα τεκνοσπορίης;
οἱ μὲν γὰρ γονέες με γαμήλιον εἰς Ὑμέναιον
μέλλον ἄγειν· στυγεροῦ δ' εἰς Ἀχέροντος ἔβην.
ἀλλὰ θεοί, λίτομαι, μητρός γε γόους πατέρος τε
παύσατε, τηκομένων εἵνεκ' ἐμεῦ φθιμένης.

46. (VII, 569.)

Ναὶ λίτομαι, παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ,
εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην·
κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,

ἔστυγεν, οὔτ' αὐτὸς Θεύδοτος Εὐγενίης
ἐχθρὸς ἑκὼν γενόμην, ἀλλὰ φθόνος ἠέ τις ἄτη
ἡμέας ἐς τόσσην ἤγαγεν ἀμπλακίην.
νῦν δ' ἐπὶ Μινώην καθαρὴν κρηπῖδα μολόντες
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

55. (VII, 602.)

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον· ἀλλά σε κηρὸν
δέρκομαι, οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι· τεὴ δ' εὐάνθεμος ἥβη,
αἲ αἴ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ,
τετράκις ἓξ μούνους ἔδρακες ἠελίους.
οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
ὄλβος· πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
τὴν ἄδικον Μοῖραν καταμέμφεται, οὕνεκα τοίην,
ἃ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην.

56. (VII, 612.)

Φεῦ φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν
Ῥώμης καὶ Φαρίης, ἧδε κέκευθε κόνις.
ὤλετο φορμίγγων τερετίσματα, λῆξαν ἀοιδαί,
ὥσπερ Ἰωάννῃ πάντα συνολλύμενα.
καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι,
τύμβον Ἰωάννης ἀνθ' Ἑλικῶνος ἔχειν.

57. (VII, 614.)

Ἑλλανὶς τριμάκαιρα καὶ ἁ χαρίεσσα Λάμαξις
ἤστην μὲν πάτρας φέγγεα Λεσβιάδος.
ὄκκα δ' Ἀθηναίῃσι σὺν ὁλκάσιν ἐνθάδε κέλσας
τὰν Μυτιληναίαν γᾶν ἀλάπαξε Πάχης,
τᾶν κουρᾶν ἀδίκως ἠράσσατο, τὼς δὲ συνεύνως
ἔκτανεν, ὡς τήνας τῇδε βιησόμενος.
ταὶ δὲ κατ' Αἰγαίοιο ῥόου πλατὺ λαῖτμα φερέσθην,

καὶ ποτὶ τὰν κραναὰν Μοψοπίαν δραμέτην·
δάμῳ δ' ἀγγελέτην ἀλιτήμονος ἔργα Πάχητος,
μέσφα μιν εἰς ὀλοὴν κῆρα συνηλασάτην.
τοῖα μέν, ὦ κούρα, πεπονήκατον· ἂψ δ' ἐπὶ πάτραν
ἥκετον, ἐν δ' αὐτᾷ κεῖσθον ἀποφθιμένᾳ·
εὖ δὲ πόνων ἀπόνασθον, ἐπεὶ ποτὶ σᾶμα συνεύνων
εὕδετον, ἐς κλεινᾶς μνᾶμα σαοφροσύνας·
ὑμνεῦσιν δ' ἔτι πάντες ὁμόφρονας ἡρωΐνας,
πάτρας καὶ ποσίων πήματα τισαμένας.

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΠΙΔΕΙΚΤΙΚΑ.

58. (IX, 152.)

Ἅδε ποθ' ἁ κλεινὰ Πριάμου πόλις, ἃν ἀλαπάξαι
Ἑλλάνων δεκέτης οὐκ ἐτάλασσεν ἄρης
ἀμφαδόν, ἀλλ' ἵπποιο κακὸν ξύλον. αἴθε δ' Ἐπειὸς
κάτθανε, πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἄν, Ἀτρειδᾶν ὀροφηφάγον ἁψαμένων πῦρ,
οὕτω ἐφ' ἁμετέροις λάεσιν ἠριπόμαν.

59. (IX, 153.)

Ὦ πόλι, πῇ σέο κεῖνα τὰ τείχεα; πῇ πολύολβοι
νηοί; πῇ δὲ βοῶν κράατα τεμνομένων;
πῇ Παφίης ἀλάβαστρα καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῇ δὲ Τριτογενοῦς δείκελον ἐνδαπίης;
πάντα μόθος χρονίη τε χύσις καὶ Μοῖρα κραταιὴ
ἥρπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην·
καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ' ἄρα μοῦνον
οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

60. (IX, 155.)

Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς·
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτα τέλεσσε Τύχη.

εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεε· Δαρδανικοῖς γὰρ
σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις.
εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ ναετῆρας
ζηλήμων δηΐων ἐξεκένωσεν ἄρης,
εἰμὶ πάλιν βασίλεια· σὺ δ', ὦ τέκος, ἄτρομε Ῥώμη,
βάλλε καθ' Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

61. (IX, 154.)

Ἰλήκοις, πολιοῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ,
ὡς θέμις, ἡ τλήμων Ἴλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἑλώριον· ἀντὶ δὲ μήλου
πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.
ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον· εἰ γὰρ ἄθεσμος
ἔπλετο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.

62. (IX, 204.)

Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας, ὁδῖτα,
πέτρον, ἀκοντιστὴν στήθεος Ἑκτορέου.
εἰμὶ μέλας τρηχύς τε· σὺ δ' εἴρεο θεῖον Ὅμηρον,
πῶς τὸν Πριαμίδην ἐξεκύλισα πέδῳ,
νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης
ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης·
ἀλλά μέ τις κρύψειεν ὑπὸ χθονός· αἰδέομαι γὰρ
παίγνιον οὐτιδανοῖς ἀνδράσι γιγνόμενος.

63. (IX, 442.)

Γριπεύς τις μογέεσκεν ἐπ' ἰχθύσι· τὸν δ' ἐσιδοῦσα
εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ,
καί μιν θῆκε σύνευνον. ὁ δ' ἐκ βιότοιο πενιχροῦ
δέξατο παντοίης ὄγκον ἀγηνορίης.
ἡ δὲ Τύχη γελόωσα παρίστατο, καὶ ποτὶ Κύπριν,
"οὐ τεὸς οὗτος ἀγών, ἀλλ' ἐμός ἐστιν" ἔφη.

64. (IX, 482.)

Εἰς τὰ Λυτὰ Ζήνωνος τοῦ βασιλέως.

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέξαμεν ἔργον,

οὔτινος ἐς μνήμην δηρὸν ἐπερχόμεθα·
οἱ δ' ἀγαθοί, κῆν μηδέν, ἀναπνεύσωσι δὲ μοῦνον,
ὡς Λίβυς εἶπεν ἀνήρ, τοῦτ' ἀδάμαντι μένει.
δήποτε γὰρ Ζήνωνα πολισσοῦχον βασιλῆα
παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
τοίη ποικιλότευκτος ἕλεν θέσις, εὖτ' ἀπὸ λευκοῦ,
τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου.
ἑπτὰ μὲν ἕκτος ἔχεν, μίαν εἴνατος· αὐτὰρ ὁ σοῦμμος
διссὰς ἀμφιέπων ἶσος ἔην δεκάτῳ·
ὅς τε πέλει μετὰ σοῦμμον ἔχεν δύο, μουνάδα δ' ἄλλην
ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.
ἀλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ,
καὶ τόσσας ἑτέρας ἐς θέσιν ἑνδεκάτην.
ἀμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλαι,
καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία·
δίζυγες Ἀντίγονου διεκόσμεον· ἀλλὰ καὶ αὐτῷ
ἶσος ἔμιμνε τύπος πεντεπικαιδεκάτῳ,
ὀκτωκαιδεκάτῳ πανομοίϊος· εἰσέτι δ' ἄλλας
εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήια πεσσοῦ,
καὶ τὴν ἐσσομένην οὐ νοέων παγίδα,
τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀπ' ἠθμοῦ
πύργου δουρατέου κλίμακι κευθομένῃ,
δοιὰ καὶ ἓξ καὶ πέντε κατήγαγεν· αὐτίκα δ' ὀκτὼ
ἄζυγας εἶχεν ὅλας πρόσθε μεριζομένας.
τάβλην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος αὐτὸς
κείνης τὰς ἀλόγους οὐχ ὑπάλυξε τύχας.

65. (IX, 619.)

Εἰς λουτρὸν ἐν Βυζαντίῳ ἔχον Ἀφροδίτην λουομένην.

Νῦν ἔγνων, Κυθέρεια, πόθεν νίκησας ἀγῶνα,
τὴν πρὶν Ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.
ἐνθάδε γὰρ τέγγουσα τεὸν δέμας εὗρες ἐλέγξαι

Ἥρην Ἰναχίοις χεύμασι λουσαμένην.
νίκησεν. τὸ λοετρόν· ἔοικε δὲ τοῦτο βοώσῃ
Παλλάς· "ἐνικήθην ὕδασιν, οὐ Παφίῃ."

66. (IX, 631.)

Εἰς τὰ θερμὰ τὰ Ἀγαμεμνόνια ἐν Σμύρνῃ.

Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντες
τῆς Ποδαλειρείης ἐξελάθοντο τέχνης.
ἕλκεα γὰρ μετὰ δῆριν ἐμοῖς ἀκέσαντο ῥεέθροις,
βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
ἔνθεν ἀεξήθην ὀροφηφόρος· ἀντὶ δὲ τιμῆς
τὴν Ἀγαμεμνονέην εὗρον ἐπωνυμίην.

67. (IX, 641.)

Εἰς γέφυραν τοῦ Σαγγαρίου.

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα, καὶ μετὰ Μήδων
ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε, κρατερῇσι ῥοὰς ἄψισι πεδηθείς,
αὐτὸς ἐδουλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρής,
κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

68. (IX, 632.)

Εἰς σωτήρια ἐν Μυρίνῃ ἐν προαστείῳ.

Πᾶν τὸ βροτῶν σπατάλημα καὶ ἡ πολύολβος ἐδωδὴ
ἐνθάδε κρινομένη τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
τρίψιες, ἥ τε τόση βρωματομιξαπάτη,
γίγνεται ἐνθάδε κόπρος· ἀποσσεύει δ' ἄρα γαστὴρ
ὁππόσα πειναλέῃ δέξατο λαυκανίῃ.
ὀψὲ δὲ γιγνώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων
χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

69. (IX, 643.)

Εἰς τὸ αὐτό.

Τί στενάχεις κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ

οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;
ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
ἐκθλῖψαι δοκέων μάστακος ἐργασίην;
μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
μὴ τοῦ ἀναγκαίου πουλὺ παρεξετάθης,
ἀλλ' ἐπὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος·
ἐνθάδε δ' ἀσχάλλεις· μούνη δ' ἀλιτήματα λαιμοῦ
ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

70. (IX, 644.)

Εἰς τὸ αὐτό.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε· σοὶ βίος αἰεὶ
μίμνειν καὶ σκαπάνης ἄλγεα καὶ πενίης·
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην.
ἔμπης ἀρτίπος ἐσσί, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς
αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην.
οὐδὲ καταψήχεις ἱερὴν ῥάχιν, οὐδέ τι μηροὺς
τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες οἱ πλουτοῦντες ἴδ' οἱ κείνοισι συνόντες,
οἷς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

71. (IX, 653.)

Εἰς οἶκον κείμενον ἐν ὕψει ἐν Βυζαντίῳ.

"Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν"
ἔννεπεν Ἀσκραῖος, δῶμα τόδε προλέγων,
κλίμακα γὰρ ταναὴν περόων κεκαφηότι ταρσῷ
ἱδρῶτι πλαδαρὴν ἀμφεδίηνα κόμην·
ὑψόθι δ' εἰσενόησα θαλασσαίην περιωπήν.
ναὶ τάχα τῆς Ἀρετῆς πιστότατος θάλαμος.

72. (IX, 662.)

Χῶρος ἐγὼ τὸ πρὶν μὲν ἔην στυγερωπὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος·
ἐνθάδε δὲ ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
νηδὺς ἐπεγδούπει λύματα χευομένη.
ἀλλὰ πατήρ με πόληος ἐναλλάξας Ἀγαθίας,
θῆκεν ἀρίζηλον τὸν πρὶν ἀτιμότατον.

73. (IX, 665.)

Εἶξον ἐμοὶ Δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
κείμενον, ἀγραύλου κάλλος ἐρημοσύνης.
ἐνθάδε γὰρ Νύμφαι δενδρίτιδες, αἵ τ' ἐνὶ πόντῳ
Νηρεΐδες ξυνὴν θέντο συνηλυσίην.
ἀμφ' ἐμὲ γὰρ μάρναντο· δίκασσε δὲ Κυανοχαίτης,
καί με παρ' ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

74. (IX, 677.)

Τεῦξέ με πολλὰ καμὼν Μουσώνιος, οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης οὐκ ἀπέειπεν ἀφεγγέα δώματα Μοίρης,
ἀλλά με καλλείψας ἐν χθονὶ ναιετάει.
καί ῥ' ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

75. (IX, 766.)

Anth. Plan. p. 377. HSt. *ἄδηλον.*

Εἰς κωνωπεῶνα.

Πλέγμασι μὲν σκοπός ἐστι περισφίγξαι πετεηνῶν
ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους·
αὐτὰρ ἐγὼ σεύειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
οὐδέ μέ τις λήσειε, καὶ εἰ βραχὺς ἔπλετο, κώνωψ
ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
ὄρνεά που σώζω· μερόπεσσι δὲ λέκτρα φυλάσσω.
ἦ ῥά τις ἡμείων ἐστὶ δικαιότερος;

76. (IX, 767.)

Anth. Plan. p. 377. HSt. ἄδηλον; a Brunckio Paulo Silentiario tributum.

Εἰς τάβλαν.

Ἑζόμενος μὲν τῇδε παρ' εὐλάϊγγι τραπέζῃ
  παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
μήτε δὲ νικήσας μεγαλίζεο μήτ' ἀπολειφθεὶς
  ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός·
  καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

77. (IX, 768.)

Pauli Silentiarii apud Brunckium.

Εἰς τὸ αὐτό.

Παίγνιὰ μὲν τάδε πάντα· Τύχης δ' ἑτερότροπος ὁρμὴ
  ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
  νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
αἰνέομεν δὴ κεῖνον, ὃς ἐν βιότῳ τε κύβῳ τε
  χάρματι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

78. (IX, 769.)

Pauli Silentiarii apud Brunckium.

Εἰς τὸ αὐτό.

Τοῖς μὲν πρηϋνόοις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις
  λύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος.
ἀλλὰ σὺ μὴ λέξῃς τι θεημάχον ὕστατος ἕρπων,
  μηδ' ἀναροιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
  ἐν σπουδῇ, καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

ἤτεε δ' ἐξερέειν εἴπερ θέρος αἴσιον αὐτῷ,
ἔσται καὶ σταχύων ἄφθονος εὐπορίη.
ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων
δάκτυλά τε γνάμπτων, φθέγξατο Καλλιγένει·
"εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον, ὅσσον ἀπόχρη,
μηδέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,
μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,
μηδὲ νεβροὶ κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,
ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις
τοὺς στάχυας· μούνας δείδιθι τὰς ἀκρίδας."

90. (XI, 372.)
Lucillii in Anth. Plan. p. 158.

Σῶμα φέρων σκιοειδές, ἀδερκέϊ σύμπνοον αὔρῃ,
μή ποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι,
μή τις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσσῃ,
ἄσθματος ἠερίου πολλὸν ἀφαυρότερον.
οὐ σὺ μόρον τρομέεις· τότε γὰρ πάλιν οὐδὲν ἀμείψας
ἔσσεαι ὡσαύτως φάσμα, τάπερ τελέθεις.

91. (XI, 376.)
Ammiani in Anth. Plan. p. 171.

Ῥήτορα πρὸς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθὼν
εἴρετό μιν τοίης ἀμφὶ δικασπολίης·
"ἡμετέρη θεράπαινα φύγεν ποτέ· τὴν δέ τις εὑρών,
ἀλλοτρίην τ' εἶναι λάτριν ἐπιστάμενος,
ζεῦξεν ἑῷ θεράποντι· τέκεν δ' ὑπὸ παῖδας ἐκείνῳ·
καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;"
ὃς δ' ὅτε μερμήριξε καὶ ἔδρακε βίβλον ἑκάστην,
εἶπεν ἐπιστρέψας γυρὸν ἐπισκύνιον·
"ἢ σοὶ ἢ τῷ ἑλόντι τεὴν θεράπαιναν ἀνάγκη

δουλεύειν κείνους, ὧν χάριν ἐξερέεις·
ἵζεο δ' εὐμενέοντα δικασπόλον, αἶψα δ' ἀποίσεις
ψῆφον ἀρειοτέρην, εἴ γε δίκαια λέγεις."

92. (XI, 379.)

Οὔ τις ἀλοιητῆρας ἰδεῖν τέτληκεν ὀδόντας
ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ·
εἰ γὰρ ἀεὶ βούβρωστιν ἔχεις Ἐρυσίχθονος αὐτοῦ,
καὶ τάχα δαρδάψεις καὶ φίλον ὃν καλέεις.
ἀλλ' οὐ σεῖο μέλαθρά με δέξεται· οὐ γὰρ ἔγωγε
βήσομαι ὑμετέρῃ γαστρὶ φυλαξόμενος.
εἰ δέ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μέγ' ἄνυσσεν
Λαρτιάδης Σκύλλης χάσμασιν ἀντιάσας·
ἀλλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἰ σὲ περήσω,
Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

93. (XI, 382.)

Κεῖτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
καὶ περὶ λαυκανίην βραγχὰ λαρυγγιόων,
νυσσόμενός τε τὸ πλευρὸν ἅτε ξιφέεσσιν ἀμυχθέν,
καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευστιόων·
ἦλθε δὲ Καλλίγνωτος ὁ Κώϊος, ὃ πλατυλέσχης,
τῆς παιωνιάδος πληθόμενος σοφίης,
πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, οὔ τι περισσὸν
ἄλλο προαγγέλλων ἢ τὸ γενησόμενον.
Ἀλκιμένους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως.
καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
πάντ' ἀναπεμπάζων, οὐχ ἑκὰς Ἱπποκράτους.
καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνεφώνει
σεμνοπροσωπήσας καὶ σοβαρευσάμενος.
εἴ γε φάρυγξ βομβεῦσα καὶ ἄγρια τύμματα πλευροῦ
καὶ πυρετῷ λήξῃ πνεῦμα δασυνόμενον,

Πλούταρχε, κρατερῶν υἱέες Αὐσονίων·
ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
οὐδὲ σύ γ' ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

101. (332.)

Εἰς εἰκόνα Αἰσώπου.

Εὖ γε ποιῶν, Λύσιππε γέρων, Σικυώνιε πλάστα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου
ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθώ, φθέγμασι τοῖς σφετέροις·
ὃς δὲ σοφοῖς μύθοις καὶ πλάσμασι καίρια λέξας,
παίζων ἐν σπουδῇ, πείθει ἐχεφρονέειν.
φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις· ἡ Σαμίου δὲ
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

EPIGRAMMATA

QUAE IN PLANUDEA AGATHIAE, IN ANTHOLOGIA CONSTANTINI CEPHALAE

ALIIS SCRIPTORIBUS TRIBUUNTUR.

102. (V, 241.)

Παύλου Σιλεντιαρίου.

Σώζεο σοὶ μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.
σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα.
ἤματι γὰρ σέο φέγγος ὁμοίϊον· ἀλλὰ τὸ μέν που
ἄφθογγον· σὺ δέ μοι καὶ τὸ λάλημα φέρεις
κεῖνο, τὸ Σειρήνων γλυκερώτερον, ᾧ ἔπι πᾶσαι
εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

103. (VI, 87.)

Ἄδηλον.

Ανθετό σοι κορύνην καὶ νεβρίδας ἡμέτερος Πάν,
Εὔϊε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
Ηχὼ γὰρ φιλέει, καὶ πλάζεται· ἀλλὰ σύ, Βάκχε,
ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τέχνην.

104. (VII, 323.)

Ἀδέσποτον.

Εἷς δύ' ἀδελφειοὺς ἐπέχει τάφος· ἓν γὰρ ἐπέσχον
ἦμαρ καὶ γενεῆς οἱ δύο καὶ θανάτου.

105. (XI, 402.)

Λουκιανοῦ.

Μηδείς μοι ταύτην, Ἐρασίστρατε, τὴν σπατάλην σου,
ποιήσειε θεῶν, ἣ σὺ κατασπαταλᾷς,
ἔσθων ἐκτραπέλως στομάχων κακά, χείρονα λιμοῦ,
οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τεκνία.
πεινάσαιμι γὰρ αὖθις ἔτι πλέον ἢ πρὶν ἐκείνων,
ἢ χορτασθείην τῆς παρὰ σοὶ σπατάλης.

106. (XI, 377.)

Παλλαδᾶ.

Ὄρνεον ἠσθίομεν κεκλημένοι ἄθλιον ἄνδρες,
ἄλλων ὀρνίθων βρώματα γιγνόμενοι.
καὶ τὸν μὲν Τιτυὸν κατὰ γῆς δύο γῦπες ἔδουσιν,
ἡμᾶς δὲ ζῶντας τέσσαρες αἰγυπιοί.

107. (XI, 357.)

Τοῦ αὐτοῦ.

Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,
τίς πλέον ἐκδαπανῶν κλῆρον ἅπαντα φάγῃ.

καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσαν
ὕστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

108. (XI, 401.)

Λουκιανοῦ.

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ "Μῆνιν ἄειδε" καὶ "ἄλγεα μυρί' ἔθηκεν"
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ' ἀκόλουθον ἔπος,
"πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν,"
οὐκέτι μιν πέμπει πρός με μαθησόμενον,
ἀλλά μ' ἰδὼν ὁ πατήρ, "σοὶ μὲν χάρις" εἶπεν "ἑταῖρε·
αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι."

INDEX IN MENANDRUM*).

(*Numeri paginarum sunt editionis Lipsiensis*).

---

*) Ex editione Bonnensi excerptus.

INDEX SCRIPTORUM

QUI IN AGATHIAE HISTORIIS CITANTUR.

---

umerus prior paginam, alter versum ed. Bonn. indicat.

INDEX RERUM ET NOMINUM

IN AGATHIAE HISTORIIS MEMORABILIUM.*)

*) Ex editione Bonnensi, cuius paginarum in hoc u praecedente indice servati numeri in summis paginis tionis Lipsiensis sunt indicati.



BIBLIOTHECA GRAECA

CURANTIBUS

FR. JACOBS ET VAL. CH. FR. ROST.

	Thlr	Ngr
Aeschinis oratio in Ctesiphontem, notis instr. I. H. Bremi. 8. mai. 1826	—	7½
Aeschyli Agamemno, illustr. R. H. Klausen. Ed. II. ed. R. Enger. 8. mai. 1863	1	7½
—— Choephorae, illustr. R. H. Klausen. 8. mai. 1835	—	22½
Anacreontis carmina, **Sapphus** et **Erinnae** fragmenta, annotatt. illustr. E. A. Moebius. 8. mai. 1826	—	6
Aristophanis Nubes. Ed. illustr. praef. est W. S. Teuffel. Ed. II. 8. mai. 1863	—	12
Delectus epigrammatum Graecorum, novo ordine conc. et comment. instr. Fr. Jacobs. 8. mai. 1826	—	18
Demosthenis conciones, rec. et explic. H. Sauppe. Sect. I. (cont. Philipp. I. et Olynthiacae I—III.) Ed. II. 8. mai. 1845	—	10
Euripidis tragoediae, ed. Pflugk et Klotz. Vol. I, II et III. Sect. I—III.	4	27
Einzeln: Medea. Ed. II. 15 Ngr — Hecuba. Ed. II. 12 Ngr Andromacha. Ed. II. 12 Ngr Heraclidae. Ed. II. 12 Ngr Helena. Ed. II. 12 Ngr — Alcestis. Ed. II. 12 Ngr Hercules furens. 18 Ngr — Phoenissae. 18 Ngr — Orestes. 12 Ngr — Iphigenia Taurica 12 Ngr — Iphigenia quae est Aulide. 12 Ngr		
Hesiodi carmina, recens. et illustr. C. Goettling. Ed. II. 8. mai. 1843	1	—
Einzeln: Theogonia. 7½ Ngr — Scutum Herculis. 5 Ngr — Opera et dies. 10 Ngr — Homeri certamen, fragmenta et vita Hesiodi. 15 Ngr		
Homeri Ilias, varietat. lect. adi. Spitzner. Sect. I—IV. 8. mai. 1832—36	1	15
Einzeln: Sect. I. lib. 1—6. 9 Ngr — Sect. II. lib. 7—12. 9 Ngr Sect. III. lib. 13—18. 13½ Ngr — Sect. IV. lib. 19—24. 13½ Ngr. Die einzige Ausgabe der Ilias, welche den kritischen Apparat vollständig enthält.		
Lysiae et **Aeschinis** orationes selectae, ed. I. H. Bremi. 8. mai. 1826	—	15
Lysiae orationes selectae, ed. I. H. Bremi. 8. mai. 1826	—	9
Pindari carmina cum deperditarum fragm., variet. lect. adi. et comment. illustr. L. Dissen. Ed. II. cur. G. Schneidewin. Vol. I. 1843.	1	9
—— Vol. II. Sect. I. II. (Comment. in Olymp. et Pyth.) 1846. 47. (à 15 Ngr.)	1	—
Platonis opera omnia, recensuit, prolegomenis et commentariis instruxit G. Stallbaum. X Voll. (21 Sectiones). 8. mai. 1836—65., compl.	21	15

Platonis opera omnia. Einzeln: ℛ
Apologia Socratis et Crito. Ed. IV. 1858. 24 ngℓ — Phaedo. Ed. IV. 1866. 27 ngℓ — Symposium … Ed. III. 1852. 22½ ngℓ — Gorgias. Ed. III. 1861. 24 ngℓ — Protagoras. Ed. III. c. ind. 1865. 18 ngℓ — Politia sive de republica libri decem. 2 Voll. Ed. II. 2 ℛ 15 ngℓ Einzeln: Vol. I. Lib. I—V. 1858. 1 ℛ 12 ngℓ, Vol. II. Lib. VI—X. 1859. 1 ℛ 3 ngℓ — Phaedrus. Ed. II. 1857. 24 ngℓ — Menexenus, Lysis, Hippias uterque, Io. Ed. II. 1857. 27 ngℓ — Laches, Charmides, Alcibiades I. II. Ed. II. 1857. 27 ngℓ — Cratylus cum ind. 1835. 27 ngℓ — Euthydemus. 1836. 21 ngℓ — Meno et Euthyphro itemque incerti scriptoris Theages, Erastae et Hipparchus. 1836. 1 ℛ 12 ngℓ — Timaeus et Critias. 1838. 1 ℛ 24 ngℓ — Theaetetus. 18[illegible] 1 ℛ — Sophista. 1840. 27 ngℓ — Politicus et incerti auctoris Minos. 1841. 27 ngℓ — Philebus. 1842. 27 ngℓ — Leges. Vol. I. Lib. I—IV. 1858. 1 ℛ 6 ngℓ, Vol. II. Lib. V—VIII. 1859. 1 ℛ 6 ngℓ, Vol. III. Lib. IX—XII. — Epinomis. 1860. 1 ℛ 6 ngℓ

Sophoclis tragoediae, rec. et explan. E. Wunderus. [illegible] Voll. 8. mai. 1847—57 3
Einzeln:
Philoctetes. Ed. III. 12 ngℓ — Oedipus tyrannus. Ed. IV. 12 ngℓ — Oedipus Coloneus. Ed. III. 18 ngℓ — Antigona. Ed. IV. 12 ngℓ — Electra. Ed. III. 12 ngℓ — Aiax. Ed. III. 12 ngℓ — Trachiniae. Ed. II. 12 ngℓ

Thucydidis de bello Peloponesiaco libri VIII, explan. E. F. Poppo. 4 Voll. 8. mai. 1856—1866 4
Einzeln:
Lib. I. Ed. II. 1 ℛ — Lib. II. Ed. II. 22½ ngℓ — Lib. III. 18 ngℓ — Lib. IV. 15 ngℓ — Lib. V. 15 ngℓ — Lib. VI. 18 ngℓ — Lib. VII. 15 ngℓ — Lib. VIII. 15 ngℓ — Indices et de historia Thucydidea commentatio. 20 ngℓ

Xenophontis Cyropaedia, comment. instr. F. A. Bornemann. 8. mai. 1838 . . . . —
—— Memorabilia (Commentarii), illustr. R. Kühner. 8. mai. 1858. Ed. II. . . . . —
—— Anabasis (expeditio Cyri min.), illustr. R. Kühner. 1852. 1
Einzeln à 18 Ngr.:
Sect. I. Lib. I—IV. Sect. II. Lib. V—VIII.
—— Oeconomicus, rec. et explan. L. Breitenbach. 8. mai. 1841. . . . . —
—— Agesilaus ex ead. recens. 8. mai. 1843 . . . . —
—— Hiero ex ead. rec. 8. mai. 1844. . . . . —
—— Hellenica, Sect. I. (lib. I. II.), ex ead. rec. 8. mai. 1853. —
—— —— Sect. II. (lib. III—VII.) ex ead. rec. 8. mai. 1863. 1


Stanford University Librari
3 6105 118

